1) Βάκχιος L. 2) ὃν L. ὧν F. ὃν, ἴσως ὧν M. in mg. 3) ἄμβονας L. ὅρων L. 4) Fort. ἔχει. 5) περιλείψας L. 6) εὐηθῆς L. εὐήθης F. 7) καλεῖσθαι L. 8) ὥστ᾽ ἠρεῖσθαι L. ὡς τηρεῖσθαι F. M. 9) Fort. δέ. φέρων L. 10) ἐνευκοστρίμα L. sic! 11) Interciderit ὅτι aliave particula.

### σϛ'. Ἐμβολὴ ὤμου ἡ διὰ τῆς ἄμβης.

Ἔτι δὲ πρὸς τὸ προκείμενον τοιαῦτά τινα 1) προσεπιλέγει· — οὗτος δ' ὁ τρόπος παρὰ πολὺ κράτιστος ἐμβολῆς ὤμου· δικαιότατα μὲν γὰρ μοχλεύει, ἢν μοῦνον ἐσωτέρω ἔῃ τὸ ξύλον τῆς κεφαλῆς τοῦ βραχίονος· δικαιόταται δὲ αἱ ἀντιῤῥοπαὶ, ἀσφαλέες δὲ τῷ ὀστέῳ τοῦ βραχίονος. τὰ μὲν οὖν νεαρὰ ἐμπίπτει θᾶσσον ἢ ὡς ἄν τις οἴοιτο πρὶν ἢ καὶ κατατετάσθαι δοκέειν. ἀτὰρ καὶ τὰ παλαιὰ μόνον αὕτη τῶν ἐμβολέων οἵη τε ἐμβιβάσαι, ἢν μὴ ἤδη ὑπὸ χρόνου σὰρξ μὲν ἐπεληλύθῃ ἐπὶ τὴν κοτύλην, ἡ δὲ κεφαλὴ τοῦ βραχίονος ἤδη τρίβον ἑωυτῇ ᾖ πεποιημένη ἐν τῷ χωρίῳ, ἵνα ἐξεκλίθη. οὐ μὴν ἀλλ' ἐμβάλλειν γάρ μοι δοκέει καὶ οὕτω πεπαλαιωμένον 2) βραχίονα. τί γὰρ ἂν δικαίη μόχλευσις οὐ κινήσειεν; μένειν μέντοι οὐκ ἄν μοι δοκέοι κατὰ χώρην, ἀλλ' ὀλισθάνειν εἰς τὸ 3) ἔσω. — Οὐ μόνον δὲ τῇ 4) ὑπὲρ τὸν στρωτῆρα τῆς χειρὸς ὑπερθέσει συγχρῆσθαι διείληφεν, ἀλλὰ καὶ ἐφ' ἑκατέρων τῶν παρατυχόντων, οἷον εὐθέως ὑποτέταχεν ἐπὶ τοῦ κλιμακίου λέγων οὕτως· — τὸ αὐτὸ δὲ ποιέει καὶ περὶ κλιμακτῆρα καταναγκάζειν τὸν τρόπον τοῦτον σκευάσαντα. — Τὴν δὲ τούτου καταγραφὴν παρήσομαι διὰ τὸ καὶ ἐν τοῖς προεκκειμένοις διασαφεῖσθαι. τὰ δὲ ἑξῆς οὕτως ὑπογέγραφεν·— πάνυ μὴν ἱκανῶς ἔχει καὶ περὶ μέγα 5) ἕδος Θεσσαλικὸν ἀναγκάζειν, ἢν νεαρὸν ἔῃ τὸ ὀλίσθημα. ἐσκευάσθαι μὲν γὰρ χρὴ τὸ ξύλον οὕτως ὥσπερ εἴρηται, ἀτὰρ τὸν ἄνθρωπον καθίσαι πλάγιον ἐπὶ τῷ δίφρῳ κἄπειτα τὸν βραχίονα σὺν τῷ ξύλῳ ὑπερβάλλειν ὑπὲρ τοῦ ἀνακλισμοῦ καὶ ἐπὶ μὲν θάτερα τὸ σῶμα καταναγκάζειν, ἐπὶ δὲ θάτερα τὸν βραχίονα σὺν τῷ ξύλῳ. — Ἡ δ' ἐμβολὴ γένοιτ' ἂν οὕτως· 6) ἡ ἐπὶ θάτερα κατοχὴ παραλέλειπται. ἔσται οὖν περιτροπὴ καὶ ἡ χεὶρ ἀφέστηκεν ὀπὸ τοῦ ἀγκῶνος.

### σζ'. Ἐμβολὴ ὤμου ἡ διὰ τοῦ δίφρου.

Τὸν δ' αὐτὸν τρόπον καὶ οὕτως γενέσθαι σεσήμαγκεν.— τὸ αὐτὸ δὲ ποιεῖ καὶ ὑπὲρ δίκλειδος θύρης ἀναγκάζειν.

---

1) προσεπιλέγειν L. 2) ἔκπτωμα βραχίονος F. M. Hipp. 3) ἔτος F. M. γρ. ἔσω in mg. ἔθος Hipp. 4) ὑπὲρ om. L. 5) Cod. Bessarionis Hippocratis Venetus glossam superscriptam habet: ἡ καθέδρα. 6) Haec verba ad picturam spectant.

χρέεσθαι δὲ χρὴ ἀεὶ τούτοις ἃ ἂν τύχῃ παρεόντα. — Ὁ μὲν αὐτὸς τρόπος ἐστὶ τῆς ἐμβολῆς ὁ διὰ τοῦ ξύλου γινόμενος τοῦ τὴν ἄμβην ἔχοντος. ἡ δέ γε πεῖρα 1) ἐπλεόνασε τοῖς τοιούτοις ὑποδείγμασι τοῖς πρὸς τὴν ὑπέρθεσιν τῆς χειρὸς εὐθέτοις, χάριν τοῦ τοῖς παραπίπτουσιν ἐκ τοῦ καιροῦ 2) συγχρωμένους ῥᾳδίως ἐπιτελεῖν τὸ προκείμενον. καθόλου δ' ἐπὶ τῆς τοῦ ὤμου ἐμβολῆς προνοητέον καθάπερ διέσταλται, καὶ ἐπὶ τῶν 3) λοιπῶν μὲν τῶν ἐντιθεμένων εἰς τὴν μασχάλην ἐκπληρώσεως χάριν, καὶ ἐπὶ τοῦ ξύλου δέ, ὡς ἐσωτάτω καὶ μεταξὺ τεθήσεται τῆς κεφαλῆς τοῦ ὤμου καὶ τῶν πλευρῶν καὶ ὅπως ἂν ἡ 4) αὐτοῦ ὑπεροχὴ μὴ πρὸς τὰς πλευρὰς, ἀλλὰ πρὸς τὸν ὦμον ἐντὸς ἐπιστρέφηται. οὕτω γὰρ τοῦ ξύλου τεθέντος καὶ ἐπίβασιν ἐπὶ τὴν ἐξοχὴν αὐτοῦ τῆς τοῦ ὤμου κεφαλῆς ποιησαμένης, εὐχερὴς εἰς τὸ κατὰ φύσιν ἀπόστασις ἔσται. καταρτίζεται δὲ ὦμος ὑπὲρ τῆς δικλίδος θύρας τὸν τρόπον τοῦτον.

## ση'. Ἐμβολὴ ὤμου ἡ διὰ τῆς δικλίδος θύρας.

5) Ἐπὶ πλέον δὲ τοῖς προδιηριθμημένοις τὰ τοιαῦτα ἐπέζευξεν· — εἰδέναι μὲν οὖν χρὴ ὅτι φύσιες φυσίων μέγα διαφέρουσιν ἐς τὸ ῥηϊδίως ἐμπίπτειν τὰ ἐκπίπτοντα. — Ἀναγκαῖον γάρ ἐστι τῷ μέλλοντι κατὰ τρόπον τῶν ἄρθρων καταρτισμὸν ποιεῖσθαι τὴν περὶ ἑκάστου ὑπάρχουσαν διαφορὰν φύσει, ἕξει, ἡλικίᾳ προσλαμβάνεσθαι, ἵνα μὴ ἐπὶ πάντων μιᾷ καὶ τῇ αὐτῇ ἀνάγκῃ χρώμενος, καὶ ἐφ' ὧν μὴ διαβιβάζηται, οἷον ἐπὶ νηπίων τε καὶ ἀσθενῶν καὶ τῶν φύσει καὶ ἕξει ῥᾳδίως δυναμένων καταρτισθῆναι ἢ πάλιν ἐπί τινων διὰ νεύρων ἢ ἕξεως σκληρότητα μὴ εὐχερῶς κατακρατουμένων ἀφιστῆται τοῦ προκειμένου, προσάγῃ δὲ τὰς βιαστικωτέρας ἀνάγκας. ἑξῆς δὲ τὴν ἐν τῇ φύσει καὶ ἕξει διαφορὰν οὕτως ὑπογέγραφεν· — διενέγκαι μὲν γὰρ ἄν τι καὶ κοτύλη κοτύλης, ἡ μὲν εὐυπέρβατος ἐοῦσα, ἡ δὲ καὶ ἧσσον. πλεῖστον δὲ διαφέρει τῶν νεύρων ὁ 6) ἔνδεσμος, τοῖς μὲν ἐπιδόσεις ἔχων, τοῖς δὲ 7) συνδεδε-

---

1) τὰ πλέονα σε L. 2) συγχρωμένοις L. 3) λυπῶν L. 4) αὐτῷ L. 5) ἐπιπλοι Codd. ἴσως ἐπὶ πλέον F. M. in mg. 6) σύνδεσμος F. M. Hipp. 7) ξυντεταμένος F. M. Hipp.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 32 sur 382

μένος. καὶ γὰρ ἡ ὑγρότης τοῖς ἀνθρώποις γίγνεται ἡ ἐκ τῶν ἄρθρων διὰ τὴν τῶν νεύρων ἀπάρτισιν, ἣν χαλαρά τε 1) ᾖ φύσει καὶ ἐπιτάσεις εὖ φέρῃ. συχνοὺς γὰρ ἄν τις ἴδοι, οἳ οὕτως ὑγροί εἰσιν, ὥστε, ὁπόταν 2) ἐθέλωσι, τότε αὐτοῖς τὰ ἄρθρα ἐξίσταται ἀνωδύνως καὶ καθίσταται ἀνωδύνως. διαφέρει μέντοι τι καὶ ἕξις σώματος. τοῖς μὲν γὰρ εὖ ἔχουσι τὸ γυῖον καὶ σεσαρκωμένοις ἐκπίπτει ἧσσον, ἐμπίπτει δὲ χαλεπώτερον. ὅταν δὲ αὐτοὶ σφῶν ἑαυτῶν 3) λεπτότεροι καὶ ἀσαρκότεροι ἕωσι, τότε ἐκπίπτει μᾶλλον, ἐμπίπτει δὲ 4) ῥᾷον. — Περὶ μὲν οὖν ὤμου καταρτισμοῦ ταῦθ᾽ ὑπογέγραφε· περὶ δὲ τῆς σημειώσεως οὕτως διασαφεῖ· — γιγνώσκειν δὲ εἰ ἐκπέπτωκεν ὁ βραχίων τοῖσδε χρὴ τοῖς σημείοις, 5) τοῦτο μὲν ἐπειδὴ δίκαιον ἔχουσι τὸ σῶμα οἱ ἄνθρωποι καὶ τὰς χεῖρας καὶ τὰ σκέλη, παραδείγματι χρῆσθαι χρὴ τῷ ὑγιεῖ πρὸς 6) τὸ μὴ ὑγιὲς, μὴ τὰ ἀλλότρια ἄρθρα καθορῶντα, ἄλλοι γὰρ ἄλλως ἔξαρθροι πεφύκασιν, ἀλλὰ τὰ αὐτοῦ τοῦ κάμνοντος, ἢν ἀνόμοιον ᾖ τὸ ὑγιὲς 7) τῷ μὴ ὑγιεῖ. — 8) Εἶτεν μετά τινας ἀριθμοὺς τὰ παρακολουθοῦντα σημεῖα διὰ τούτων ἐκτέθειται· — ἀτὰρ τοῦτο μὲν ἐν τῇ μασχάλῃ ἡ κεφαλὴ τοῦ βραχίονος φαίνεται ἐγκειμένη πολλῷ μᾶλλον τοῦ ἐκπεπτωκότος ἢ τοῦ ὑγιέος, τοῦτο δὲ ἄνωθεν κατὰ τὴν ἐπωμίδα κοῖλον φαίνεται τὸ χωρίον καὶ τοῦ ἀκρωμίου τὸ ὀστέον 9) ἔξοχον φαίνεται, ἅτε ὑποδεδυκότος τοῦ 10) ἄρθρου ἐς τὸ κάτω τοῦ χωρίου. παρασύνεσιν 11) μὲν καὶ ἐν τούτῳ ἔχει τινὰ, ἀλλὰ ὕστερον περὶ αὐτοῦ 12) γεγράψεται. ἄξιον γὰρ γραφῆς ἐστι. 13) τοῦτο δὲ τοῦ ἐκπεπτωκότος ὁ ἀγκὼν φαίνεται ἀφεστεὼς μᾶλλον ἀπὸ τῶν πλευρέων ἢ τοῦ ἑτέρου. 14) εἰ μέντοιτις προσαναγκάζοι, προσάγεται 15) μὲν, ἐπιπόνως δέ. τοῦτο δὲ ἄνω τὴν χεῖρα 16) ἆραι εὐθεῖαν παρὰ τὸ οὖς ἐκτεταμένου τοῦ 17) ἀγκῶος οὐ 18) μάλα δύνανται ὥσπερ τὴν ὑγιέα, οὐδὲ παράγειν ἔνθα καὶ ἔνθα ὁμοίως.

---

1) ἡ φυσικὴ ἐπίτασις εὐφέρῃ L. 2) ἐθέλωσι — ἄρθρα om. L. 3) λεπτοὶ καὶ ἄσαρκοι L. 4) ῥᾴδιον L. 5) τούτοις L. 6) τὸ ὑγιὲς L. τῷ ὑγιεῖ Cod. Hippocr. Venetus. 7) τῷ κάμνοντι F. M. 8) εἶτ᾽ ἐν L. 9) ἐξέχον F. M. 10) τοῦ κάτω χωρίου L. 11) μὴν F. M. 12) γέγραπται L. 13) τοῦ δὲ L. 14) ἢν L. 15) μὲν om. Codd. 16) ἀεῖραι L. 17) ἄξονος F. 18) μᾶλλον L.

τα τε οὖν σημεῖα ταῦτ' ἐστιν ὤμου ἐκπεπτωκότος, αἵ τε ἐμβολαὶ αἱ ἐγγεγραμμέναι. — Ταῦτ' ἐστιν ὅσα ποτὲ περὶ ὤμου καταρτισμοῦ παρ' Ἱπποκράτει διασαφεῖ δυνάμενα ῥᾳδίως καὶ ὑπὸ τῶν κατὰ τὸ πλεῖστον ἐν παλαίστρᾳ διατριβόντων κρατηθῆναι. ἀναγκαῖον οὖν καί σοι πρὸς τὰ συμβαίνοντα γιγνώσκεσθαι. ἐὰν δὲ καὶ τὸν τῶν λοιπῶν ἄρθρων καταρτισμὸν ὃν τρόπον 1) δεῖ ποιεῖσθαι κατὰ τὸν ἰατρὸν προαιρῇ μεταλαμβανειν καὶ τὸ ὑπ' αὐτοῦ πρώτως ἐπινοηθὲν πρὸς 2) ταῦτα ὄργανον εἰδῆσαι σπεύδῃς, μετὰ τῆς ἐνδεχομένης ἀκριβείας ἀναγραφὲν δοθήσεταί σοι. —

# ΑΠΟΛΛΩΝΙΟΥ ΚΙΤΙΕΩΣ

## ΤΗΣ ΠΕΡΙ ΑΡΘΡΩΝ ΠΡΑΓΜΑΤΕΙΑΣ ΤΟ Β.

σθ'. Ἐν μὲν τῷ πρὸ τούτου βιβλίῳ, βασιλεῦ Πτολεμαῖε, περὶ ὤμου καθ' Ἱπποκράτην ἐμβολῆς δεδηλώκαμεν, ἐν δὲ τούτῳ περί τε ἀγκῶνος καὶ καρποῦ καὶ 3) σπονδύλων, ὃν τρόπον ὁ προειρημένος ἰατρὸς τάς τε σημειώσεις αὐτῶν καὶ τοὺς καταρτισμοὺς ποιεῖσθαι παρακελεύεται, διασαφήσω. πρότερον δὲ τὰς λέξεις αὐτοῦ καταχωριῶ, εἶτ' 4) ἑχομένως τὸν τῶν ἐμβολῶν τρόπον δι' αὐτῶν τῶν ὑποδειγμάτων ὑποτάξω πρὸς τὸ καθάπερ καὶ ἐν τοῖς πρότερον καὶ ἐν τούτοις 5) εὐπαρακολούθητά σοι γενέσθαι, τήν τε περὶ ἄρθρων θεωρίαν, οὐκ ἀνωφελῆ καθεστῶσαν, μὴ ἀτελείωτον φιλιατροῦντί σοι παραδοθῆναι. οὐκ ἀγνοῶ δὲ δὴ, ὅτι τὰ διὰ χειρουργίας ἐνεργούμενα δυσκόλως διὰ λόγου καταλαμβάνεσθαι δύναται· ὅθεν ἐάν τινα μὴ σαφῆ σοι γίνηται, μὴ ἡμᾶς, ἀλλὰ τὴν τοῦ πράγ-

1) δὴ L. 2) ταύτῃ L. 3) σφονδύλων L. 4) ἐῤῥωμένως Codd.
5) παρακολούθητα L.

ματος αἰτιῶ φύσιν. 1) τὸ μὲν γὰρ ὑποδείγματος ἔχει τρόπον ἐπὶ τὴν χρείαν μεταγόμενον, τὸ δ' 2) ἀπ' αὐτῶν τῶν συμβαινόντων ἐναργῆ τὴν κατάληψιν ἐν χειρί. οὐ μὴν ἀλλὰ καὶ καθ' ὅσον ἂν ᾖ δυνατὸν, διὰ τούτων σαφῆ σοι κατασταθήσεται.

Ἐχομένως τοίνυν ὁ Ἱπποκράτης ἐν τῷ περὶ ἄρθρων βιβλίῳ περί τε ἐξαρθρήσεων καὶ παραρθρήσεων ἀγκῶνος καὶ τούτων καταρτισμοῦ μνημονεύων οὐδαμῶς, κατὰ πόσους τρόπους συμβαίνουσιν, εὐσήμως τέταχεν· ἀλλά 3) τοί γε διὰ τῶν κατὰ μέρος λόγων ποιήσω τοῦτο φανερὸν, διότι παραρθρεῖ μὲν ἀγκὼν διχῶς, ἐξαρθρεῖ δὲ κατὰ τέσσαρας τρόπους. τοῦ γὰρ λεγομένου πήχεως ἐξ ὀστῶν δύο συνεστῶτος, τὸ μὲν ἐντὸς αὐτῶν προσήρτηται τῷ βραχίονι νενευκὸς εἰς τὸν ἐκτὸς μᾶλλον τόπον, ὃ δὴ κερκὶς καλεῖται· τὸ δὲ ἔξω ἐπιβέβηκε τῷ κοίλῳ τοῦ βραχίονος, λεγόμενον δὲ 4) κορωνὸν καὶ ὀξὺ τοῦ ἀγκῶνος ὑφ' ἑκατέρων τῶν ὑπεροχῶν συνέχεται τῆς τε ἔσω τοῦ ἀγκῶνος, ἀφ' ἧς τὸν πῆχυν μετρεῖν εἰώθαμεν, καὶ τῆς ἔξω καταληγούσης ἀπὸ τοῦ βραχίονος. τούτων οὖν τῶν ὀστῶν ὃ δὴ κερκὶς καλεῖται, πεφυκὸς ἐντὸς, παραρθρεῖ μόνον νεῦον ἢ πρὸς πλευρὰς ἢ εἰς τὸ ἐκτὸς μέρος. δηλοῖ δὲ περὶ αὐτοῦ τὸν τρόπον τοῦτον· — ἀγκῶνος ἄρθρον 5) παραλλάξαν μὲν ἢ πρὸς πλευρὴν ἢ ἔξω, μένοντος τοῦ ὀξέος τοῦ ἐν τῷ κοίλῳ τοῦ βραχίονος. — Τοὺς μὲν οὖν τούτων σχηματισμοὺς ὑπογράφειν παρήσω. οὐ γὰρ ἂν δύναιντο, ἁπλῆς τῆς τάσεως αὐτῶν γινομένης, 6) καταληφθῆναι. αἱ δὲ παραρθρήσεις ἔκδηλοι γίνονται, τὰ μὲν εἰς τὸ ἐντὸς, τὰ δὲ εἰς τὸ ἐκτὸς, πολύτροπον 7) ἔχοντος τοῦ ἄρθρου, διαστρεφομένου τε καὶ νεύοντος τοῦ μορίου, ὁτὲ μὲν εἰς τὸ ἔξω, ὁτὲ δὲ εἰς τὸ ἔσω μέρος, ἃ δὴ οὕτως διὰ τῶν ἑξῆς 8) καταγγίζειν παρακελεύεται· — εἰς εὐθὺ κατατείναντα τὰ ἐξέχοντα ἀπωθεῖν ὀπίσω καὶ εἰς τὸ πλάγιον. — Ἡ γὰρ εἰς εὐθὺ τάσις ἀπόστασιν τῶν ἄρθρων

---

1) τοῦ Codd. ἴσως τὸ F. in mg. 2) ἅπαν τῶν τῶν L. 3) Fort. σοι. 4) κωρονὸν L. 5) παραλλάξομεν L. 6) καταλημφθῆναι L. 7) Excidit κίνησιν sive χρείαν. Obelum, mendi signum, margini adpinxit F. 8) Idem quod καταρτίζειν.

ποιεῖ, ὥστε ῥαδίως εἰς τὴν κατὰ φύσιν χώραν τὸ ἄρθρον παραγενέσθαι. ἐάν τε οὖν εἰς τὸ πρὸς τὰς πλευρὰς μέρος, ἐάν τε ἔξω παραρθρήσῃ, χρηστέον τῇ κατ᾽ εὐθὺ τάσει καὶ τὸ μὲν ἔσω νενευκὸς βιάζεσθαι μετὰ συμμέτρου κάμψεως καὶ τῆς εἰς τὸ ὕπτιον τῆς χειρὸς ἀναστροφῆς, ἐπὶ τὸ τοῦ ἀγκῶνος πλάγιόν τε καὶ βάθος ἐπερείδοντα ἢ χειρὶ ἢ δακτύλοις, τὸ δὲ εἰς τὸν ἔξω τόπον ἐκκεκλικὸς εἴσω βιάζεσθαι, τὸ τῆς χειρὸς θέναρ προσβάλλοντα ἐκ πλαγίου τοῦ ὀξέος 1) τοῦ ἀγκῶνος ἅμα καὶ τὴν τῆς χειρὸς ἐπιστροφὴν ἐπὶ το πρηνὲς ποιουμένους.

*Περὶ* μὲν οὖν τῆς τοῦ ἀγκῶνος παραρθρήσεως οὕτως διασαφεῖ· περὶ δὲ τῆς ὁλοσχερεστέρας ἐξαρθρήσεως τὸν τρόπον τοῦτον μέμνηται· — τὰ δὲ τελείως ἐκβάντα ἢ ἔνθα ἢ ἔνθα. ἡ κατάτασις μὲν ἐν ᾗ ὁ βραχίων ἐπιδεῖται. — *Αὗται* εἰσιν ὁλοσχερεῖς. δύο εἰσὶν ἐξαρθρήσεις ἀγκῶνος, ἡ μὲν ἔσω νεύουσα, ἡ δὲ εἰς τὸ ἔξω μέρος. μνημονεύει δὲ διὰ τῶν ἑξῆς ἔτι καὶ ἄλλων δύο ἐξαρθρήσεων, τῆς μὲν ἔμπροσθεν, τῆς δὲ εἰς 2) τοὔπισθεν γινομένης. οὔτε δὲ περὶ αὐτῶν οὔτε περὶ τοῦ καταρτισμοῦ κατὰ τὸν εἰρημένον μέμνηται λόγον· ὅθεν περὶ τῶν προκειμένων πρότερον ἐκθήσομαι, ὃν τρόπον τὰς ἐμβολὰς ποιεῖσθαι παρακελεύεται. μετὰ πλείονας δὲ ἀριθμοὺς οὕτως φησίν· — ἀγκὼν δὲ ἢν μὲν εἴσω ἢ ἔξω 3) ἐκβῇ, κατάτασις ἐν σχήματι 4) ἐγγωνίῳ τῷ πήχει πρὸς βραχίονα· μασχάλην ἀναλαβόντα 5) ταινίῃ ἀνακρεμάσαι, 6) ἀγκῶνι δὲ ἄκρῳ ὑποθέντα παρὰ τὸ ἄρθρον βάρος ἐκκρεμάσαι ἢ χερσὶ καταναγκάζειν. ὑπεραιωρηθέντος δὲ τοῦ ἄρθρου αἱ παραγωγαὶ τοῖς θέναρσιν ὡς τὰ ἐν χερσίν. 7) ἐπίδεσις ἐν τούτῳ τῷ σχήματι καὶ ἀνάληψις καὶ θέσις. — Ἐπὶ τούτῳ οὐκέτι τὴν ἐπ᾽ εὐθείας προκρίνει τάσιν, ἀλλὰ τὴν ἐγγώνιον πρὸς βραχίονα τοῦ ἀγκῶνος εἰς τὸ κάτω κατάτασιν, ὃν τρόπον καὶ 8) κατεαγὼς ὁ βραχίων 9) τείνεταί τε καὶ ἐπι-

---

1) τοῦτ᾽ Codd. 2) τοὐπίσω F. M. 3) ἐκβῇ om. L. 4) κοινῷ Hipp. F. in mg. γρ. ἐγγωνίῳ. Optime. 5) τινᾶ L. 6) ἀγκωνάρην δὲ μηρῷ ὑποθεὶς, παρὰ δὲ τὸ L. 7) ἐπιδέσεις — ἀναλήψεις — θέσεις L. 8) κατεαγὼν L. 9) γίνεται L.

δεῖται. ἡ δὲ μετὰ τὴν κατάτασιν διόρθωσις καὶ ὁ καταρτισμὸς 1) γίνοιντ᾽ ἂν ταῖς χερσὶν εἰς τὸ ἐναντίον, ὃν τρόπον διὰ τῶν ἔμπροσθεν δεδήλωκα. πλὴν καὶ ὁ Ἱπποκράτης οὕτως περὶ αὐτῶν διασαφεῖ· — τὰς δὲ 2) κατορθώσιας ἀπάγοντα ἐπὶ πλεῖον, ὡς μὴ ψαύῃ τῆς κορώνης ἡ κεφαλὴ, μετέωρον περιάγειν καὶ περικάμψαι καὶ μὴ ἐς εὐθὺ βιάζεσθαι· ἅμα δὲ 3) ὠθεῖν τἀναντία ἑκατέραν καὶ παρωθεῖν ἐς χώραν. συνωφελοίη δ᾽ ἂν ἐπίστρεψις ἀγκῶνος ἐν τούτοις, ἐν τῷ μὲν εἰς τὸ ὕπτιον, ἐν τῷ δὲ εἰς τὸ πρηνές.— Ὁ δὲ τῆς ἐμβολῆς τρίπος οὕτως ἂν δι᾽ ὑποδείγματος 4) γίνοιτο.

## σι΄. Ἐμβολὴ ἀγκῶνος.

Περὶ δὲ τῶν ἄλλων τῶν τῆς ἐξαρθρήσεως τρόπων οὕτως μέμνηται· — ἐμβολαὶ δὲ τοῦ μὲν ὀπίσω ἐκτείναντας κατατεῖναι· σημεῖον δέ· οὐ γὰρ δύνανται 5) ἐκτείνειν· τοῦ δὲ ἔμπροσθεν, οὐ δύνανται συγκάμπτειν. τούτῳ δὲ ἐνθέντα τι 6) συνειλιγμένον σκληρὸν περὶ 7) τοῦτο συγκάμψαι ἐξ ἐκτάσιος ἐξαίφνης. διαστάσιος δὲ ὀστέων σημεῖον κατὰ τὴν φλέβα τὴν κατὰ βραχίονα σχιζομένην διαψαύοντι. ταῦτα δὲ ταχέως διαπωροῦται. τὰ δὲ ὄπισθεν ἐξαίφνης ἐκτείναντα διορθοῦν τοῖς θέναρσιν. — Τὴν μὲν οὖν εἰς τοὐπίσω τοῦ ἀγκῶνος ἐξάρθρησιν οὐκ ἀναγκαῖον διὰ τῶν ὑπομνημάτων ὑπογράφειν. ἐκ γὰρ τῆς παρὰ φύσιν γεγενημένης κάμψεως, μεταστάσεως ἔκτασιν περιέχει μόνον καὶ τὸν ὄπισθεν τῆς χειρὸς καταρτισμὸν, τὴν δὲ εἰς τὸ ἔμπροσθεν συμβαίνουσαν καταγράψω, χάριν τοῦ δυναμένην 8) συνθεωρηθῆναι παραιτίαν 9) ὠφελείας γενέσθαι. διὸ καταρτίζοιτ᾽ ἂν οὕτως.

## σια΄. Ἑτέρα ἐμβολὴ ἀγκῶνος.

Μετὰ τάδε [10] ἐπομένως περὶ χειρὸς ἐξαρθρήσεως οὕτως διασαφεῖ· — χειρὸς δὲ ἄρθρον ὀλισθάνει ἢ ἔσω ἢ ἔξω, ἔσω δὲ τὰ πλεῖστα. σημεῖα εὔσημα. ἐμβολὴ ὑπὲρ τραπέ-

1) ἐγίνοιντ᾽ L. ἐγίνοντ᾽ F. 2) καθάρσιας L. 3) ὠήθην L. 4) γένοιτο F. 5) ἐκτείνειν — δύνανται om. Codd. 6) συνηλιγμένον L. συνειλεγμένον F. M. Hipp. 7) τούτων L. 8) συνθεωρῆναι L. 9) ὠφέλειαν L. 10) ἐπόμενος L.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 37 sur 382

ζης τοὺς δακτύλους ἔχων, τοὺς μὲν τείνειν, τοὺς δὲ ἀντιτείνειν, τὸ δὲ ἐξέχον ἢ θέναρι ἢ πτέρνῃ ἅμα ἀπωθέειν καὶ ὠθέειν πρόσω 1) κάτω κάτωθεν κατὰ τὸ ἕτερον ὀστέον ὄγκον μαλακὸν ὑποθεὶς, ἢν μὲν ἄνω, καταστρέψας τὴν χεῖρα, ἢν δὲ κάτω, ὑπτίην. ἴησις ὀθονίῳ. — Ἐπὶ τούτων τὸ ἐναντίον σεσήμαγκε, διότι ὁπότερον τῶν ὀστέων ἐξαρθρεῖ μόνον εἰς τὸ εἴσω καὶ εἰς τὸ 2) παρολισθάνον μέρος, εἰς δὲ τὸ ἄνω 3) [καὶ] εἰς τὸ κάτω τὸ τοιοῦτον οὐδαμῶς συμβαίνειν 4) δύναται χωρὶς τῆς ἑκατέρων 5) ἐκβλήσεως. ἐχομένως γε οὖν οὕτως ὑπογέγραφεν· — ὅλη δὲ χεὶρ ὀλισθάνει ἢ εἴσω ἢ ἔξω ἢ ἔνθα ἢ ἔνθα, μάλιστα δὲ εἴσω. ἔστι δ' ὅτε ἡ ἐπίφυσις ἐκινήθη. ἔστι δ' ὅτε τὸ ἕτερον τῶν ὀστέων διέστη. τούτοις ἡ κατάτασις ἰσχυρὴ 6) ποιητέη καὶ τὸ μὲν ἐξέχον ἀπωθέειν, τὸ δὲ ἕτερον ἀντωθέειν. δύο δὲ εἴδη ἅμα ἐς τοὐπίσω καὶ ἐς τὸ πλάγιον χερσὶν ἐπὶ τραπέζης ἢ πτέρνῃ· 7) παλίγκοτα δὲ καὶ ἀσχήμονα τῷ χρόνῳ κρατύνεται 8) εἰς χρῆσιν. — Ὡς ἐπίπαν γὰρ καὶ μάλισθ' ἡ ὁλοσχερὴς τῆς χειρὸς ἐξάρθρησις οὐ δύναται καταρτισθῆναι κατὰ τρόπον, ἀλλὰ διεστραμμένη φαίνεται. αἱ μὲν οὖν ἐς τὰ πλάγια παραρθρήσεις διὰ τῆς κατατάσεως καὶ τῆς ἐς τὰ ἐναντία τῶν ὑπερεχόντων ἐνθλίψεως καταρτίζοιντ' ἄν· αἱ δὲ ἔσω ἢ ἔξω γινόμεναι καθάπερ προϋποδέδειχε, τῆς 9) [χειρὸς] ἐπὶ τραπέζης κατὰ τὸ ἐναντίον τιθεμένης, ἢ τῇ χειρὶ ἢ τῇ πτέρνῃ τὰ ἐξέχοντα καταβιβασθήσεται. χρηστέον δὲ τῷ τοιούτῳ τρόπῳ πρότερον.

σιβ'. Ἐμβολὴ χειρὸς ἄρθρου ἡ διὰ τοῦ θέναρος τοῦ ἰατροῦ καὶ τῆς τραπέζης γινομένη.

Ἐὰν δὲ τὸ θέναρ 10) ἐπερειδόντων ἡμῶν μὴ ὑπακούῃ, βιαστέον διὰ τῆς πτέρνης, καθάπερ προείρηται, χρωμένους τούτῳ τῷ τρόπῳ.

---

1) κάτω om. L. 2) παρολισθάνη L. 3) καὶ addidi. 4) δύνανται L. 5) ἐκκλήσεων L. Obelum margini adpinxit F. Leviter mendosus locus videtur esse. 6) ποιεῖται L. ἀπωθέει L. 7) παλιγκότατα L. παλιγκώτατα F. Fort. παλιγκοτώτατα. Cod. Hipp. Venet. παλιγκοτῶτα. 8) ἣν χρίσιμον L. Fort. εἰς χρήσιμον. 9) χειρὸς om. Codd. 10) ἐπερείδων τῶν L.

### σιγ'. Ἐμβολὴ χειρὸς ἄρθρου ἡ διὰ τῆς πτέρνης τοῦ ἰατροῦ καὶ τῆς τραπέζης γινομένη.

### σιδ'. Περὶ δακτύλων.

Περὶ δὲ δακτύλων οὕτως ἀπεφήνατο· — δακτύλου δὲ ἄρθρον 1) ὀλισθὸν μὲν εὔσημον. ἐμβολὴ δὲ κατατείναντα ἐς ἰθὺ τὸ μὲν ἐξέχον ἀπωθέειν, τὸ δὲ ἐναντίον ἀντωθέειν. ἴησις δὲ 2) ἢ σταιτὶ ἢ ὀθονίοισι. μὴ ἐμπεσὸν δὲ ἐπιπωροῦται ἔξω. — Βραχυλόγῳ σφοδρῷ ἐν τούτοις ἀνέστραπται διὰ τὸ τοῦ πράγματος εὐκαταμάθητον. οὐ μὴν ἀλλὰ καὶ Διοκλῆς τὸν τρόπον τοῦτον μέμνηται· — δακτύλου μὲν ἄρθρον ἄν τε ποδὸς ἄν τε χειρὸς ἐκπέσῃ, τετραχῶς ἐκπίπτει ἢ ἐντὸς ἢ ἐκτὸς ἢ εἰς τὰ πλάγια. ὅπως δ' ἂν ἐκπέσῃ, ῥᾴδιον γνῶναι πρὸς τὸ ὁμώνυμον καὶ τὸ ὑγιὲς θεωροῦντα. ἐμβάλλειν δὲ 3) κατατείνοντι εὐθὺ ἀπὸ χειρῶν, περιελίξας τε ὅπως μὴ ἐξολισθάνῃ. ἰστέον δὲ καὶ τὰς 4) σειρὰς, ἃς οἱ παῖδες πλέκουσι, περιθέντα περὶ ἄκρων τῶν δακτύλων κατατείνειν, ἐκ δὲ τοῦ ἐπὶ θάτερα ταῖς χερσίν.

### σιε'. Περὶ γνάθου.

Ἑπομένως δὲ ὁ Ἱπποκράτης περὶ ἐξαρθρήσεως γνάθου, τῆς δὴ σιαγόνος ὑπό τινων λεγομένης, διὰ τούτων κατακεχώρικεν· — γνάθος δὲ ὀλίγοισιν ἤδη τελέως ἐξήρθρησεν. ὀστέον γὰρ τὸ ἀπὸ τῆς ἄνω γνάθου πεφυκὸς 5) ὑπεζύγωται πρὸς τῷ ὑπὸ τὸ οὖς ὀστέῳ πεφυκότι, — καὶ προβὰς ἐπιλέγει· — ἐκπέσοι δ' ἂν ἀπ' οὐδενὸς ἄλλου σχήματος ἢ ἀπὸ τοῦ μέγα χανόντα μετάγειν τὴν γένυν ἐπὶ θάτερα. — 6) Εἶτεν μετ' ὀλίγους ἀριθμοὺς τά τε σημεῖα τὰ παρακολουθοῦντα καὶ τὸν καταρτισμὸν οὕτω 7) παρέστακεν· — περὶ οὗ οὖν ὁ λόγος, ἐκπίπτει μὲν γνάθος ὀλιγάκις, 8) σχᾶται μέντοι πολλάκις ἐν 9) χασμήσει. δῆλον μὲν οὖν τοῖσδε μάλιστά ἐστιν ὅταν ἐκπεπτώκῃ. προΐσχεται γὰρ ἡ κάτω γνάθος ἐς τοὔμπροσθεν καὶ παρῆκται ἐναντία τοῦ

---

1) ὀλισθὸν om. L. 2) ἰσταιτὶ L. Conjeci ἢ σταιτί. Massa gypsea hodiedum ossa fracta curantur circumfusa in Oriente, cui similis σταίς. ταινίῃσι F. M. Hipp. 3) Fort. κατατείνοντα — περιελίξαντα. 4) σιρὰς L. 5) ἀπεζύγωται L. 6) εἶτ' ἐν L. 7) παρέστησε F. 8) σχᾶται — πολλάκις om. L. 9) χάσμῃσι F. M. Hipp. δῆλος L.

ὀλισθήματος, καὶ τοῦ ὀστέου τὸ κορωνὸν 1) ὀγκηρὸν γίνεται παρὰ τὴν ἄνω γνάθον, καὶ χαλεπῶς συμβάλλουσι τὰς 2) γνάθους. τούτοισιν ἐμβολὴ πρόδηλος, οἵη τις 3) γίνοιτ' ἂν ἁρμόζουσα. χρὴ γὰρ τὸν μὲν κατέχειν τὴν κεφαλὴν, τὸν δὲ περιλαβόντα τὴν κάτω γνάθον καὶ ἔσωθεν καὶ ἔξωθεν τοῖσι δακτύλοισι κατὰ τὸ γένειον, χάσκοντος τοῦ ἀνθρώπου, ὅσον μετρίως δύναται, πρῶτον μὲν διακινέειν τὴν γνάθον χρόνον τινὰ καὶ παράγοντα τῇ χειρὶ καὶ αὐτὸν τὸν ἄνθρωπον κελεύειν χαλαρὴν τὴν γνάθον συμπαράγειν καὶ συνδιδόναι ὡς μάλιστα, ἔπειτα ἐξαπίνης 4) σπάσαι εἰς τοὐπίσω καὶ ἀναλήψει γενείου τρισὶν ὁμοῦ σχήμασι προσέχοντα τὸν νοῦν. δεῖ μὲν γὰρ παραγενέσθαι ἐκ τῆς διαστροφῆς εἰς τὴν φύσιν, ἑπόμενον τούτοις συμβάλλειν τὰς γνάθους καὶ μὴ χάσκειν. ἐμβολὴ μὲν οὖν αὕτη, καὶ οὐκ ἂν γένοιτο ἀπ' ἄλλων σχημάτων. — Καὶ οὕτως πάλιν· — ἀσφαλέστερον δὲ χειρουργεῖν ἐστιν ὕπτιον κατακλίναντα τὸν ἄνθρωπον, ἐρείσαντα τὴν κεφαλὴν αὐτοῦ 5) ἐπὶ σκυτίνου ὑποκεφαλαίου ὡς πληρεστάτου, ἵνα ὡς ἥκιστα ὑποκλίνῃ. προσκατέχειν δὲ χρή τινα τὴν κεφαλὴν τοῦ ἰωμένου. ἢν δὲ ἀμφότεραι αἱ γνάθοι ἐξαρθρήσωσιν, ἡ μὲν ἴησις ἡ αὐτή. συμβάλλειν δὲ ἧσσον ἔτι οὗτοι τὸ στόμα δύνανται. καὶ προπετέστεραι δὲ γένυες τούτοισιν, ἀστραβεῖς δέ. — Ταῦτα ἀναγκαῖον ἦν καταχωρίσαι χάριν τοῦ μηδέν σε τῶν περὶ ἄρθρων λεγομένων διαλαθεῖν.

### σις'. Ἐμβολὴ γνάθου.

### σιζ'. Περὶ σπονδύλων.

6) Ἤδη δὲ τὴν τῶν ὑποδειγμάτων οὐκ ἐπιτήδειον εἶναι διέλαβον ὑπογραφὴν ποιήσασθαι. ἃ δὲ ἐχομένως περὶ σπονδύλων τῶν ἐν τῇ ῥάχει διασαφεῖ, διὰ τούτων ὑποτάξω· — ὅσοις δὲ ἐκ καταπτώσιος ῥάχις κυφοῦται, ὀλίγα δὴ τούτων ἐκρατήθη ὥστε ἐξιθυνθῆναι. τοῦτο μὲν γὰρ αἱ ἐν τῇ κλίμακι κατατάσιες οὐδὲν ἀποεξίθυναν, 7) ὧν

---

1) ὀγκηρότερον F. Hipp. 2) κάτω in mg. addit F. ex Hipp. 3) γίνοιτ' — ἁρμόζουσα om. L. 4) σχάσαι τρισὶ etc. F. M. Hipp. 5) ὑπὸ L. ἐπικεφαλαίου L. 6) δεῖ Codd. F. mendi signo in mg. Coujeci ἤδη. 7) ὃν L.

ἐγὼ οἶδα. χρέονται δὲ ἰητροὶ αὐτῇ μάλιστα οὗτοι οἳ ἐπιθυμοῦνται 1) ἐκχαυνοῦν τὸν πολὺν 2) λαόν. ἐν τοῖσι γὰρ τοιούτοισι ταῦτα θαυμαστά ἐστιν, ἢν ἢ κρεμάμενον ἴδωσιν ἢ ῥιπτόμενον. — 3) Οὐ κατὰ πᾶν ἀδόκιμον οἴεται εἶναι τὴν τοιαύτην τῆς χειρουργίας ἐπίνοιαν, ἀλλά που καὶ δυνατὸν ἔσεσθαι δεόντως σκευασθεῖσαν πρὸς τὸν τῶν σπονδύλων καταρτισμόν. ὅμως δὲ ἐξεπίτηδες ἐκκεκλικέναι τὰ τοιαῦτά φησι λέγων οὕτως· — αὐτὸς μέντοι 4) κατῃσχύνθην πάντα τὰ τοιουτότροπα ἰητρεύειν οὕτω διὰ τοῦτο, ὅτι πρὸς 5) ἀπατεώνων μᾶλλον οἱ τρόποι οὗτοι. ὁπόσοις μὲν οὖν ἐγγὺς τοῦ αὐχένος ἡ κύφωσις γίνεται, εἰκὸς ἧσσον ὠφελέειν τὰς κατατάσιας ταύτας τὰς ἐπὶ κεφαλήν. μικρὸν γὰρ τὸ βάρος 6) ἡ κεφαλὴ καὶ τὰ ἀκρώμια καταῤῥέποντα. ἀλλὰ τούς γε τοιούτους εἰκὸς ἐπὶ πόδας κατασεισθέντας μᾶλλον ἐξιθυνθῆναι· μέζων γὰρ οὕτως ἡ καταῤῥοπίη. ὅσοις 7) δὲ κατωτέρω τὸ ὕβωμα, τούτοις ἔοικε 8) ἐπὶ κεφαλὴν κατασείεσθαι. — 9) Ὑφέσταται δὲ τὴν ἐπὶ κεφαλὴν 10) κατάσεισιν οὕτως ἂν γίνεσθαι δεόντως ὑπὸ τῶν αἱρουμένων 11) αὐτῇ χρῆσθαι, καταχωρίζων τὸν τρόπον τοῦτον· — εἰ οὖν τις ἐθέλοι κατασείειν, ὀρθῶς ἂν ὧδε σκευάζοι. τὴν μὲν γὰρ κλίμακα ἢ σκυτίνοις ὑποκεφαλαίοις ἢ 12) εἰρινεοῖς καταστρῶσαι εὖ προσδεδεμένοις καὶ ὀλίγῳ πλεῖον ἐπὶ μῆκος καὶ ἔνθεν καὶ ἔνθεν 13) ἢ ὅσον ἂν τὸ σῶμα τοῦ ἀνθρώπου κατάσχῃ· 14) ἐπιτείναντα τὸν ἄνθρωπον ὕπτιον κατακλῖναι ἐπὶ τὴν κλίμακα χρὴ, καὶ ἔπειτα προσδῆσαι μὲν χρὴ τοὺς πόδας παρὰ τὰ σφυρὰ πρὸς τὴν κλίμακα μὴ 15) διαβεβῶτα, ἀλλὰ συμβεβηκότα δεσμῷ 16) ἐνόχῳ μὲν, μαλθακῷ δέ· προσδῆσαι δὲ κατωτέρω ἑκάτερον τῶν γονάτων καὶ

---

1) ἤτοι ἀπατᾷν Gloss. Cod. Laurent. in Hippocratis libro de articulis, quem unà cum aliis chirurgicis libris Hippocratis comprehendit. 2) ὄχλον F. Hipp. 3) εὖ Codd. ἴσως οὐ F. mg. 4) κατεσχύνθη L. πάντα τοιούτῳ τρόπῳ L. 5) ἀπατέων L. 6) ἡ κεφαλὴ om. Codd. καταῤῥέοντα Codd. 7) γὰρ δὲ L. 8) ὑπὸ L. 9) ὑφίσταται F. 10) κατάτασιν F. 11) αὐτῷ L. 12) εἰρίνοις L. 13) ἧσσον L. 14) ἐπιτέναντα L. ἔπειτα Hipp. 15) διαβεβῶτας F. M. ἀλλὰ συμβεβηκότα om. Hipp. glossema redolent haec verba. 16) δὲ ὄχοι L. εὐόχῳ Hipp.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 41 sur 382

ἀνωτέρω· προσδῆσαι δὲ καὶ τὰ ἰσχία· κατὰ δὲ τοὺς κενεῶνας καὶ εἰς τὸ στῆθος χαλαραῖς ταινίαις προσπεριβάλλειν οὕτως ὅπως μὴ κωλύσωσι τὴν 1) κατάσεισιν· τὰς δὲ χεῖρας παρὰ τὰς πλευρὰς παρατείναντα προσκαταλαβεῖν πρὸς τὸ αὐτοῦ σῶμα καὶ μὴ πρὸς τὴν κλίμακα. ὅταν δὲ ταῦτα σκευάσῃ οὕτως, ἀνέλκειν τὴν κλίμακα πρὸς τύρσιν τινὰ ὑψηλὴν ἢ πρὸς ἀέτωμα οἴκου. τὸ δὲ χωρίον ἵνα 2) κατασείεις, ἀντίτυπον ἔστω. τοὺς δὲ 3) ἀνατείνοντας εὐπαιδεύτους χρὴ εἶναι, ὅπως ὁμαλῶς καὶ καλῶς καὶ ἰσοῤῥόπως καὶ ἐξαπιναίως ἀφήσωσι καὶ μήτε ἡ κλῖμαξ ἑτεροῤῥεπῆ ἐπὶ τὴν γῆν μήτε αὐτοὶ προπετέες ἔσονται. ἀπὸ μέντοι τύρσιος ἀφιεὶς ἢ ἀπὸ ἱστοῦ καταπεπηγότος καρχήσιον ἔχοντος ἔτι κάλλιον ἄν τις 4) σκευάσαιτο, ὥς γε ἀπὸ 5) τροχιλίης τὰ χαλώμενα ὅπλα εἶναι ἢ ἀπὸ ὄνου. 6) ἀηδὲς μὲν καὶ 7) μακρολογέειν περὶ αὐτῶν τούτων, ὅμως δ' ἐκ τούτων τῶν παρασκευῶν 8) κάλλιστ' ἄν τις κατασεισθείη. — Ἡ διὰ τῆς ὑποδεδειγμένης 9) διὰ τῆς κλίμακος ἐπὶ κεφαλὴν κατάτασις 10) κατὰ τοῦτον ἂν τὸν τρόπον γίνοιτο.

## σιη'. Ἐμβολὴ σπονδύλων ἡ διὰ τῆς κλίμακος ἐπὶ 11) κεφαλὴν γινομένη.

Περὶ δὲ τῆς ἑτέρας κατασείσεως οὕτως ὑπογέγραφεν· — εἰ μέντοι κάρτα ἄνω εἴη τὸ ὕβωμα, δέοι δὲ πάντως κατασείειν, ἐπὶ πόδας κατασείειν λυσιτελεῖ, ὥσπερ 12) δὴ εἰρήκαμεν. γίνεται δὲ ἡ 13) καταῤῥοπίη ἐπὶ ταῦτα· 14) ἐρμάσαι δὲ χρὴ κατὰ μὲν τὸ στῆθος πρὸς τὴν κλίμακα 15) προσδήσαντα, δῆσαι δὲ ἰσχυρῶς τὸν αὐχένα 16) ὡς χαλαρωτάτῃ ταινίῃ ὅσον τοῦ κατορθοῦσθαι ἕνεκα· καὶ αὐτὴν τὴν κεφαλὴν κατὰ τὸ μέτωπον προσδῆσαι πρὸς τὴν κλίμακα, τὰς δὲ χεῖρας παρατανύσαντα πρὸς τὸ σῶμα προσ-

---

1) πέρασιν L. 2) κατασείσῃ L. ἀέτωμα - ἡ στεφάνη τοῦ δώματος Glossa Cod. Hipp. Veneti. 3) ἀντιτείνοντας L. 4) σκευάσοιτο L. 5) τροχηλλέης L. 6) ἀειδὲς L. μὴν F. M. 7) μακρολέγειν L. μακρηγορεῖν Hipp. 8) μάλιστα F. in mg. κάλλιστα. 9) sc. ἐξηγήσεως. 10) ἐκ L. 11) κεφαλῆς Codd. 12) ἤδη F. M. Hipp. 13) καταῤῥοπὴ L. 14) ὁρμάσαι L. 15) ἀποδῆσαι, δῆσ. δὲ ἰσχ. καταδεῖν τὸν L. προσδήσαντα ἰσχ. κατὰ δὲ τὸν F. Hipp. 16) ἕως L.

δῆσαι καὶ μὴ πρὸς τὴν κλίμακα· τὸ μέντοι ἄλλο σῶμα ἄδετον εἶναι, πλὴν ὅσον τοῦ κατορθοῦσθαι ἕνεκα ἄλλῃ καὶ ἄλλῃ ταινίῃ χαλαρῇ περιβεβλῆσθαι. ὅπως δὲ μὴ κωλύσωσι τὴν κατάτασιν οὗτοι οἱ δεσμοί, 1) σκοπέειν. τὰ δὲ σκέλη πρὸς μὲν τὴν κλίμακα μὴ προσδεδέσθαι, πρὸς ἄλληλα δὲ ὡς κατὰ τὴν ῥάχιν 2) εἰς εὐθὺ ῥέπῃ. — Ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον διηρίθμηται· τὴν δὲ ἐπὶ πόδας κατάσεισιν οὕτως χρὴ ποιεῖσθαι.

## σιθʹ. Ἐμβολὴ ἑτέρα σπονδύλων ἡ διὰ τῆς κλίμακος ἐπὶ πόδας γινομένη.

Ὅτι δὲ οὐχ ὁλοσχερῶς εὐαρεστεῖ ταῖς τοιαύταις κατατάσεσι, δῆλον 3) ὅτι ἐξ ὧν οὕτως ἐπιφέρει· — ταῦτα μέντοι 4) τοιουτοτρόπως ποιητέον, εἰ πάντως δέοι ἐν κλίμακι κατασεισθῆναι. αἰσχρὸν μὲν ἐν πάσῃ τέχνῃ καὶ οὐχ ἥκιστα ἐν ἰητρικῇ πολὺν ὄχλον καὶ πολλὴν ὄψιν καὶ πολὺν λόγον 5) παρασχόντα καὶ ἔπειτα μηδὲν ὠφελῆσαι. — Ὅθεν ἐν τοῖς ἐφεξῆς, ὃν τρόπον δεῖ τοὺς εἰς τὸ ἐκτὸς ἐκκλίναντας σπονδύλους καταρτίζειν, οὕτως ὑπογέγραφεν· — χρὴ δὲ τὴν κατασκευὴν τοῦ διαναγκαζομένου τοιήνδε κατασκευάσαι. ἔξεστι μὲν ξύλον ἰσχυρὸν καὶ πλατὺ ἐντομὴν παραμήκεα 6) ἐντέμνειν ἀνωτέρω τοῦ ἐδάφεος, ὅπως ἂν μετρίως ἔχῃ· ἔπειτα 7) ξύλον δρύϊνον, τετράγωνον, πλάγιον παραβάλλειν ἀπολιπόντα ἀπὸ τοῦ τοίχου ὅσον παρελθεῖν τινα ἢν δέῃ· καὶ ἐπὶ μὲν τὸν στύλον 8) ἐπιστρῶσαι χλαίνας ἢ ἄλλο τι ὃ μαλθακὸν μὲν ἔσται, ὑπείξει δὲ μὴ μέγα· τὸν δὲ ἄνθρωπον 9) πυριῆσαι, ἢν ἐνδέχηται, ἢ θερμῷ πολλῷ λοῦσαι καὶ ἔπειτα κατατεῖναι πρηνέα, 10) κατατείναντα δὲ τὰς χεῖρας κατὰ φύσιν προσδῆσαι πρὸς τὸ σῶμα· ἱμάντι δὲ πλατεῖ καὶ ἰσχυρῷ, μαλθακῷ δὲ καὶ μακρῷ ἐκ δύο διαντέων συμβεβλημένῳ μέσῳ κατα μέσον τὸ στῆθος δὶς περιβεβλῆσθαι ὡς ἐγγυτάτω τῶν μασχαλέων· 11) ἔπειτεν τὸ περισσεῦον τῶν ἱμάντων κατὰ

---

1) *σκοπέειν* om. Codd. 2) *ἰθύῤῥοπα ᾖ* F. M. Hipp. 3) Fort. *ἐστι.* 4) *οὕτω τρόπως* L. *ποιητέον ἔχει, πάντως* L. 5) *παρασχόντα* om. L. 6) *ἐνταμεῖν* F. M. 7) *στύλον* F. M. 8) *ὑποστρῶσαι* L. *ἐπιστορέσαι* F. M. 9) *πυρῆσαι* L. 10) *κατατείνας* L. Hippocr. lectionem vulgatam tuentur F. M. 11) *ἔπειτ' ἐν* L.

την μασχάλην ἑκάτερον περὶ τοὺς ὤμους περιβεβλῆσθαι. ἔπειτα αἱ ἀρχαὶ πρὸς ὑπεροειδές τι προσδεδέσθωσαν 1) ἁρμόζουσαι τὸ μῆκος τῷ 2) ξύλῳ ὑποτεταμένῳ πρὸς 3) ὅ τι προσβάλλον τὸ ὑπεροειδὲς ἀντιστηρίζον κατατείνει. τοιούτῳ δέ τινι ἑτέρῳ δεσμῷ 4) χρὴ ἄνωθεν τῶν τοῦ γόνατος δεσμῶν δήσαντα καὶ ἄνωθεν τῶν πτερνέων τὰς ἀρχὰς τῶν ἱμάντων πρὸς τοιοῦτό τι ξύλον προσδῆσαι, ἄνω δὲ ἄλλῳ ἱμάντι πλατεῖ καὶ 5)....

*Λείπει.*

σκ′. Ἐμβολὴ σπονδύλων ἡ διὰ τοῦ θέναρος τοῦ ἰατροῦ γινομένη καὶ τῶν ὀνίσκων.

Μετὰ δὲ τὰ προκινούμενα οὕτως ἐπιλέγει· — καὶ 6) ἀσινεστάτη μὲν αὕτη ἡ ἀνάγκη· ἀσινὴς δὲ καὶ καθέζεσθαί τινα ἐπὶ τὸ κύφωμα αὐτοῦ ἅμα κατατεινομένου καὶ 7) ἐπενσεῖσαι μετεωρισθέντα, — ὥστε 8) τῆς αὐτῆς κατατάσεως ἢ καὶ δι᾽ ὀνίσκων 9) γινομένη ἀντὶ τοῦ ταῖς χερσὶ πιέζειν διὰ τῆς καθέδρας ἐπερείδοντας ἢ καὶ ἐνσείοντας ἀναγκάζειν 10) τὸ ὑπερέχον τῶν σπονδύλων εἰς τὸ κατὰ φύσιν ἀποχωρεῖν. ὃν τρόπον δὲ δεῖ ποιεῖσθαι, οὕτως ὑποτέτακται.

σκα′. Ἐμβολὴ σπονδύλων ἡ διὰ τῆς καθέδρας τοῦ ἰατροῦ καὶ τῶν ὀνίσκων γινομένη.

Ἑπομένως δὲ ταῦτα ἀνακεχώρικεν· — ἀτὰρ καὶ ἐπιβῆναι τῷ ποδὶ καὶ ὀχηθῆναι τὸ σῶμα καὶ ἡσύχως ἐπισεῖσαι οὐδὲν κωλύει. τοιοῦτον δὲ ποιῆσαι μετρίως ἐπιτήδειος ἄν τις εἴη τῶν ἀμφὶ παλαίστρην εἰθισμένων. — Καὶ οὗτος δὲ ὁ τρόπος οὕτως ἂν ἐπιτελοῖτο διαλλάσσων τῇ διὰ τῶν ὀνίσκων κατασείσει. δεῖ δὲ τοὺς ὀνίσκους ἤτοι

---

1) *αἱ ἁρμόσσουσαι* L. 2) *νώτῳ* L. 3) *ὅτι*] *τὸ* L. *ἀντιστηρίζειν* L. 4) *ἣν* L. *γονάτων* L. 5) *Ἄπεστι ἓν φύλλον.* L. *μαλθακῷ* add. F. M. adjecto lacunae verbo *λείπει*. Nonne ex hac lacuna quoque patet, codices Parisienses apographa emendata esse archetypi Laurentiani? Subscriptio *σκ′* e codice F. 6) *ἀσθενεστάτη* L. 7) *ἐπεσεῖσαι* L. *ἐνσεῖσαι* F. M. 8) *διὰ* addiderim. *κατατάσιος* Codd. 9) *γινομένης* L. Legerim *ἢ καὶ δι᾽ ὀν. γινομένης.* — *διὰ τῆς καθέδρας* i. e. clunibus medici. 10) *τὴν ὑπερεχόντων* L.

παρὰ τὴν ὑποτιθεμένην τῷ μέλλοντι 1) καταταθήσεσθαι σανίδα κατορύσσειν ἢ ἐπ᾽ αὐτῆς ἐμπηγνύναι.

σκβ΄. Ἐμβολὴ σπονδύλων ἡ διὰ τῆς πτέρνης τοῦ ἰατροῦ καὶ τῶν ὀνίσκων γινομένη.

Ὃν τρόπον δὲ ἐπὶ τῆς τοῦ ὤμου ἐμβολῆς τὸν ἐπὶ πᾶσι καταρτισμὸν δυνατώτατον ὄντα κατακεχώρικεν, οὕτως καὶ ἐπὶ τῶν παρόντων τὸ ὅμοιον πεποίηκεν, ἑξῆς τὸν τρόπον τοῦτον διασαφῶν· — δυνατωτάτη μὲν οὖν τῶν 2) ἀναγκαίων ἐστὶν, εἰ ὁ μὲν τοῖχος 3) ἐντετμημένος εἴη, τὸ 4) δὲ ξύλον τὸ κατωρυγμένον ᾖ ἐντέτμηται κατωτέρω εἴη τοῦ ἀνθρώπου τῆς ῥάχιος, 5) ὅπως ἂν δοκέοι μετρίως ἔχειν. σανὶς δὲ φιλυρίνη μὴ λεπτὴ εἴη ἢ καὶ ἄλλου τινὸς ξύλου. ἔπειτα ἐπὶ μὲν τὸ ὕβωμα ἐπιτεθείη τρύχιον πολύπτυχον ἢ μικρὸν σκύτινον ὑποκεφάλαιον. ὡς ἐλάχιστα μὴν ἐπικεῖσθαι συμφέρει, μόνον προμηθευόμενον, ὅπως μὴ ἡ σανὶς ὑπὸ σκληρότητος ὀδύνην παράκαιρον 6) παρέχῃ. 7) κατ᾽ ἶξιν δὲ ὡς μάλιστα ἔστω τῇ ἐντομῇ τῇ ἐς τὸν τοῖχον τὸ 8) κύφωμα, ὡς ἡ σανὶς, ᾗ μάλιστα ἐξέστηκε, ταύτῃ μάλιστα 9) πιέζῃ ἐπιτεθεῖσα. ὅταν δὲ ἐπιτεθῇ, τὸν μέν τινα καταναγκάζειν χρὴ τῆς σανίδος τὸ ἄκρον, ἤν τε ἕνα δέῃ ἤντε δύο, τοὺς δὲ κατατείνειν τὸ σῶμα κατὰ μῆκος, ὥσπερ πρόσθεν εἴρηται, τοὺς μὲν τῇ, τοὺς δὲ τῇ. ἔξεστι δὲ καὶ ὀνίσκοις κατάτασιν ποιέεσθαι ἢ παρακατορύξαντα 10) παρὰ τὸ ξύλον ἢ ἐν αὐτῷ τῷ ξύλῳ τὰς 11) φλιὰς τῶν ὀνίσκων ἐντεκτεινάμενον, ἤν τε 12) ὀρθὰς θέλῃ μικρὸν ὑπερεχούσας, ἤν τε κατὰ 13) κορυφὴν τοῦ ξύλου ἔνθεν καὶ ἔνθεν. αὗται 14) αἱ ἀνάγκαι εὐταμίευτοι καὶ ἐς τὸ ἰσχυρότερον καὶ ἐς τὸ ἧσσον, καὶ ἰσχὺν ἔχουσι τοιαύτην, ὥστε καὶ εἴτις ἐπὶ λύμῃ βούλοιτο, ἀλλὰ μὴ ἐπὶ 15) ἰητρείῃ, ἐς τοιαύτας ἀνάγκας ἀγαγεῖν. καὶ γὰρ ἂν κατατείνων κατὰ μῆκος μόνον ἔνθεν καὶ ἔνθεν, οὕτω καὶ

---

1) καταθήσεσθαι L. 2) Ionica hac forma omnes Hippocratis codices utuntur. ἀναγκέων Editt. τύχος L. 3) ἐντέτμηται L. 4) δὲ om. L. κατορωρυγμένον F. M. Hipp. attica forma. 5) ὁπόσων L. 6) παρέχειν L. 7) καὶ τόξειν L. 8) ὕβωμα F. M. 9) πιέζειν L. 10) παρὰ om. L. 11) φιάλας L. 12) ὄρνιθας L. 13) κούρην τὸ L. 14) αἱ om. L. 15) ἰατρίῃ L.

ἄλλην ἀνάγκην μηδεμίαν προστιθεὶς ὅμως 1) κατατείνειεν ἄν τις. — Ἡ δὲ προκειμένη κατάτασις καὶ ἡ τῆς σανίδος μοχλεία τοῦτον ἂν τὸν τρόπον γίνοιτο.

σκγ΄. Ἐμβολὴ σπονδύλων ἡ διὰ τῆς σανίδος καὶ τῶν ὀνίσκων γινομένη.

Περὶ μὲν ἀγκῶνος καὶ καρποῦ καὶ τῶν εἰς τὸ ἔξω 2) προωθουμένων σπονδύλων καταρτισμοῦ, καθόσον ἦν δυνατὸν, διὰ τῶν ὑποδειγμάτων πεποίηκά σοι φανερὸν οὐ κατ᾽ ἄλλον τινὰ τῶν ἰατρῶν, ἀλλὰ καθ᾽ Ἱπποκράτην ὑπὲρ τῶν ὑφηγησαμένων λόγων, καθάπερ καὶ ἐν τῷ πρὸ τούτου βιβλίῳ τὰ περὶ ὤμου καταρτίσας ἐκδέδωκά σοι. τοὺς δ᾽ ἔτι λειπομένους τῶν ἐμβολῶν τρόπους μηροῦ τε καὶ γόνατος καὶ σφυροῦ κατ᾽ ἰδίαν παραπλησίως καταγράψας ἐφ᾽ ὧν ὑποδειγμάτων δυνατὸν ἐκδώσω σοι, ὥστ᾽ ἐν τοῖς τρισὶ βιβλίοις τετελειωμένην ἔχειν σε τὴν καθ᾽ Ἱπποκράτην περὶ ἄρθρων οὐκ ἀνωφέλητον θεωρίαν.

# ΑΠΟΛΛΩΝΙΟΥ ΚΙΤΙΕΩΣ
## ΤΗΣ ΠΕΡΙ ΑΡΘΡΩΝ ΠΡΑΓΜΑΤΕΙΑΣ ΤΟ Γ.

σκδ΄. Ἐν μὲν τῷ πρώτῳ βιβλίῳ, βασιλεῦ Πτολεμαῖε, διασεσάφηκά σοι, ὃν τρόπον ἄν τις καθ᾽ Ἱπποκράτην ὦμον ἐξηρθρηκότα σημειώσαιτό τε καὶ καταρτίσειεν· ἐν δὲ τῷ πρὸ τούτου περί τε ἀγκῶνος καὶ καρποῦ καὶ σπονδύλων 3) κύφεως παραπλησίως διὰ τῶν ὑποδειγμάτων 4) ἐκτέθειταί μοι, ὃν τρόπον τούτων δεῖ τὸν καταρτισμὸν

---

1) κατατείνειν ἐὰν τῆς L. 2) προσωθουμ. Codd. 3) Ita Codd. Leg. κύφους s. κυφώσεως. 4) οἷ (ἢ F.) ἐκτέθηται με τὸν τρόπον. ταῦτον (ταὐτὸν) δὲ τὸν κατ. π. L. F. M. Cod. F. obelum margini adposuit. Emendavi locum corruptum.

ποιεῖσθαι· ἐν δὲ τούτῳ τῷ βιβλίῳ περί τε μηροῦ καὶ γόνατος καὶ σφυροῦ τάς τε σημειώσεις τῶν ἐξηρθρηκότων καὶ τὰς ἐμβολὰς αὐτῶν, ὑφ᾽ ὧν δυνατὸν, διὰ τῶν ὑποδειγμάτων παραπλησίως τοῖς εἰρημένοις ἐκθήσομαι, ἵν᾽ ἐν τρισὶ βιβλίοις τελειουμένην ἔχῃς τὴν καθ᾽ Ἱπποκράτην περὶ τῶν ἄρθρων ἐπίγνωσιν. 1) ἐπεὶ δὲ ἤτοι πάντα ἢ πλεῖστα τῶν ἄρθρων χωρὶς ὀργανικῆς μηχανοποιΐας καταρτίζειν παρακελευσάμενος καὶ τὸν ὀργάνου τρόπον ἐν τοῖς ἐφεξῆς ἐπινοήσας ἐκτέθειμαι, ἀναγκαῖον ἂν εἴη καὶ τὴν 2) τούτου κατασκευὴν δι᾽ ὑποδείγματος κατὰ τὸν οἰκεῖον τρόπον ἐν τούτοις 3) ὑπογράψαι σοι πρὸς τὸ μηδέν σε τῶν πρὸς τὰ προκείμενα συντεινόντων κατὰ τὸ δυνατὸν διαλαθεῖν. 4) προκαταχωρίζων δὲ τὰς Ἱπποκράτους λέξεις ἀκολούθως τοῖς πρότερον, οὕτως τὰς διὰ τῶν ὑποδειγμάτων ἐμβολὰς ὑποτάξω. ἐχομένως τοίνυν οὕτως καταχωρίζει· — ἢν δὲ μηροῦ ἄρθρον ἐξ ἰσχίου ἐκπέσῃ, ἐκπίπτει δὲ τέσσαρας τρόπους, ἐς μὲν τὸ εἴσω πολὺ πλειστάκις, εἰς δὲ τὸ ἔξω τῶν ἄλλων πλειστάκις, εἰς δὲ τὸ ὄπισθεν 5) καὶ τὸ ἔμπροσθεν ἐκπίπτει μὲν, ὀλιγάκις δέ. 6) οἷσι μὲν οὖν ἐς τὸ εἴσω μέρος ἐκβῇ, μακρότερον τὸ σκέλος φαίνεται παραβαλλόμενον πρὸς τὸ ἕτερον διὰ δισσὰς προφάσιας εἰκότως. ἐπί τε γὰρ τὸ ἀπὸ τοῦ ἰσχίου πεφυκὸς ὀστέον τὸ ἄνω φερόμενον ἐπὶ τὸν κτένα ἐπὶ 7) τοῦτο ἡ ἐπίβασις τοῦ μηροῦ τῆς κεφαλῆς γίνεται καὶ ὁ αὐχὴν τοῦ ἄρθρου ἐπὶ τῆς κοτύλης ὀχέεται· ἔξωθέν τε αὐτοῦ ὁ γλουτὸς 8) κοῖλος φαίνεται ἔσω ἅτε ῥεψάσης τῆς κεφαλῆς τοῦ μηροῦ· τό τε αὖ κατὰ τὸ γόνυ τοῦ μηροῦ 9) ἄκρον ἀναγκάζεται ἔξω ῥέπειν καὶ ἡ κνήμη καὶ ὁ ποὺς ὡσαύτως. — καὶ μετά τινας ἀριθμούς φησιν· — ἀτὰρ καὶ ψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ παρὰ τὸν περίναιον ὑπερογκέουσα εὔδηλός ἐστι. τὰ μὲν οὖν σημεῖα ταῦτά ἐστιν, οἷσιν ἂν εἴσω ἐκπεπτώκῃ. ἐὰν οὖν ἐκπεσὼν μὴ ἐμπέσῃ, ἀλλὰ 10) καταπορηθῇ, ἥ τε ὁδοιπορίη περιφοράδην τοῦ σκέλεος ὥσπερ ἐν τοῖς βουσὶ γίνεται καὶ ἡ

---

1) ἐπιδέη τοι L. 2) ἐκ add. L. 3) ὑπέγραψα L. 4) προκαταχωρίζειν Codd. 5) καὶ τὸ ἔμπρ. om. L. 6) οἵη L. 7) τοῦτον L. 8) κοῖνος L. 9) ἄκρον om. L. 10) καταπωρεθῇ L. Fort. καταπωρωθῇ.

1) ὄχησις πλείστη αὐτοῖσι ἐπὶ τοῦ ὑγιέος σκέλεός ἐστι 2) καὶ ἀναγκάζονται τὰ κατὰ τὸν κενεῶνα καὶ κατὰ τὸ ἄρθρον τὸ ἐκπεπτωκὸς 3) κυλλοὶ καὶ σκολιοὶ εἶναι. καὶ κατὰ δὲ τὸ ὑγιὲς ἐς τὸ ἔξω ὁ γλουτὸς ἀναγκάζεται περιφερὴς εἶναι. — Καὶ πάλιν οὕτως ἔχει· — ἀναγκάζονται δὲ καὶ ἐπικίπτειν. τῇ γὰρ χειρὶ τῇ κατὰ τὸ σκέλος τὸ σιναρὸν ἀναγκάζονται κατὰ πλάγιον τὸν μηρὸν 4) ἐρείδειν. οὐ γὰρ δύναται τὸ σιναρὸν σκέλος ὀχεῖν τὸ σῶμα ἐν τῇ μεταλλαγῇ τῶν σκελέων, ἢν 5) μὴ κατέχηται πρὸς τὴν γῆν πιεζόμενον. ἐν τούτοις οὖν τοῖς σχήμασιν ἀναγκάζονται ἐσχηματίσθαι, οἷσιν ἂν 6) εἴσω ἐκβὰν τὸ ἄρθρον μὴ ἐμπέσῃ. — Καὶ μετά τινας ἀριθμοὺς οὕτως ἕκαστα περιεργῶς διαπορεύεται. 7) ἀναγκάζομαι δὲ τῆς συμμετρίας στοχαζόμενος αὐτὰ τὰ καίρια μόνον προτάσσειν· — οἷς μὲν οὖν μήπω τετελειωμένοις ἐς αὔξησιν 8) ἐκπεσὼν μὴ ἐμπέσῃ, γυιοῦται καὶ ὁ μηρὸς καὶ ἡ κνήμη καὶ ὁ πούς. οὔτε γὰρ ὀστᾶ ἐς τὸ μῆκος ὁμοίως αὔξεται, ἀλλὰ βραχύτερα γίνεται, μάλιστα δὲ τοῦ μηροῦ, ἄσαρκόν τε ἅπαν τὸ σκέλος καὶ ἄμυον καὶ ἐκτεθηλυσμένον καὶ λεπτὸν γίνεται, ἅμα μὲν διὰ τὴν στέρησιν 9) τῆς χώρης τοῦ ἄρθρου, ἅμα δὲ ὅτι ἀδύνατον χρῆσθαί ἐστιν, ὅτι οὐ κατὰ φύσιν κεῖται. — Καὶ διὰ τούτων πᾶσιν ἐπιλέγει· — οἷς δ᾽ ἂν νηπίοις ἡ συμφορὴ αὕτη γίνηται, οἱ πλεῖστοι 10) καταμβλακεύουσι τὴν ὄρθωσιν τοῦ σώματος, ἀλλὰ εἰλέονται ἐπὶ τὸ ὑγιὲς σκέλος, τῇ χειρὶ πρὸς τὴν γῆν ἀπερειδόμενοι τῇ κατὰ τὸ ὑγιὲς σκέλος. καταμβλακεύουσι δὲ ἔνιοι τὴν ἐς τὸ ὀρθὸν ὁδοιπορίην, καὶ οἷς ἂν τετελειωμένοις αὕτη ἡ συμφορὴ γίνηται. — Τὰ μὲν σημεῖα ταῦτα ἐκτέθειται· τὸν δὲ καταρτισμὸν ὃν τρόπον δεῖ ποιεῖσθαι, διὰ τούτων δεδήλωκεν· — μηροῦ δὲ ὀλίσθημα κατ᾽ ἰσχίον ὧδε χρὴ ἐμβάλλειν· ἢν ἐς τὸ εἴσω μέρος ὠλισθήκῃ, ἀγαθὴ μὲν ἥδε κατὰ φύσιν καὶ δικαίη ἡ ἐμβολὴ καὶ δή

---

1) ὄγκωσις L. 2) ἦν ἀνάγκατον L. 3) κοῖλοι L. κοιλοὶ Hipp. Cod. Venet. 4) ἐρείδειν om. L. 5) μὴ κατ. πρὸς om. L. 6) εἴσω om. L. 7) ἀναγκάζονται — στοχαζόμενον Codd. 8) ἐκπεσὸν μηδὲ L. 9) τῆς χώρης om. L. 10) καταβλακεύουσι τὴν διόρθωσιν F. M. — κατολιγωροῦσι glossa in cod. Chirurg. Laurent. ad librum Hippocratis de articulis.

τι ἀγωνιστικὸν ἔχουσα, ὅστις 1) γε καὶ τοῖς τοιούτοις ἥδεται κομψευόμενος. κρεμάσαι χρὴ τὸν ἄνθρωπον τῶν ποδῶν πρὸς μεσόδμην δεσμῷ μαλθακῷ, δυνατῷ δὲ καὶ 2) πλάτος ἔχοντι. τοὺς δὲ πόδας χρὴ διέχειν ὅσον τέσσαρας δακτύλους ἢ καὶ 3) ἔλασσον. χρὴ δὲ καὶ ἐπάνωθεν τῶν ἐπιγουνίδων προσπεριβεβλῆσθαι πλατεῖ ἱμάντι καὶ μαλθακῷ, ἀνατείνοντα πρὸς τὴν μεσόδμην, τὸ δὲ σκέλος τὸ σιναρὸν ἐντετάσθαι ὡς δύο δακτύλους μᾶλλον τοῦ ἑτέρου. ἀπὸ δὲ τῆς γῆς ἀπεχέτω τὴν κεφαλὴν ὡς δύο πήχεις ἢ ὀλίγῳ πλεῖον ἢ ὀλίγον ἔλασσον. τὰς δὲ χεῖρας παρατεταμένας παρὰ τὰς πλευρὰς 4) καταλελαμμένος ἔστω μαλθακῷ τινι. πάντα δὲ ταῦτα ὑπτίῳ κατακειμένῳ κατασκευασθήτω, ὡς ὅτι ἐλάχιστον χρόνον κρέμηται. ὅταν δὲ κρεμασθῇ, ἄνδρα χρὴ εὐπαίδευτον καὶ μὴ ἀσθενέα 5) ἐνείραντα τὸν πῆχυν μεταξὺ τῶν μηρῶν, ἔπειτα θέσθαι τὸν πῆχυν μεσηγὺ τοῦ τε περιναίου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ τῆς ἐξεστηκυίης, ἔπειτα συνάψαντα τὴν ἑτέρην χεῖρα πρὸς τὴν 6) διηρμένην, παραστάντα ὀρθὸν παρὰ τὸ σῶμα τοῦ κρεμαμένου, ἐξαπίνης ἐκκρεμασθέντα μετέωρον αἰωρηθῆναι ὡς ἰσοῤῥοπώτατα. αὕτη μὲν ἡ ἐμβολὴ παρέχεται ὅσα χρὴ κατὰ φύσιν. αὐτό τε γὰρ τὸ σῶμα κρεμάμενον κατάτασιν ποιέεται, ὅ 7) τε κρεμασθεὶς ἅμα μὲν τῇ κατατάσει ἀναγκάζει ὑπεραιωρέεσθαι τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης, ἅμα δὲ τῷ ὀστέῳ τοῦ πήχεως ἀπομοχλεύει καὶ ἀναγκάζει εἰς τὴν ἀρχαίην φύσιν ὀλισθάνειν. — Ταῦτα μὲν ἐπὶ τοσοῦτον ὑπὸ τοῦ Ἱπποκράτους διασεσάφηται· δεῖ δὲ τὸν προκείμενον καταρτισμὸν καθάπερ ἔχει τὸ ὑποδεδειγμένον ὑπόδειγμα, τὸν τρόπον τοῦτον ποιεῖσθαι.

σκέ. Ἐμβολὴ μηροῦ ἡ ἐπὶ κεφαλῆς καὶ 8) τοῦ πήχεως τοῦ ἰατροῦ παρὰ τὸν περίναιον γινομένη, ἣν εἰς τὸ ἔσω μέρος ὀλισθῇ.

Ἐπειδὴ πλειστάκις εἴρηκε τὸν μηρὸν εἰς τὸ ἔσω μέρος ὀλισθάνειν, καταλέγων πλείονας ἐμβολὰς ἐπὶ τούτου τοῦ

---

1) τε L. 2) πηχέως L. 3) ἐλάσσω L. 4) προσλελαμμένος F. in mg. γρ. προσδεδεμένος. 5) ἐρείσαντα L. 6) διηρημένην Codd. in mg. γρ. διηρμένην F. ὀρθῶς L. 7) δὲ L. 8) Fort. addendum διά.

τρόπον προσυπογέγραφεν. ἐχομένως γὰρ τὴν διὰ τοῦ ἀσκοῦ γινομένην ἐμβολὴν, καίτοι γε οὐκ εὐαρεστουμένην αὐτῷ κατὰ πᾶν, διὰ τούτων ἐκτέθειται· — εὐδοκιμεῖ δὲ καὶ ἀσκῷ τοῦτο τὸ ἄρθρον ἐμβάλλεσθαι· καὶ ἤδη μέν τινας εἶδον, οἵτινες ὑπὸ φαυλότητος καὶ τὰ ἔξω 1) ἐκκεκλιμένα καὶ τὰ ἐς τοὔπισθεν ἀσκῷ ἐμβάλλειν ἐπειράθησαν 2) οὐ γινώσκοντες ὅτι ἐξέβαλλον μᾶλλον ἢ εἰσέβαλλον. ὁ μέντοι πρῶτος ἐπινοήσας δῆλον ὅτι πρὸς τὰ εἴσω ὠλισθηκότα ἀσκῷ ἐμβάλλειν ἐπειρήσατο. ἐπίστασθαι μὲν οὖν χρὴ ὡς χρηστέον ἀσκῷ, εἰ δέοι χρέεσθαι· διαγινώσκειν δὲ χρὴ ὅτι ἕτερα πολλὰ ἀσκοῦ κρείσσω. — Οὐ λίαν δὲ 3) ἐγκρίνων τὴν διὰ τοῦ ἀσκοῦ ἐμβολὴν, ὅμως περὶ αὐτῆς οὕτως ἀποφαίνεται· — χρὴ δὲ τὸν ἀσκὸν ἐνθεῖναι ἐς τοὺς μηροὺς ἀφύσητον ἐόντα, ὡς ἂν 4) οἷόν τε ἀνωτάτω πρὸς τὸν περίναιον ἄνω ἀνάγοντα, ἀπὸ δὲ τῶν ἐπιγουνίδων ἀρξάμενον ταινίῃ πρὸς ἀλλήλους τοὺς μηροὺς καταδῆσαι μέχρι τοῦ ἡμίσεως, ἔπειτα δὲ 5) εἰς ἕνα τῶν ποδῶν τῶν λελυμένων ἐνθέντα 6) αὐλὸν ἐκ χαλκείου φῦσαν ἀναγκάζειν εἰς τὸν ἀσκόν· τὸν δὲ ἄνθρωπον πλάγιον κατακέεσθαι, τὸ σιναρὸν σκέλος ἐπιπολῆς ἔχοντα. ἡ μὲν παρασκευὴ αὕτη. σκευάζονται δὲ 7) κάκιον οἱ πλεῖστοι ἢ ὡς ἐγὼ εἴρηκα. οὐ γὰρ καταδέουσι τοὺς μηροὺς ἐπὶ συχνῶν, ἀλλὰ μόνον τὰ 8) γούνατα, οὐδὲ κατατείνουσι. χρὴ δὲ καὶ προκατατείνειν. ὅμως δὲ ἤδη τινὲς ἐνέβαλλον ῥηϊδίου πράγματος ἐπιτυχόντες. — Ὃν τρόπον δ᾽ ἄν τις χρήσαιτο τῇ διὰ τοῦ ἀσκοῦ ἐνθέσει, τὸ ὑποτεταγμένον ὑπόδειγμα περιέχει.

---

1) *κεκλιμένα* L. *τὰ μὴ ἐς τοὔπ.* L. *τὰ ὄπ.* F. M. 2) *οἱ* L. *γινώσκ. αὐτοῖς* L. sibi non conscii. *ἐξέβαλλεν — εἰσέβαλλεν* L. 3) *ἐκκρίνων* L. 4) *οὖν ἦτε* L. Conjeci *οἷόν τε. δύναιτο* F. M. Hipp. 5) *ἐν δυοῖν ποδεσιν ὃν τῶν λελ.* L. *ποδῶν* Cod. Laur. in Hipp. libro de articulis. Pedes utris quattuor anguli dicuntur, caprae pedum reliquiae. Saepius in Hispania vinum huiusmodi utribus inclusum, qui pleni tumidique caprae formam referunt, a mulionibus transvehi cognovi iisque mulis impositis loco clitellarum usus sum viator. 6) *αὐλῷ χαλκίου φυσι ἐναγκάζειν* L. 7) *τάχιον* L. 8) *γώνατα* L.

### σκϛʹ. Ἐμβολὴ μηροῦ ἡ διὰ τοῦ ἀσκοῦ γινομένη, ἣν εἰς τὸ ἔσω μέρος ὀλισθῇ.

Ἐχομένως δὲ ἄλλης ἐμβολῆς διὰ τούτων μνημονεύει· — ἐμβάλλεται δὲ μηροῦ ἄρθρον καὶ τόνδε τὸν τρόπον, ἢν ἐς τὸ εἴσω ὀλισθῇ ἢ καὶ ἐς τὸ ἔμπροσθεν. κλίμακα χρὴ κατορύξαντα περικαθίσαι τὸν ἄνθρωπον, εἶτα τὸ μὲν ὑγιὲς σκέλος ἡσύχως κατατείνοντα προσδῆσαι ὅπου ἂν ἁρμόσῃ, ἐκ δὲ τοῦ σιναροῦ 1) εἰς κεράμιον ὕδωρ ἐγχέαντας ἐκκρεμάσαι ἢ ἐς σφυρίδα λίθους ἐμβαλόντας. — 2) Τοῦτον τὸν τρόπον δὲ δεῖ καὶ τὸν προκείμενον καταρτισμὸν ποιεῖσθαι.

### σκζʹ. Ἐμβολὴ μηροῦ ἡ διὰ τῆς κλίμακος καὶ τοῦ κεραμίου γινομένη, ἣν εἰς τὸ εἴσω μέρος ὀλισθῇ.

Ἐχομένως δὲ καὶ ἄλλου τρόπου διὰ τούτων μνημονεύει· — ἕτερος τρόπος ἐμβολῆς, ἢν ἐς τὸ εἴσω ὀλισθῇ. στρωτῆρα χρὴ διαδῆσαι μεταξὺ δύο στύλων ὕψος ἔχοντα σύμμετρον. προσεχέτω δὲ τοῦ στρωτῆρος κατὰ τὸ ἓν μέρος ὅσον τὸ πυγαῖον. περιδήσας δὲ περὶ τὸ στῆθος τοῦ ἀνθρώπου ἱμάτιον ἐπικαθίσαι τὸν ἄνθρωπον ἐπὶ τὸ προσέχον τοῦ στρωτῆρος, εἶτα προσβάλλειν τὸ στῆθος πρὸς τὸν στύλον πλατεῖ τινι. ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος κατεχέτω τις, ὡς μὴ περισφάλληται, ἐκ δὲ τοῦ σιναροῦ ἐκκρεμάσαι βάρος ὅσον ἁρμόζει. — Δεῖ δὲ καὶ ταύτην τὴν ἐμβολὴν οὕτως καταρτίζεσθαι.

### σκηʹ. Ἐμβολὴ μηροῦ ἡ διὰ τοῦ στρωτῆρος καὶ τοῦ βάρους τοῦ σκέλους γινομένη, ἣν εἰς τὸ ἔσω μέρος ὀλισθῇ.

Ὃν τρόπον δὲ ἐπὶ ὤμου πλείονας ἐμβολὰς τάξας ἐπὶ πᾶσι κράτιστον καταρτισμὸν κατεχώρισεν, οὕτως καὶ ἐπὶ μηροῦ τὸ ὅμοιον πεποίηκεν. ἀπὸ γὰρ τῶν ἁπλῶν ἐπὶ τὴν ὀργανικὴν κατήντηκε κατάτασιν καὶ μοχλείαν 3) ἥτις βιαιοτέρας ἀνάγκας ἔχει καὶ πρὸς τῶν ἄλλων 4) ἄρθρων

---

1) εἰς om. L. ἐγχέας — ἐμβαλὼν L. Fort. ἐκκρέμασαι. 2) τοῦτον om. Codd. ἴσως τοῦτον F. in mg. 3) εἴ τις L. 4) ἐνάρθρων L.

καταρτισμὸν καὶ πρὸς μηροῦ διεξηρθρηκότος ἐμβολάς. ὅθεν ἐχομένως τοῦ Ἱπποκράτους περὶ τῆς τοῦ ὀργάνου κατασκευῆς μνημονεύοντος, πρότερον τὸ ὑπόδειγμά σοι καταγραφήσεται, 1) εἶτα αἱ γινόμεναι διὰ τούτου τοῦ μηροῦ ἐμβολαί. διασαφεῖ δὲ οὕτως — εἴρηκα δὲ καὶ πρόσθεν ἤδη ὅτι ἐπάξιον ὅστις ἐν πόλει 2) πολυανθρώπῳ ἰητρεύει, ξύλον κεκτῆσθαι τετράγωνον ὡς ἑξάπηχυ ἢ ὀλίγῳ μεῖζον, εὖρος δὲ δίπηχυ· πάχος δὲ ἀρκέσει σπιθαμιαῖον· ἔπειτεν κατὰ μῆκος μὲν ἔνθεν καὶ ἔνθεν τομὴν ἔχειν, ὡς μὴ ὑψηλοτέρη τοῦ καιροῦ ἡ μηχανὴ ᾖ· ἔπειτα φλιὰς 3) βαθείας, ἰσχυρὰς καὶ ἰσχυρῶς ἐνηρμοσμένας ὀνίσκον ἔχειν ἑκατέρωθεν. ἔπειτα ἀρκέει μὲν ἐν τῷ ἡμίσει τοῦ ξύλου. οὐδὲν δὲ κωλύει καὶ διὰ παντὸς ἐντετμῆσθαι ὥσπερ καπέτους μακρὰς ἢ πέντε ἢ ἓξ διαλειπούσας ἀπ᾽ ἀλλήλων ὡς τέσσαρας δακτύλους. αὐτὰς δὲ ἀρκέει εὖρος τριδακτύλους εἶναι καὶ βάθος οὕτως· ἔχειν δὲ κατὰ μέσον τὸ ξύλον καὶ καταγλυφὴν βαθυτέρην 4) ἔτι τετράγωνον ὡς τριῶν δακτύλων· καὶ ἐς μὲν τὴν καταγλυφὴν ταύτην, ὅταν 5) δοκέῃ, προσδεῖν ξύλον ἐμπηγνύντα ἐναρμόσον τῇ καταγλυφῇ, τὸ δὲ ἄνω στρογγύλον 6) ἐμπηγνύναι δὲ, ὡς ἄν ποτε δοκῇ συμφέρειν, μεσηγὺ τοῦ περιναίου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ. τοῦτο τὸ ξύλον 7) ἑστεὸς κωλύσει τὴν ἐπίδοσιν ἐπιδιδόναι τὸ σῶμα τοῖς πρὸς ποδῶν ἕλκουσιν. ἐνίοτε γὰρ ἀρκέσοι ἂν αὐτὸ τὸ ξύλον τοῦτο ἀντὶ τῆς ἄνωθεν ἀντικατατάσιος· ἐνίοτε δὲ καὶ κατατεινομένῳ ἔνθεν καὶ ἔνθεν αὐτὸ τὸ ξύλον τοῦτο χαλαρὸν ἐγκείμενον 8) ἐν τῇ ῥοπῇ ἐκμοχλεύειν ἐπιτήδειον ἂν εἴη τὴν κεφαλὴν τοῦ μηροῦ ἐς τὸ ἔξω μέρος. διὰ τοῦτο γὰρ καὶ αἱ 9) κάπετοι ἐντέτμηνται, ὡς καθ᾽ ὁποίην ἂν αὐτέων 10) ἁρμόσῃ, ἐμβαλλόμενος ὁ ξύλινος μοχλος μοχλεύει ἢ παρὰ τὰς κεφαλὰς τῶν ἄρθρων ἐρειδόμενος ἅμα τῇ κατατάσει ἤν τε ἐς τὸ ἔξω μέρος 11) συμφέρῃ ἐκμοχλεῦσαι καὶ ἤν τε στρογγύλον τὸν μοχλὸν συμφέρῃ εἶναι ἤν τε πλάτος ἔχοντα. 12) ἄλλος γὰρ ἄλλῳ

1) εἶτε L. 2) ἀνθρώπῳ L. 3) βραχείας F. M. Hipp. 4) ἐπὶ F. M. Hipp. 5) δοκέῃ om. L. δέῃ Codd. Hipp. aliquot. 6) ἐμπήγνυνται. ὡς L. 7) ἔσται ὡς L. 8) ἢ τῇ ἢ τῇ F. M. Hipp. 9) κάπεδοι L. 10) ἁρμογει L. 11) συμφέρῃ om. L. 12) ἄλλως γ. ἄλλως L.

τῶν ἄρθρων ἁρμόσει· εὔχρηστος δὲ ἐφ᾽ ἁπάντων τῶν ἄρθρων 1) ἐμβολὴ τῶν κατὰ τὰ σκέλεα αὕτη ἡ μόχλευσις σὺν τῇ κατατάσει. περὶ οὗ μὲν οὖν ὁ λόγος ἐστὶ, στρογγύλος 2) ἁρμόσει ὁ μοχλὸς εἶναι· τῷ μέντοι ἔξωθεν ἐκπεπτωκότι ἄρθρῳ πλατὺς ἁρμόσει εἶναι. ἀπὸ τούτων τῶν μηχανῶν καὶ ἀναγκέων οὐδὲν ἄρθρον μοι δοκέει οἷόν τε εἶναι ἀπορηθῆναι τοῦ ἐμπεσεῖν. — Ἡ μὲν οὖν ἀπὸ τοῦ Ἱπποκράτους γεγενημένη τῆς ὀργανικῆς σανίδος ἐπίνοια διὰ τούτων σεσήμανται. ἡ δὲ τούτου τοῦ ὀργάνου κατασκευὴ τὸν ὑποδεδειγμένον τρόπον ἔχει.

## σκϑ΄. Ἡ τοῦ ὀργάνου κατασκευὴ ἤτοι βάθρον τοῦ Ἱπποκράτους.

Ἡ μὲν τοῦ ὀργάνου κατασκευὴ τοῦτον ἔχει τὸν τρόπον. ὁ δὲ ἐπ᾽ αὐτοῦ γινόμενος τοῦ μηροῦ καταρτισμὸς διὰ τῶν ἐχομένων ὑποδειχθήσεταί σοι. οὐ γὰρ μόνον οἴεται εἰς τὸ ἔσω τῆς ἐπὶ τοῦ μηροῦ ἐξαρθρήσεως τὴν ἐπὶ τῆς προκειμένης σανίδος κατάτασιν καὶ μοχλείαν ἀρκεῖν, ἀλλὰ καὶ 3) ἐπιπησσομένων ἐξ ἑκατέρου μέρους φλιῶν ἐχουσῶν κλιμακτῆρα καὶ πλαγίου τοῦ ἀνθρώπου κατατεινομένου. προφέρεται δὲ ἐχομένως περὶ αὐτοῦ τὸν τρόπον τοῦτον. — 4) ἔχοι ἂν τις καὶ ἄλλους τρόπους τοῦ ἄρθρου τούτου ἐμβολῆς. εἰ γὰρ τὸ ξύλον τὸ μέγα τοῦτο ἔχοι κατὰ μέσον κατὰ πλάγιον φλιὰς δύο ὡς ποδιαίας, ὕψος δὲ ὅπως δοκοίη συμφέρειν, τὴν μὲν ἔνθεν, τὴν δὲ ἔνθεν, καὶ ἔπειτα ξύλον πλάγιον ἐνείη ἐν ταῖς φλιαῖς ὥσπερ κλιμακτὴρ, ἔπειτα ἤδη 5) ἐρείσειε τὸ ὑγιὲς σκέλος μεσηγὺ τῶν φλιῶν, τὸ δὲ σιναρὸν ἄνωθεν τοῦ κλιμακτῆρος ἔχοι ἐναρμόσον ἀπαρτὶ πρὸς τὸ ὕψος καὶ 6) πρὸς τὸ ἄρθρον ῇ ἐκπέπτωκει· ῥηΐδιον δὲ 7) ἁρμόσει· τὸν κλιμακτῆρα ὑψηλότερόν τινι χρὴ ποιέειν τοῦ μετρίου, καὶ ἱμάτιον πολύπτυχον, ὡς ἂν ἁρμόσῃ, ὑποτείνειν ὑπὸ τὸ σῶμα. ἔπειτα χρὴ ξύλον ἔχον τὸ πλάτος μέτριον καὶ μῆκος ἄχρι τοῦ σφυροῦ ὑποτεταμένον ὑπὸ τὸ σκέλος εἶναι ἱκνεόμενον ἐπέκεινα

---

1) ἐμβολὴν L. 2) ἁρμόσειεν L. 3) ἐπιπισωμένων L. ἑκατέρους μηροὺς L. 4) εὕροι F. M. Hipp. 5) διέρσαι F. M. Hipp. 6) τὰ add. L. 7) ἁρμώσῃ L.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 53 sur 382

ἐπὶ τῆς κεφαλῆς τοῦ μηροῦ, ὡς οἷόν τε· προσκαταδεδέσθαι δὲ πρὸς τὸ σκέλος ὁποσαχῶς ἂν μετρίως ἔχῃ· καὶ ἔπειτα κατατεινομένου τοῦ σκέλεος, εἴτε ξύλῳ ὑπεροειδεῖ εἴτε τούτων τινὶ τῶν κατατασίων ὁμοῦ καταναγκάζεσθαι τὸ σκέλος περὶ τὸν κλιμακτῆρα ἐς τὸ κάτω μέρος σὺν τῷ ξύλῳ τῷ προσδεδεμένῳ· τὸν δέ τινα κατέχειν τὸν ἄνθρωπον ἀνωτέρω τοῦ ἄρθρου κατὰ τὸ ἰσχίον. καὶ οὕτως ἡ κατάτασις ἅμα μὲν 1) ὑπεραιωρέοι ἂν τὴν κεφαλὴν τοῦ μηροῦ 2) ὑπὲρ τῆς κοτύλης, ἅμα δὲ ἡ μόχλευσις ἀπωθέοι τὴν κεφαλὴν τοῦ μηροῦ εἰς τὴν ἀρχαίην φύσιν τοῦ μηροῦ. αὗται πᾶσαι αἱ εἰρημέναι ἀνάγκαι ἰσχυραὶ 3) καὶ κρέσσους τῆς συμφορῆς, ἤν τις ὀρθῶς καὶ καλῶς σκευάζηται. ὥσπερ δὲ καὶ πρόσθεν ἤδη εἴρηται, πολὺ ἀπὸ ἀσθενεστέρων κατατασίων καὶ φαυλοτέρης κατασκευῆς τοῖς πλείστοις ἐμπίπτει. — Θαυμάζω δὲ ἐπὶ τοῖς τὴν 4) πολυθρύλλητον ἀνατομὴν ἐναγκαλιζομένοις Ἡροφιλείοις, μάλιστα δὲ ἐπὶ 5) Ἡγήτορος. ἐν γὰρ τῷ περὶ αἰτιῶν περὶ μηροῦ ἐξαρθρήσεως οὕτως ἐμέμνητο τὰ ὑποτεταγμένα διασαφῶν· διὰ τί δὲ οὐκ ἐπιβάλλονται ζητεῖν ἄλλην τινὰ ἐμβολὴν τῆς τοῦ μηροῦ κεφαλῆς παρὰ τὰς νυνὶ καταπεπτωκυίας, καθ' ἣν ὅταν ἐκπέσῃ, ἐμβληθεῖσα 6) μένει, οἱ μόνον αὐτῇ τῇ τριβῇ προσχρώμενοι, θεωροῦντες ἐκ τοῦ ἀνάλογον ἐμβαλλόμενα καὶ μένοντα, τήν τε κάτω σιαγόνα καὶ τὴν τοῦ βραχίονος κεφαλὴν, ἔτι δὲ ἀγκῶνα καὶ γόνυ καὶ τῶν δακτύλων ἕκαστον καὶ σχεδὸν τὰ πλεῖστα τῶν εἰθισμένων ἐκπίπτειν ἄρθρων; οὐδὲν γὰρ ἔχοντες αὐτοῖς ἐπιλογίσασθαι, διὰ τί ποτε μόνον τοῦτο τὸ ἄρθρον ἐκπεσὸν καὶ πάλιν ἐμβληθὲν οὐ δύναται μένειν, τῷ δὲ πλεονάκις ἐπὶ τῶν λοιπῶν ἄρθρων 7) γινομένῳ προσχρησάμενοι ἕξουσι κατά τι πιθανὸν 8) ἐπὶ τὸ νομίσαι, μή ποτε ὑπάρχῃ βελτίων ἐμβολὴ, καθ' ἣν δυνήσεται μένειν τὸ ἄρθρον, ἐχόμενον τοῦ κατὰ τὸ πλεῖστον ἐπὶ

1) ὑπεραίροιτο Hipp. 2) ὑπὲρ — κεφαλὴν om. L. 3) κατα L. 4) πολυθρυλυτον L. 5) ἡγήτορος L. Fort. ἡγήτορι. Ex hoc loco luce clarius videtur patere, Appollonium Citiensem non fuisse Herophileum. Spreng. hist. med. I. p. 559. Apoll. Citiens. p. 4. ubi eodem modo Herophileos vituperat. 6) μένη L. οἳ F. 7) γινομένων L. 8) ἐπιτονομίσαι F.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 54 sur 382

τῶν λοιπῶν συμβαίνοντος. εἰ δὲ ἐπενόησαν τὴν αἰτίαν ἐξ
ἀνατομῆς, διότι συμβέβηκεν ἐκ τῆς κεφαλῆς τοῦ μηροῦ
1) νεῦρον εἰσπεφυκέναι, ὃ ἐμφύεται εἰς μέσην τὴν κοτύ-
λην· οὗ μένοντος μὲν, ἀδύνατόν ἐστιν ἐκπεσεῖν τὸν μηρόν·
διασπασθὲν δὲ οὐκ ἐνδέχεται σύμφυσιν λαβεῖν· μὴ γεγε-
νημένης δὲ τῆς συμφύσεως, 2) ἀδυνατεῖ πάλιν κατὰ χώ-
ραν μένειν τὸ ἄρθρον, ὥστε φανερᾶς τῆς αἰτίας γενομέ-
νης, ἀποστῆναι καθόλου τοῦ ἐμβάλλειν ἐκπεσόντα μηρὸν
καὶ μὴ κατακολουθεῖν ἀδυνάτοις ἐπιβολαῖς. — Ἐν τού-
τοις ὁ Ἡγήτωρ οὐ μόνον πεπλάνηται, ἀλλὰ καὶ τοὺς
φιλιατροῦντας ὅσον ἐφ᾽ ἑαυτῷ διέστρεφεν. ἔτι δὲ καὶ τῶν
ὑπὸ Ἱπποκράτους ἐν τῷ περὶ ἄρθρων εἰρημένων οὐδα-
μῶς κεκράτηκεν, ἅμα καὶ 3) ἄπορον ὁμολογῶν τὴν ἐπι-
χείρησιν, ἐν τοῖς προκειμένοις εὐηθέστερον συνίσταται.
ἵνα δὲ μὴ 4) πολὺ γράφωμεν, κεφαλαιώδεις τὰς πρὸς
αὐτὸν ὑπομνήσεις ποιησόμεθα. οἱ γὰρ αὐτῇ μόνῃ τῇ
τριβῇ προσχρώμενοι, μένοντες ἐπὶ τῶν ἐμπείρως παρατε-
τηρημένων, οὔθ᾽ ὁμολογήσουσιν, ὅτι καθόλου μηρὸς ἐξαρ-
θρήσας καταρτισθεὶς πάλιν ἐκπίπτει, οὔτε πάλιν ἐμβο-
λὴν 5) παρήσονταί ποτε, τοῦ προκειμένου μὴ κρατηθέν-
τος. εἰ δὲ τοῦτο ἀληθές ἐστιν, ὅπερ καὶ βούλεται, οὐδ᾽
ἂν οὕτως ἐγενήθησαν οἱ τῇ παρατηρήσει συγχρώμενοι,
ἀλλ᾽ ὃν τρόπον καὶ τὰ ἐπὶ τῶν ἄρθρων αὐτοῖς τεθεώρη-
ται, οὕτως καὶ τὰ ἐπὶ μηροῦ ἰδίως παρακολουθοῦντα
κατειλῆφθαι πιθανόν ἐστιν, ὥστε μὴ βουλεύεσθαι τοὺς
τῇ γνώμῃ ζητοῦντας βελτίονα ἐμβολὴν, μένειν δὲ ἐπὶ τοῦ
θεωρηθέντος ἐμπείρως. ὅτι δὲ μηρὸς ἐξαρθρήσας καὶ
ἐντεθεὶς πάλιν κατ᾽ ἀνάγκην ἐκπίπτει, οὔτε τὸ γινόμενον
οὔθ᾽ ἡ τῶν ἀρχαίων ἱστορία τοῦτο περιέχει. εἰ γάρ τινι
καὶ ἄλλῳ περὶ τῶν ἄρθρων ἐπιμελὲς γέγονε, καὶ Ἱππο-
κράτει· οὕτω δὲ φιλαλήθης ὑπάρχων καὶ τὰ ἐπὶ τῶν
λοιπῶν ἰδιώματα διασαφῶν, οὐδὲν περὶ μηροῦ δεδήλωκεν
ὅτι οὐκ ἂν δύναιτο καθόλου κρατεῖσθαι, ἀλλ᾽ ἐκ τῶν
ἐναντίων ἐκπεπνευμάτωκέ πως ἐπὶ τῶν τοῦ μηροῦ ἐμβο-

1) **Ligamentum teres.** 2) *ἀδυνατεῖν* **Codd.** 3) *ἀποανομολογῶν* **L.** *ἄποαν ὁμ.* **F.** *ἴσως ἄπορον* **in mg.** 4) *πολυγράφομεν* **L.** 5) *παρέσονται* **Codd.**



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 55 sur 382

λῶν, ὥστε καὶ ὀργανικὴν ἐπίνοιαν ποιήσασθαι. καὶ ἔτι γε ἐπὶ τῶν μὴ κρατηθέντων καθ᾽ ἕκαστον ἐξαρθρήσεως τρόπον τὴν παρακολουθοῦσαν ἐν τῇ πηρώσει 1) χωλείαν ἐκτέθειται. καὶ ἐπὶ ὤμου δὲ τὸ παραπλήσιον ἱστορῶν οὕτως φησίν. — οἷς δ᾽ ἂν ὦμος καταπορηθῇ ἐμβληθῆναι — καὶ πάλιν οὕτως· — οἷς δ᾽ ἂν ἀνδράσιν ἤδη ἐοῦσιν ἐκπέσῃ ὦμος καὶ μὴ ἐμβληθῇ. — 2) εἰ δέ ποτέ φησι μὴ κρατεῖσθαι τὴν τοῦ μηροῦ ἐξάρθρησιν, τὸ ἐναντίον 3) τε πάλιν γίνεσθαι παρίστησιν. οὐκ ἐπὶ μὲν γὰρ τῆς πεπαλαιωμένης τοῦ ὤμου ἐξαρθρήσεως τὸ συμβαῖνον ἐπιγράφει, ἐπὶ δὲ μηροῦ τὸ γινόμενον παρέπεμψεν ἂν, καὶ ταῦτα τὴν πρόγνωσιν ἐν ἀναγκαίῳ 4) τιθέμενος, χάριν τοῦ τὴν τῶν ἰδιωτικῶν ἐκφυγεῖν μέμψιν. ἀλλὰ μὴν ἐν τῷ ἐπὶ πᾶσιν ὤμου καταρτισμῷ οὕτως ἐκτέθειται· — τὰ μὲν οὖν νεαρὰ ἐμπίπτει 5) θᾶσσον ἢ ὡς ἄν τις οἴοιτο. ἀτὰρ καὶ τὰ παλαιὰ μόνη αὕτη τῶν ἐμβολέων οἵη τε ἐμβιβάσαι. — Καὶ ἐπιλέγει τινὰ οὕτως διὰ τῶν ἐφεξῆς· — οὐ μὴν ἀλλ᾽ ἐμβάλλειν γάρ μοι δοκεῖ καὶ οὕτω πεπαλαιωμένον βραχίονα. τί γὰρ καὶ ἡ μόχλευσις 6) οὐκ ὀνήσειεν; μένειν μέντοι γε οὐκ ἄν μοι δοκοίη κατὰ χώραν. — Οὔτε ἂν πλείονας καὶ ποικίλας ἐμβολὰς ἐκτέθειτο πρὸς τὸ μηδὲν φιλοτεχνῶν, οὔτ᾽ ἂν ἀπέσιη τοῦ τὴν ἀλήθειαν σημᾶναι. ἔτι γὰρ ἐν τοῖς τοιούτοις μάλιστά πως φιλαλήθως ἵσταται, ὃ καὶ κατατρέχει τῶν ἀλαζονικώτερον ἱσταμένων ἐν τοῖς καταρτισμοῖς ἰατρῶν, δι᾽ ὧν φησιν οὕτως ἐν τοῖς αὐτοῖς ἐπὶ ῥάχεως κυφώσεως, πάρεστι σκοπεῖν· — τοῦτο μὲν γὰρ αἱ ἐν τῇ κλίμακι κατατάσιες 7) οὐδὲν ἀποεξίθυναν, ὧν ἐγὼ οἶδα. χρῶνται δὲ οἱ ἰητροὶ αὐτῇ μάλιστα οὕτως ἐπιθυμοῦντες ἐκχαυνοῦν τὸν πολὺν λαόν. τοῖσι γὰρ τοιούτοις θαυμαστά ἐστιν, ἂν ἢ κρεμάμενον ἢ ῥιπτούμενον ἴδωσιν ἢ ὅσα τοιούτοις ἔοικε καὶ ταῦτα κληΐζουσιν ἀεὶ καὶ οὐκέτι αὐτοῖς μέλει ὁποῖόν τι ἀπέβη ἀπὸ τοῦ χειρίσματος εἴτε κακὸν εἴτε ἀγαθόν. οἱ μέντοι ἰητροὶ οἱ τὰ τοιαῦτα ἐπιτηδεύοντες σκαιοί εἰσιν,

---

1) χωλίαν L. 2) ἔτι F. 3) Fort. δή. 4) τιθέμενον Codd. 5) τε add. L. 6) οὐχὶ κινήσειεν F. M. Hipp. 7) οὐχ ἕν ἅπαξ ἐξιθ. L. οὐδένα πω ἐξ. F.

οὓς γε ἐγὼ ἔγνων. — Καὶ ἐπί ποσον διελθὼν πάλιν λέγει· — αὐτὸς μέντοι κατησχύνθην πάντα τὰ τοιουτότροπα ἰητρεύειν διὰ τοῦτο ὅτι πρὸς 1) ἀπατεώνων μᾶλλον οἱ τρόποι οἱ τοιοῦτοι. — Ὅμως δὲ μετὰ ταῦτα τὸν τρόπον ὑπογράψας, εἰ δέοι διὰ τῆς κλίμακος κατασείειν, οὐδαμῶς τῆς ἀληθείας ἀφιστάμενος οὕτως ἐκτίθεται· — αἰσχρὸν μέντοι ἐν πάσῃ τέχνῃ καὶ οὐχ ἥκιστα ἐν ἰητρικῇ πολὺν ὄχλον παρασχόντα καὶ πολλὴν ὄψιν καὶ πολὺν λόγον, ἔπειτα μηδὲν ὠφελῆσαι. — Οὐ τῆς Ἱπποκράτους τοίνυν ψυχῆς, ἣν ἐπὶ μὲν τῶν προκειμένων οὕτως 2) διέσταλται, ἐπὶ δὲ μηροῦ τῷ παραπλησίῳ τρόπῳ συγχρώμενον 3) ἀπράκτως μηδὲν προσπεποιῆσθαι. ἀλλὰ μὴν περὶ τῆς πρώτης ἐμβολῆς διασαφῶν οὕτως ἐνῆρκται· — μηροῦ δὲ ὀλίσθημα κατ᾽ ἰσχίον ὧδε χρὴ ἐμβάλλειν, ἢν ἐς τὸ εἴσω μέρος ὠλισθήκῃ. ἀγαθὴ μὲν κατὰ φύσιν καὶ δικαίη ἐμβολὴ καὶ δή τι ἀγωνιστικὸν ἔχουσα, ὅστις γε καὶ τοῖς τοιούτοις ἥδεται κομψευόμενος. κρεμάσαι χρὴ τὸν ἄνθρωπον πρὸς μεσόδμην. — Ἀλλ᾽ εἴπερ οὗτος ὁ τῆς ἐμβολῆς τρόπος ἢ καί τινες τῶν διηριθμημένων ὑπ᾽ αὐτοῦ πρὸς τὸ μηδὲν ἦσαν ἐπινενοημένοι, πάντως ἂν ἐδήλωσεν, ὃν τρόπον καὶ ἐπὶ τῆς τῶν σπονδύλων διορθώσεως λέγων οὕτως· — ἔγραψα ἐπίτηδες τοῦτο. καλὰ γὰρ ταῦτα τὰ μαθήματά ἐστιν, 4) ἃ πειρηθέντα ἀπορηθέντα ἐφάνη καὶ διὰ τί ἠπορήθη. — Οὐ μὴν ἀλλ᾽ ἐπεὶ μάλιστά πως περιεργότερον ἐπὶ τῶν μὴ κρατηθέντων περὶ τὴν ἐξάρθρησιν μηρῶν τὰ παρακολουθοῦντα 5) διηρίθμηται, σκεψώμεθα ὃ ἐπιφωνεῖ ἐπὶ τῆς εἰς τὸ ὀπίσω τοῦ μηροῦ ἐξαρθρήσεως. καθάπερ δὲ καὶ ἐπὶ τῶν λοιπῶν τρόπων, τὸ παραπλήσιον καὶ ἐπὶ τοῦ προκειμένου οὕτως προκατακεχώρικεν· — ᾧ μὲν οὖν ἂν τετελειωμένῳ ἤδη ἐκπεσὸν μὴ ἐμπέσῃ. — Καὶ πάλιν οὕτως — οἷς δ᾽ ἂν ἐκ γενετῆς ἢ ἄλλως πως 6) ἀναυξήτοις ἔτι οὖσιν ὀλισθῇ τὸ ἄρθρον καὶ μὴ ἐμπέσῃ. — 7) εἰ δ᾽ ἐπὶ πασῶν τῶν τοῦ μηροῦ ἐξαρθρήσεων τὸ μὴ κρατεῖσθαι παρακολουθεῖ, οὐκ ἄν ποτε ἐπὶ τῶν μὴ καταρτισθέντων τὰ τῆς παρεζευγμένης

---

1) ἀπαταιόνων L. 2) διεστάλθαι Codd. 3) ἄπρακτος L. 4) ἀπειρηθέντα L. 5) διηρίθμηνται F. 6) ἐν αὐξήσει F. M. 7) ἔτι F.

χωλείας ἰδιώματα διηρίθμητο. ἀλλὰ τὰ μὲν ἐπὶ τῶν κρατηθέντων δηλοῦμεν συνακτικὰ καθίστασθαι τοῦ καταρτίζεσθαι μηρὸν ἐξαρθρήσαντα· οὐ μὴν ἀλλ' ἵνα μὴ ματαιοπόνος φαίνηται, μὴ ἐπὶ τῶν κρατηθέντων ἐν ταῖς χώραις 1) ἐπ' ἀκριβὲς διεληλυθὼς, οὕτως μεθ' ὑπεξαιρέσεως ἐπιλέγει· — φαίη μὲν οὖν 2) ἄν τις ἔξω ἰατρικῆς τὰ τοιαῦτα εἶναι. τί γὰρ δῆθεν δεῖ περὶ τῶν ἤδη ἀνηκέστων γεγονότων προσξυνιέναι; πολλοῦ δὲ δεῖ οὕτως ἔχειν· τῆς γὰρ αὐτῆς γνώμης καὶ ταῦτα συνιέναι· οὐ γὰρ οἷόν τε ἀπαλλοτριωθῆναι ἀπ' ἀλλήλων. δεῖ μὲν γὰρ τὰ 3) ἀκεστὰ μηχανᾶσθαι, ὅπως μὴ ἀνήκεστα ἔσται, συνιέντα ὅπη ἂν μάλιστα κωλύσῃ ἐς τὸ ἀνήκεστον ἐλθεῖν. δεῖ δὲ τὰ ἀνήκεστα συνιέναι, ὡς μὴ 4) μάτην λυμαίνηται. τὰ δὲ 5) προῤῥήματα λαμπρὰ καὶ ἀγωνιστικὰ ἀπὸ τοῦ γινώσκειν, ὅπη 6) ἕκαστον καὶ ὁπότε καὶ ὅπως τελευτήσει, ἤν τε εἰς τὸ ἀκεστὸν τράπηται ἤν τε εἰς τὸ ἀνήκεστον.— Τούτων δὲ οὕτως ἐχόντων, εἴπερ μηρὸς ἐξαρθρήσας καὶ καταρτισθεὶς οὐκ ἔμενεν κατὰ χώραν, ῥητῶς ἂν ὁ ἰατρὸς τὸ τοῦ πράγματος ἀνίατον, χάριν τοῦ μὴ πλανᾶσθαι ἡμᾶς, σεσημάγκει. μήποτ' οὖν οἱ τὴν ἐναντίαν δόξαν ἐσχηκότες καὶ τῆς 7) τῶν ἄρθρων καὶ τῆς τῶν νεύρων φύσεως καὶ τοῦ σύμπαντος περὶ τούτων ἀπείρως ἔχωσι λόγου. ὁ γὰρ ἰατρὸς ἐπὶ τῶν ῥαδίως ἢ πάλιν δυσκόλως ἐξαρθρούντων τε καὶ καταρτιζομένων ἄρθρων καὶ τὴν φυσικὴν καταβολὴν καὶ τὴν καθ' ἕξιν σύστασιν καὶ τὴν τῶν νεύρων σκληρίαν ἢ ἐπίδοσιν μεθ' ὑγρότητος 8) αἰτιᾶται, ὥστε καὶ ἐπὶ τῶν κατὰ τὸν μηρὸν ἐξαρθρήσεων, ἐάν ποτε μὴ κρατηθῇ, μὴ διὰ τὸ μὴ σπασθῆναι τὸ νεῦρον, τοῦτο συμβαίνειν, ἀλλὰ διὰ τὴν φυσικὴν τῶν νεύρων ἔκλυσιν ἢ ἐπίδοσιν, ὡς ἐπὶ τῶν βοῶν τὰ ἄρθρα ταῦτα φύσει χαλαρὰ αὐτοὺς ἔχειν φησίν. οὐ μὴν ἀλλ' ἵνα μὴ πολὺ γράφω, καὶ περὶ τούτων ἐν συντόμοις τὰ λεγόμενα δηλώσομεν.

---

1) ἐπακριβὲς L. 2) ἂν om. L. 3) ἕκαστα L. 4) μάλιστα F. M. Hipp. 5) προβλήματα L. 6) ἂν ἀκεστὲ L. 7) τῶν ἄρ. κ. τῆς om. F. 8) ἠτιᾶται L. ὡς δὲ Codd.

Ἐν ἀρχῇ τοίνυν τῆς πραγματείας ἐπὶ ὤμου ἐξαρθρήσεως καταρτισμοῦ τὴν μνείαν ποιούμενος οὕτως ἐκτίθεται· — ὅτι φύσιες φυσίων μέγα διαφέρουσιν ἐς τὸ ῥηϊδίως ἐμπίπτειν τὰ ἐκπίπτοντα· διενέγκοι μὲν γὰρ ἄν τι καὶ κοτύλη κοτύλης, ἡ μὲν εὐυπέρβατος ἐοῦσα, ἡ δὲ καὶ ἧσσον. πλεῖστον δὲ διαφέρει τῶν νεύρων ὁ ἔνδεσμος, τοῖς μὲν ἐπιδόσεις ἔχων, τοῖς δὲ συνδεδεμένος. καὶ γὰρ ἡ ὑγρότης τοῖς ἀνθρώποις γίνεται ἡ ἐκ τῶν ἄρθρων διὰ τὴν τῶν νεύρων 1) ἀπάρτισιν, ἣν χαλαρά τε ᾖ φύσει καὶ ἐπιτάσιας εὐφόρως φέρῃ. συχνοὺς γὰρ ἄν τις ἴδοι, οἳ οὕτως ὑγροί εἰσιν, ὥστε ὁπόταν ἐθέλωσιν, ἐξίσταται ἀνωδύνως. διαφέρει μέντοι τι καὶ ἕξις σώματος. τοῖς μὲν γὰρ εὖ ἔχουσι καὶ γυῖον σεσαρκωμένον ἐκπίπτει 2) τε ἧσσον, ἐμπίπτει τε χαλεπώτερον. ὅταν δὲ αὐτοὶ ἑωυτῶν 3) λεπτοὶ καὶ ἄσαρκοι ἔωσι, τότε ἐκπίπτει τε μᾶλλον, ἐμπίπτει τε ῥᾷον. σημεῖον δὲ ὅτι ταῦθ' οὕτως ἔχει καὶ τόδε. τοῖσι γὰρ βουσὶν οἱ μηροὶ τότε ἐκπίπτουσιν ἐκ τῆς κοτύλης, ἡνίκα ἂν αὐτοὶ ἑωυτῶν λεπτότατοι ἔωσιν. — Ταῦτα ὑπομένουσιν ἐπὶ πάντων τῶν ἄρθρων κοινῶς, καὶ οὐκ ἐπὶ μόνου ὤμου εἰρῆσθαι διαληπτέον. οὐ μὴν ἀλλὰ καὶ αὐτὸς διὰ τῶν ἑπομένων οὕτως πεποίηκε φανερὸν, συνοικειῶν τὸν λόγον· — μηροῦ δὲ καὶ βραχίονος κεφαλαὶ παραπλησιώταται ὀλισθάνουσιν, — εἶθ' 4) ἑπομένως οὐ περὶ τοῦ τὸ νεῦρον ἀποσπασθῆναι τὴν μνείαν ποιεῖται, ἀλλὰ περὶ τῆς τῶν ἄρθρων κεφαλῆς καὶ τῶν κοιλωμάτων, τῶν δὴ κοτυλῶν λεγομένων ὅτι παραπλήσιοί εἰσιν, ὅθεν ἐπιλέγει ταυτί· — διὰ τοῦτο οὐκ ἔστιν αὐτοῖς τὸ ἥμισυ ἐκστῆναι τοῦ ἄρθρου· — εἶτ' ἐπιφέρει· — περὶ οὗ οὖν ὁ λόγος ἐστὶν, ἐκπίπτουσι τελείως, ἐπεὶ ἄλλως γε οὐκ ἐκπίπτουσιν· — ὁμοίως δὲ καὶ ταῦτα· — ὁτὲ μὲν πλεῖον ἀποπηδᾷ ἀπὸ τῆς φύσιος, ὁτὲ δὲ ἔλασσον, μᾶλλον δ' ἔτι μηρὸς τοῦ βραχίονος πέπονθεν. — Ἱκανῶς δὲ ἔχειν νομίζομεν πρὸς τὴν σύστασιν τὰς προκειμένας ἐκλογάς. οὐ μὴν ἀλλ' ὀλίγων ἔτι λειπομένων καὶ ταῦτα προσκατατάξομεν. καινότερον μὲν γὰρ ἐπὶ πάντων ἱστάμενος οὕτως

---

1) ἀπάρτησιν Codd. 2) τε — τε om. L. 3) Comparat. antea atque in Hipp. et F. M. 4) εἱρομένως L.

φησίν· — ὅσα γὰρ νεῦρα καὶ μύες παρὰ ἄρθρα ἐστὶν ἢ ἀπὸ ἄρθρων ἀφ' ὧν συνδέδεται, τούτων ὅσα ἐν τῇ χρήσει πλειστάκις διακινέεται, ταῦτα καὶ εἰς τὰς κατατάσιας 1) ἐπιδιδόναι δύναται, ὥσπερ καὶ τὰ δέρματα τὰ εὐδεψητότατα πλείστην ἐπίδοσιν ἔχει. — Μήποτε οὖν καὶ τὸ ἐπὶ τῶν ἐξαρθρήσεών ποτε δύσεργον ἢ καὶ, ἀνιάτου γινομένου, παρὰ νεύρου διασπασμὸν εἴη συμβαῖνον, ἀλλὰ παρὰ τὸ μᾶλλον ἐξαρθρεῖν. σαφῶς γε οὖν ἐν τοῖς αὐτοῖς οὕτως διασαφεῖται· — ὡς μὲν οὖν ἐν κεφαλαίῳ εἰρῆσθαι, τὰ ἄρθρα τὰ ἐκπίπτοντα καὶ τὰ ὀλισθάνοντα 2) δισσῶς αὐτὰ 3) ἑωυτοῖς ἐκπίπτει τε καὶ ὀλισθάνει, ὁτὲ μὲν πολὺ πλεῖον, ὁτὲ δὲ πολὺ ἔλασσον. καὶ οἷς μὲν ἂν πλεῖον ἢ ἐκπέσῃ ἢ ὀλισθῇ, χαλεπώτερα ἐμβιβάζειν τὸ ἐπίπαν ἐστὶ, καὶ ἢν 4) μὴ ἐμβιβασθῇ, μείζους καὶ ἐπιδηλοτέρας τὰς 5) πηρώσιας καὶ κακώσιας ἴσχει τὰ τοιαῦτα. —

Τούτων δὲ οὕτως εἰρημένων, ἐπανελευστέον ἐστὶν ἐπὶ τὸν προκείμενον τῆς τοῦ μηροῦ ἐμβολῆς τρόπον, ἀφ' οὗ καὶ τὴν παρέκβασιν ἐποιησάμεθα· ὑποδείξας γὰρ Ἱπποκράτης, ὅτι τοῖς πλείστοις ἐνίοτε ῥαδίως χωρὶς βίας μηρὸς ἐξαρθρήσας καταρτίζεται, οὕτως ἑπομένως προσδιασεσάφηκεν· — εἴρηνται μὲν οὖν τρόποι κατατάσεων καὶ ἐν τοῖς ἔμπροσθεν 6) γεγραμμένοις ὥστε χρῆσθαι οἷς ἄν τις παρατύχῃ. — Ἵνα δὲ μὴ ἐπὶ πάντων τὸ τοῦ καταρτισμοῦ ἔργον ῥᾴδιον εἶναι διαλαμβάνηται, τὸν τρόπον τοῦτον ἑξῆς προσδιασεσάφηκεν· — δεῖ γὰρ ἀντικατατετάσθαι ἰσχυρῶς, ἐπὶ μὲν θάτερα τὸ σκέλος, ἐπὶ δὲ θάτερα τὸ σῶμα. ἢν γὰρ εὖ 7) κατατaθῇ, ὑπεραιωρηθήσεται ἡ κεφαλὴ τοῦ μηροῦ ὑπὲρ τῆς ἀρχαίης ἕδρης. — Καὶ μετ' ὀλίγον φησίν· — ἀλλὰ ἐλλείπουσι γὰρ ἐν τῇ κατατάσει· διὰ τοῦτο ὄχλον πλείω παρέχει ἡ ἐμβολή, — ὥστε μὴ καθόλου, ἀλλὰ καί ποτε διὰ τὴν ἐπὶ πλεῖον ἐξάρθρησιν, καὶ ῥυέντος δέ τισι 8) παρὰ τὸν ἐν τῇ κατατάσει 9) χειρισμὸν, μὴ καταρτίζεσθαι μηρὸν ἐξαρθρήσαντα. ἀκολού-

1) F. in mg. γρ. δυνατώτατα ἐπιδ. Hipp. 2) ἀνίσως F. M. Hipp. 3) ἐν αὐτοῖς L. 4) μὲν L. 5) πληρώσιας L. πωρώσιας F. 6) εἰρημένοις L. ὥστε om. L. 7) κατατεθῇ L. 8) τοῦ μηροῦ sive σκέλους sive σώματος excidit. Obelum adpingit F. 9) δὲ add. L.

θως δὲ 1) τῇ κατὰ τὴν δίκην προκειμένῃ λέξει προσανακεφαλαιούμενος τοὺς περὶ τοῦ μηροῦ ἐξαρθρήσεως καταρτισμοὺς διὰ τούτων διασαφεῖ· — ὥσπερ μὲν οὖν καὶ πρόσθεν ἤδη εἰρήκαμεν, 2) μέγα τὸ διαφέρον ἐστὶ τῶν φύσεων τοῖς ἀνθρώποις εἰς τὸ 3) εὐέμβλητα καὶ δυσέμβλητα εἶναι τὰ ἄρθρα. ἐνίοις γὰρ μηρὸς ἐμπίπτει ἀπ᾽ οὐδεμιῆς παρασκευῆς, ἀλλ᾽ ὀλίγης μὲν κατατάσιος ὅσον ταῖς χερσὶ κατιθῦναι· πολλοῖς δὲ συγκάμψασι τὸ σκέλος κατὰ τὸ ἄρθρον ἐνέπεσεν ἤδη ἀμφίσφαλσιν ποιησάμενον. ἀλλὰ γὰρ τὰ πλείω οὐδὲν ἀκούει 4) τῆς τυχούσης παρασκευῆς. διὰ τοῦτο ἐπίστασθαι μὲν χρὴ περὶ ἑκάστου ἐν πάσῃ τέχνῃ, χρέεσθαι δὲ οἷς ἂν δοκῇ. — 5) χρὴ περὶ πλείστου ποιεῖσθαι ἐν πάσῃ τέχνῃ, 6) ὅπως ὑγιῆ ποιήσειε τὸν νοσέοντα. εἰ δὲ πολλοὺς τρόπους οἷόν τε εἴη ὑγιέα ποιέειν, τὸν ἀοχλότατον χρὴ 7) αἱρεῖσθαι. καὶ γὰρ 8) ἀνδραγαθικώτερον τοῦτο καὶ τεχνικώτερον ἄν τις ὑπολάβοι, ὅστις μὴ ἐπιθυμῇ 9) δημοειδέος κιβδηλίης. — Ὃ δὴ διὰ πάντων τούτων 10) δεόντως καὶ φιλαλήθως περὶ μηροῦ ἐξαρθρήσεως διεσταλμένος πως σημαίνει, εἴπερ μὴ καταρτισθεὶς ἐπέμενεν, ἀλλὰ πάλιν ἐξήρθρει, κατασιωπῆσαι, ἀλλ᾽ οὐχὶ πᾶν τοὐναντίον ὤφειλε τὸ συμβὰν 11) δηλῶσαι.

Τὰ μὲν οὖν πρὸς Ἡγήτορα ἐν κεφαλαίοις περὶ τῆς τοῦ μηροῦ ἐξαρθρήσεως, ἀναγκαίως ἔχοντα 12) ῥηθῆναι, ταῦτ᾽ ἐστι. τὴν δὲ διὰ τῆς προκειμένης ὀργανικῆς σανίδος ἐμβολὴν ἐπὶ τοῦ εἰς τὸ ἔσω μέρος ὠλισθηκότος μηροῦ τὸν ὑποτεταγμένον διὰ τοῦ ὑποδείγματος τρόπον χρὴ ποιεῖσθαι.

σλ᾽. Ἐμβολὴ μηροῦ ἡ διὰ τῆς ὀργανικῆς σανίδος καὶ τοῦ ὀνίσκου εἴτε τοῦ ξύλου ἐμπηγνυμένου τῇ σανίδι μέσον κατὰ τὸν περίναιον, ἣν εἰς τὸ ἔσω μέρος ὀλισθῇ.

Περὶ μὲν οὖν τοῦ μηροῦ εἰς τὰ 13) ἔσω ἐξαρθρήσεως τὰς προκειμένας σημειώσεις τε καὶ ἐμβολὰς κατακεχώρι-

1) τὴν Codd. 2) παρὰ L. 3) εὐμετέμβλητα L. 4) ἀπὸ add. L 5) Hipp. II. 844. 6) χρεῖσθαι δ᾽ add. L. 7) ἐρεῖσθαι L. 8) ἄνδρα ἐθικώτατον L. τεχνικώτατον L. 9) δημιοειδέος κιβδήλιος L 10) δὲ ὄντος L. 11) ὦ add. L. συμβάνω F. Fort. συμβαῖνον sive τῷ sive ὧδε. 12) ῥωσθῆναι L. 13) ἔξω F.

κεν· περὶ δὲ τῶν λοιπῶν τρόπων διὰ τῶν ἐχομένων μνημονεύων πρότερον περὶ τῆς εἰς τὸ ἔξω μέρος ἐξαρθρήσεως οὕτως ὑπογέγραφεν· — ὅσοις δ' ἂν εἰς τὸ ἔξω μηροῦ κεφαλὴ ἐκβῇ, βραχύτερον μὲν τὸ σκέλος φαίνεται παρατεινόμενον παρὰ τὸ ἕτερον εἰκότως. οὐ γὰρ ἐπὶ τὸ ὀστέον ἡ 1) ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ ἐστιν ὥσπερ ὅτε εἴσω ἐξέπιπτεν, ἀλλὰ παρὰ τὸ ὀστέον παρακεκλιμένην τὴν φύσιν ἔχον ἐν σαρκὶ ἐνστηρίζεται ὑγρῇ καὶ ὑπεικούσῃ, διὰ τοῦτο μὲν βραχύτερον φαίνεται· ἔσωθεν δὲ ὁ μηρὸς παρὰ τὴν πλιχάδα καλεομένην 2) κυλλότερος καὶ ἀσαρκότερος φαίνεται· ἔξωθεν δὲ ὁ γλουτὸς κυρτότερος, ἅτε ἐς τὸ ἔξω τῆς κεφαλῆς τοῦ μηροῦ ὠλισθηκυίης. ἀτὰρ καὶ ἀνωτέρω φαίνεται ὁ 3) γλουτὸς, ἅτε ὑπειξάσης τῆς σαρκὸς τῇ τοῦ μηροῦ κεφαλῇ· τό τε παρὰ τὸ γόνυ τοῦ μηροῦ ἔσω ῥέπον φαίνεται καὶ ἡ κνήμη καὶ ὁ πούς. ἀτὰρ οὐδὲ συγκάμπτειν ὥσπερ τὸ ὑγιὲς σκέλος δύναται. τὰ μὲν σημεῖα ταῦτα τοῦ ἔξω ἐκπεπτωκότος μηροῦ εἰσιν. οἷς μὲν οὖν ἂν τετελειωμένοις ἐκπεσὸν τὸ ἄρθρον 4) μὴ ἐμπέσῃ, τούτοις μὲν βραχύτερον φαίνεται τὸ σύμπαν σκέλος· ἐν δὲ τῇ ὁδοιπορίῃ τῇ μὲν πτέρνῃ οὐ δύνανται καθικνεῖσθαι ἐπὶ τὴν γῆν, τῷ δὲ στήθει τοῦ ποδὸς βαίνουσιν ὀλίγον ἐπὶ τὴν γῆν· εἰς δὲ τὸ ἔσω ῥέπουσιν ἄκροις τοῖς δακτύλοις. ὀχεῖν δὲ τὸ σῶμα δύναται τὸ σιναρὸν σκέλος 5) τούτοις πολλῷ μᾶλλον ἢ οἷς ἂν εἰς τὸ εἴσω μέρος ἐκπεπτώκῃ. — Οὐ μόνον δὲ ἐπὶ τῶν τελείων, ἀλλὰ καὶ ἐπὶ τῶν ἔτι ὄντων ἐν αὐξήσει ἐπὶ πάσης μηροῦ ἐξαρθρήσεως, ὅταν μὴ κρατηθῇ, τὰ 6) μὲν παρακολουθοῦντα διηρίθμηται, ἃ δὴ παρήσομεν· τοῦτο δὲ μόνον εἰς ὑπόμνησιν ἀκτέον, διότι εἰ καθόλου μηρὸς ἐξαρθρήσας καὶ καταρτισθεὶς οὐκ ἐπέμενεν ἐν τῇ κατὰ φύσιν χώρᾳ, σαφῶς ἂν αὐτὸς ὁ Ἱπποκράτης σεσημάγκει, πάντα τε τὰ ἀποβαίνοντα ἐμπείρως περὶ τὴν ἐξάρθρησιν ταύτην ἐκτεθειμένος, καὶ ἐπὶ τῶν μὴ κρατηθέντων γραφικῶς σφόδρα 7) [ἢ] αὐτῆς τῆς ἀληθείας τὰς ἀπορίας ὑπογεγραφώς, ἃ δὴ σημαίνει, καθάπερ ὑποδεδείχαμεν, μὴ ματαιοπόνον

---

1) ἀνάβασις L. 2) κοιλότερος L. 3) μηρὸς L. 4) ἢ add. L. 5) τοῦτ' ἐς L. 6) μὴ Codd. 7) ἢ omittendum.

γεγονέναι μηδὲ ἀνωφελεῖς καταρτισμοὺς ἐκτεθεῖσθαι. Τοῦ προκειμένου δὲ τῆς ἐξαρθρήσεως τρόπου τὴν ἐμβολὴν οὕτως φησὶ ποιεῖσθαι· — ἢν δὲ εἰς τὸ ἔξω μέρος τοῦ μηροῦ ἡ κεφαλὴ ὀλισθῇ, τὰς μὲν κατατάσιας ἔνθα καὶ ἔνθα οὕτω χρὴ ποιέεσθαι ὥσπερ εἴρηται ἢ τοιουτοτρόπως· τὴν δὲ μόχλευσιν πλάτος ἔχοντι μοχλῷ μοχλεύειν χρὴ ἅμα τῇ κατατάσει ἐκ τοῦ ἔξω μέρους εἰς τὸ εἴσω ἀναγκάζοντα, κατ᾽ αὐτόν τε τὸν γλουτὸν τιθέμενον τὸν μοχλὸν καὶ ὀλίγῳ ἀνωτέρω. ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον κατὰ τὸν γλουτὸν ἀντιστηριζέτω τις ταῖς χερσὶν, ὡς μὴ ὑπείκῃ τὸ σῶμα ἢ ἑτέρῳ τοιούτῳ μοχλῷ 1) ὑποβάλλων καὶ ἐρείσας ἐκ τῶν 2) καπέτων τὴν ἁρμόζουσαν 3) ἀντικατεχέτω· τοῦ δὲ μηροῦ τοῦ ὠλισθηκότος τὸ παρὰ τὸ γόνυ ἔξωθεν εἴσω ἡσύχως παραγέτω. ἡ δὲ κρέμασις οὐχ ἁρμόσει τούτῳ τῷ τρόπῳ τῆς ὀλισθήσεως τοῦ ἄρθρου· ὁ γὰρ πῆχυς τοῦ ἐκκρεμαμένου ἀπωθοίη ἂν τὴν κεφαλὴν τοῦ μηροῦ ἀπὸ τῆς κοτύλης. τὴν μέντοι σὺν τῷ ξύλῳ τῷ ὑποτεινομένῳ μόχλευσιν 4) μηχανήσαιτ᾽ ἄν τις, ὥστε ἁρμόσαι τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ἔξωθεν 5) προσαρτέων ἅμα τι. καὶ 6) ἢν γὰρ ὀρθῶς μὲν καὶ εὖ κατατείνηται, ὀρθῶς δὲ μοχλεύηται, 7) τί ἂν οὐκ ἐμπέσοι ἄρθρον οὕτως 8) ἐκπεπτωκός; — Διαφεύγοι ἂν εἰ ὀρθῶς μὲν καὶ εὖ κατατείνοιτο, ὥστε καὶ ἐφ᾽ οὗ ποιεῖται τὸν λόγον μηροῦ καταρτίζεσθαι. εἰ δὲ μὴ, 9) τοῦτο μὲν φήσουσι δυνατὸν γίνεσθαι, πάλιν δὲ ἐξαρθρεῖν, παντελῶς εὐήθεις ἔσονται. ὁ γὰρ Ἱπποκράτης πικρῶς πάντα παρατετηρηκὼς καὶ τοῦτ᾽ ἂν ἡμῖν εἰς ἐμφάνειαν* ἀπώχει. πλὴν ὅ γε καταρτισμὸς τοῦ εἰς τὸ ἔξω ἐκπεσόντος μηροῦ οὕτως ἂν διὰ τοῦ ὑποδείγματος ἐπιτελοῖτο.

σλα΄. Ἐμβολὴ μηροῦ ἡ διὰ τῆς ὀργανικῆς σανίδος καὶ τῶν ὀνίσκων καὶ τοῦ μοχλοῦ γινομένη, ἢν εἰς τὸ ἔξω μέρος ὀλισθῇ.

Περὶ δὲ τῆς εἰς τὸ ὄπισθεν μέρος ἐξαρθρήσεως οὕτως ὑποδέδειχεν· — οἷς δ᾽ ἂν εἰς τὸ ὄπισθεν ἡ κεφαλὴ τοῦ

---

1) γρ. ὑπερβάλλων F. in mg. Hipp. 2) καπέδων L. 3) ἀντικατωχε δὲ μήποτε τοῦ μηρ. L. 4) μηχανῆς ἅπαν τις L. 5) προσακτέον L. 6) μὴν L. 7) ἔτι L. 8) ἐκπεπτωκότος L. 9) οἱ addas.

μηροῦ ἐκπέσῃ, ὀλίγοις δὲ ἐκπίπτει, οὗτοι ἐκτανύειν οὐ δύνανται τὸ σκέλος οὔτε κατὰ τὸ ἄρθρον τὸ ἐκπεσὸν οὔτε κατὰ τὴν ἰγνύην, ἀλλ' 1) ᾗ μάλιστα τῶν ἐκ παλαιῶν οὗτοι ἐκτανύουσι καὶ τὸ κατὰ τὸν βουβῶνα καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον. προσσυνιέναι μὲν οὖν καὶ τόδε χρή. εὔχρηστον γὰρ καὶ πολλοῦ ἄξιόν ἐστι καὶ τοὺς πλείστους λήθει, ὅτι οὗτοι ὑγιαίνοντες δύνανται κατὰ τὴν ἰγνύην ἐκτανύειν τὸ ἄρθρον, ἢν μὴ συνεκτανύσωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον. — Περὶ οὗ ὁ λόγος, οὔτε ἐκτανύειν δύνανται, ὥσπερ ἤδη εἴρηται, βραχύτερόν τε τὸ σκέλος φαίνεται. — Καὶ μετά τινας ἀριθμοὺς ταῦτ' ἐπιλέγει· — κάμπτειν μέντοι δύνανται, 2) ὅταν μὴ ὀδύνη κωλύῃ, καὶ ἡ κνήμη τε καὶ ὁ ποὺς ἐπιεικῶς 3) ὀρθὰ φαίνεται, οὔτε τῇ οὔτε τῇ ἐκκεκλιμένα. κατὰ δὲ τὸν βουβῶνα δοκεῖ τι ἡ σὰρξ λαπαρωτέρη εἶναί ποτε καὶ ψαυομένη, ἅτε τοῦ ἄρθρου ἐπὶ τὰ ἕτερα ὠλισθηκότος. κατὰ δὲ αὐτοῦ τὸ πυγαῖον διαψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ δοκεῖ τι ἐξογκεῖν μᾶλλον. τὰ μὲν σημεῖα ταῦτα, ᾧ ἂν ἐς τὸ ὄπισθεν ἐκπεπτώκῃ. — Πάλιν δὲ καὶ ἐπὶ ταύτης τῆς ἐξαρθρήσεως περὶ τῶν μὴ κρατηθέντων διὰ πλειόνων μέμνηται, ἃ δὴ παρέντες αὐτὸ μόνον οὕτως προτάξομεν· — ὅτεῳ μὲν οὖν τετελειωμένῳ ἤδη ἐκπεσὸν μὴ ἐμπέσῃ, ὁδοιποpέειν μὲν δύναται, ὅταν χρόνος ἐγγένηται καὶ ἡ ὀδύνη παύσηται καὶ ἐθισθῇ τὸ ἄρθρον ἐν τῇ σαρκὶ ἐνστροφᾶσθαι. ἀναγκάζεται μέντοι ἰσχυρῶς ἐγκάμπτειν κατὰ τοὺς βουβῶνας 4) ὁδοιπορέων διὰ δισσὰς προφάσιας. — Περὶ μὲν οὖν τῆς σημειώσεως καὶ τῶν ἀποβαινόντων ταῦτα ἐξηρίθμηται· περὶ δὲ τῆς ἐμβολῆς διὰ τούτων σεσήμαγκεν· — οἷς δὲ εἰς τὸ ὄπισθεν ὁ μηρὸς ἐκπεπτώκει, τὰς μὲν κατατάσιας καὶ ἀντιτάσιας οὕτως δεῖ ποιεῖσθαι, ὥσπερ ἤδη εἴρηται· 5) ὑποστρώσαντα δὲ ὑπὸ τὸ ξύλον ἱμάτιον πολύπτυχον μαλθακώτατον πρηνέα 6) κατακλίναντα τὸν ἄνθρωπον οὕτως κατατείνειν. ἅμα δὲ τῇ κατατάσει χρὴ τῇ σανίδι καταναγκάζειν τὸν αὐτὸν τρόπον ὥσπερ τὰ ὑβώματα κατ' ἴξιν τοῦ πυγαίου ποιησάμενον τὴν σα-

1) ἥκιστα F. M. Hipp. 2) ὅσον L. 3) ὀρθῶς L. 4) ὁδοιπορέειν L. 5) ἐπιστορέσαντα F. M. Hipp. 6) κατακλῖναι L.

νίδα μᾶλλον ἐς τὸ κάτω μέρος ἢ ἐς τὸ ἄνω τῶν ἰσχίων. καὶ ἡ ἐντομὴ ἐν τῷ 1) τοίχῳ τῇ σανίδι μὴ εὐθεῖα ἔστω, ἀλλ᾽ ὀλίγον καταφερὴς πρὸς τὸ τῶν ποδῶν μέρος. αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν μάλιστα τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματός ἐστι καὶ ἅμα ἰσχυροτάτη. — Δεῖ δὲ τὴν τοῦ προκειμένου ἄρθρου ἀποκατάστασιν τὸν τρόπον τοῦτον ποιεῖσθαι.

σλβ΄. Ἐμβολὴ μηροῦ ἡ διὰ τῆς ὀργανικῆς σανίδος ἤτοι ἑτέρας σανίδος κατὰ τοῦ πυγαίου τιθεμένης καὶ τῶν ὀνίσκων γινομένη, ἣν εἰς τὸ ὄπισθεν μέρος ὀλισθῇ.

Ἔτι δὲ τῆς προκειμένης ἐξαρθρήσεως καταρτισμοῦ τρόπον τοιοῦτόν τινα ὑπογέγραφεν· — ἀρκέσειε δ᾽ ἂν ἴσως ἀντὶ τῆς σανίδος καὶ ἐφεζόμενόν τινα ἢ ταῖς χερσὶν ἐρεισάμενον ἢ ἐπιβάντα ἐξαπίνης ἐπαιωρηθῆναι ἅμα τῇ κατατάσει. ἄλλη δὲ οὐδεμία ἐμβολὴ τῶν πρόσθεν εἰρημένων κατὰ φύσιν ἐστὶ τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματος. — Αὗται δὲ πᾶσαι δικαίαι. οὐκ ἀναγκαῖον δὲ ἔσται πάντα τὰ ὑποδείγματα ἐπὶ τούτων τάσσειν. ἐν γὰρ τῷ πρὸ τούτου βιβλίῳ παραπλησίως ἐπὶ τῶν σπονδύλων ὑποδεδείχαμεν, ὅθεν ἐν τούτοις ἐφ᾽ ἑνὸς μόνου τοῦ διὰ τῶν χειρῶν γινομένου τρόπου στάντες ὑπογράφομεν. τὸ γὰρ αὐτὸ ἐπιτελοῖτ᾽ ἂν ὁτὲ μὲν ἐφεζομένων, ὁτὲ δὲ ἐπιβαινόντων τῷ ποδὶ καὶ ἐποχουμένων τινῶν. τὸ ὑπόδειγμα τοῦτον ἂν ἔχοι τὸν τρόπον.

σλγ΄. 2) Ἐμβολὴ μηροῦ ἡ διὰ τῆς ὀργανικῆς σανίδος ἢ τῶν ὀνίσκων καὶ τῆς καθέδρας τοῦ ἰατροῦ γινομένη, ἣν εἰς τὸ ὄπισθεν μέρος ὀλισθῇ.

Περὶ δὲ τῆς λειπομένης μηροῦ ἐξαρθρήσεως οὕτως μέμνηται· — οἷς δ᾽ ἂν εἰς τὸ ἔμπροσθεν κεφαλὴ μηροῦ ἐκπέσῃ, 3) ὀλιγάκις δὲ τοῦτο γίνεται, οὗτοι ἐκτανύειν μὲν τὸ σκέλος 4) δύνανται τελείως, συγκάμπτειν δὲ ἥκιστα οὗτοι δύνανται τὸ κατὰ τὸν βουβῶνα. 5) πονέουσι δὲ καὶ ἢν κατὰ τὴν ἰγνύην ἀναγκάζωνται συγκάμπτειν, μῆκός τε τοῦ σκέλους παραπλήσιον φαίνεται κατὰ μὲν τὴν πτέρ-

1) τύχῳ L. 2) Τήνδε τὴν γραφὴν (picturam) ζήτει ἄνω ἐν τῷ ἀριθμῷ σκα΄. F. 3) ὀλίγα L. 4) οὐ add. L. 5) ἀπονέουσι L.

νην καὶ πάνυ· ἄκρος δὲ ὁ ποὺς ἧσσον προκύπτειν θέλει εἰς τὸ ἔμπροσθεν· ὅλον δὲ τὸ σκέλος ἔχει τὴν εὐθυωρίαν τὴν κατὰ φύσιν καὶ οὔτε τῇ οὔτε τῇ ῥέπει. ὀδυνῶνται δὲ 1) τὸ αὐτίκα εἶναι οὗτοι μάλιστα καὶ οὖρον ἴσχεται τὸ πρῶτον τούτοις μᾶλλον ἢ τοῖς ἄλλοις ἐξαρθρήμασιν. ἐγκέεται γὰρ ἡ κεφαλὴ τοῦ μηροῦ ἐγγυτάτω τούτοις τῶν τόνων τῶν ἐπικαίρων, περὶ ὧν οἶδας, καὶ κατὰ μὲν τὸν βουβῶνα 2) ἐξογκέον καὶ κατατεταμένον τὸ χωρίον φαίνεται, κατὰ δὲ τὸ πυγαῖον 3) στολιδωδέστερον καὶ ἀσαρκωδέστερον. ταῦτα σημεῖα τὰ εἰρημένα, ᾧ ἂν οὕτως ἐκπεπτώκῃ. ὅσοις μὲν οὖν ἂν ἤδη ἠνδρωμένοις τοῦτο τὸ ἄρθρον ἐκπεσὸν μὴ ἐμπέσῃ, οὗτοι ὅταν αὐτοῖς ἡ ὀδύνη παύσηται καὶ τὸ ἄρθρον ἐθισθῇ ἐν τῷ χωρίῳ στρέφεσθαι ἵνα ἐξέπεσεν, οὗτοι δύνανται σχεδόν τι ὀρθοὶ ὁδοιπορέειν ἄνευ ξύλου. — Καὶ τὰ λοιπὰ δὲ ἑξῆς τὰ παρακολουθοῦντα καὶ τὰ ἐπὶ τῶν ἔτι ἐν αὐξήσει ὄντων περιέργως διηρίθμηται, 4) ἃ παρέντες ἐπὶ τὸν τῆς ἐμβολῆς τρόπον ἐπανάξωμεν. ἐκτέθειται δ' αὐτὸν οὕτως· — ἢν δὲ εἰς τὸ ἔμπροσθεν ἐξολισθῇ, τῶν μὲν κατατασίων ὁ αὐτὸς τρόπος ποιητέος· ἄνδρα δὲ χρὴ ὡς ἰσχυρότατον ἀπὸ χειρῶν καὶ ὡς εὐπαιδευτότατον ἀνερείσαντα τὸ θέναρ τῆς ἑτέρης χειρὸς παρὰ τὸν βουβῶνα καὶ τῇ χειρὶ τῇ ἑτέρῃ τὴν ἑωυτοῦ χεῖρα προσκαταλαμβάνοντα ἅμα μὲν ἐς τὸ κάτω μέρος ὠθέειν τοῦ ὀλισθήματος, ἅμα δὲ ἐς τὸ ἔμπροσθεν τοῦ γούνατος μέρος. οὗτος ὁ τρόπος ἐμβολῆς κατὰ φύσιν μάλιστα τούτῳ τῷ ὀλισθήματι. — Ταῦτα μὲν 5) οὖν ἐκτέθειται. δεῖ δὲ διὰ τοῦ ὑποκειμένου ὑποδείγματος τὸν εἰς τὸ ἔμπροσθεν ἐξαρθρήσαντα μηρὸν οὕτως ἐντιθέναι.

σλδ'. Ἐμβολὴ μηροῦ ἡ διὰ τῆς ὀργανικῆς σανίδος ἢ τῶν ὀνίσκων τε καὶ τοῦ θέναρος τοῦ ἰατροῦ γινομένη, ἣν εἰς τὸ ἔμπροσθεν μέρος ὀλισθῇ.

Ἐπεὶ δὲ οὐ μόνον τὸν προκείμενον καταρτισμὸν ἐπὶ τοῦ εἰς τὸ ἔμπροσθεν ἐξαρθρήσαντος μηροῦ κατακεχώρι-

1) τῷ L. οὕτω L. 2) ἐξογκαῖον L. 3) ῥυσότερον Gloss. in Cod. Laur. in Hipp. libro de artic. 4) ἅπερ ὄντες L. 5) οὕτως F.

κεν, ἀλλὰ καὶ τὸν ἐπὶ κεφαλῆς γινόμενον καταρτισμὸν
1) συνεπιδεῖται τῷ κατὰ φύσιν, ἐπὶ τῷ αὐτῷ τρόπῳ τοῦ-
τον διείληφεν, ἀναγκαῖον ἂν εἴη καὶ ταύτην τὴν ἐμβολὴν
2) ὑποτάξαι, πρὸς τὸ μηδέν σε τῶν πρὸς τὰ προκείμενα
εἰρημένων διαλαθεῖν. διασαφεῖ δὲ περὶ αὐτῶν διὰ τῶν
ἐχομένων τούτων· — ἀτὰρ καὶ ὁ κρεμασμὸς ἐγγύς τι τοῦ
κατὰ φύσιν. δεῖ μέντοι τὸν ἐκκρεμάμενον ἔμπειρον εἶναι,
ὡς μὴ ἐκμοχλεύειν τῷ πήχει τὸ ἄρθρον, ἀλλὰ κατὰ μέσον
τὸν περίναιον καὶ κατὰ τὸ ἱερὸν ὀστέον τὴν ἐκκρέμασιν
ποιητέον. — Ὁ δὲ καταρτισμὸς ὁ διὰ τοῦ κρεμασμοῦ
οὕτως 3) ἂν ἐπιτελοῖτο.

σλέ. Ἐμβολὴ μηροῦ ἡ διὰ τοῦ κρεμασμοῦ ἐπὶ
κεφαλῆς καὶ τῷ πήχει τοῦ ἰατροῦ κατὰ τὸ
μέσον τοῦ περιναίου καὶ τοῦ ἱεροῦ ὀστοῦ
γινομένη, ἢν εἰς τὸ ἔμπροσθεν ὀλισθῇ.

Περὶ μὲν οὖν μηροῦ ἐξηρθρηκότος 4) σημειώσεών τε
καὶ ἐμβολῶν καὶ τῶν τούτων ὑποδειγμάτων, ὃν τρόπον
προεθέμεθα, καθ' 5) Ἱπποκράτην δεδήλωταί σοι· περὶ
6) δὲ γόνατος καὶ σφυροῦ 7) τῷ τὸν καταρτισμὸν αὐτῶν
ἁπλούστερον εἶναι, οὐ δυνατὸν δι' ὑποδειγμάτων ἐμφανί-
σαι σοι, ὅθεν τὰ ὑπὸ τοῦ Ἱπποκράτους ἐν τοῖς ἑφεξῆς
περὶ αὐτῶν διασεσαφημένα μόνον ἐκθήσομαι, χάριν τοῦ
τετελειωμένην ἐν τοῖς βιβλίοις ἔχειν σε τὴν καθ' Ἱππο-
κράτην περὶ ἄρθρων θεωρίαν. διασαφεῖ δὲ περὶ γόνατος
τοῦτον τὸν τρόπον· — γόνυ δὲ ἀγκῶνος εὐηθέστερόν ἐστι
διὰ τὴν εὐσταλίαν καὶ τὴν εὐφυΐαν· διὸ καὶ ἐκπίπτει καὶ
ἐμπίπτει ῥᾷον. ἐκπίπτει δὲ πλειστάκις 8) ἔσω, ἀτὰρ καὶ
ἔξω καὶ ὄπισθεν. ἐμβολαὶ δὲ ἐκ τοῦ συγκεκάμφθαι ἢ
ἐκλακτίσαι ὀξέως ἢ συνελίξας ταινίης ὄγκον, ἐν τῇ ἰγνύῃ
θείς, ἀμφὶ τοῦτον 9) τὸν ἐξαίφνης εἰς ὄκλασιν ἀφιέναι τὸ
σῶμα. — 10) μάλιστα αὐτῇ τῶν ὄπισθεν συγκάμπτειν οὐ

---

1) Conjicio: συνεπιδεῖ τε τῷ (τὸ L.) κ. φύσιν καὶ ἐπί. 2) ὑπο-
τάξω L. 3) ἂν om. Codd. 4) σημειώσεως L. 5) Ἱπποκράτη L.
6) τε F. 7) τῶν L. om. F. M. Conjeci τῷ. 8) ἔσωτε L. 9) recens
luxatum. τὸν etiam Cod. Hipp. Venet. habet. 10) τοῖς μὲν ὑπι-
σθεν συγκ. Hipp.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 67 sur 382

δύνανται, ἀτὰρ οὐδὲ τοῖς ἄλλοις πάνυ· μινύθει δὲ μηροῦ καὶ κνήμης τὰ ἔμπροσθεν. ἢν δὲ ἐς τὸ εἴσω, 1) βλαισότεροι· μινύθει δὲ τὰ ἔξω. ἢν δὲ ἐς τὸ ἔξω, γαυσότεροι, χωλοὶ δὲ ἧσσον. κατὰ γὰρ τὸ παχύτατον ὀστέον ὀχέει, μινύθει δὲ τὰ εἴσω. ἐκ γενεῆς δὲ 2) ἢ ἐν αὐξήσει κατὰ λόγον τὸν ἔμπροσθεν.

Τὰ δὲ κατὰ τὰ σφυρὰ κατατάσιος ἰσχυρῆς δέεται ἢ ταῖς χερσὶν ἢ ἄλλοις 3) τισί. διορθώσιος δὲ ἅμα ἀμφότερα ποιεούσης· κοινὸν δὲ 4) τοῦτο πᾶσιν. —

Τούτων δὲ οὕτως ἐχόντων, ἀναγκαῖον εἶναι νομίζομεν, ἅπερ ἐν τοῖς πᾶσιν ἀνακεφαλαιούμενος περὶ πασῶν τῶν ἐμβολῶν κατακεχώρικεν, 5) ἐχομένως ὑποτάξαι. μᾶλλον γάρ πως καὶ διὰ τούτων παρακολουθήσεις τῶν περὶ ἄρθρων καταρτισμῶν. ἐκτέθειται δὲ τὸν τρόπον τοῦτον· — 6) τῶν δὲ ἐμβολέων αἱ μὲν ἐξ ὑπεραιωρήσιος ἐμβάλλονται, αἱ δὲ ἐκ κατατάσιος, αἱ δὲ ἐκ περισφάλσιος. αὗται δὲ ἐκ τῶν ὑπερβολέων τῶν σχημάτων ἢ τῇ ἢ τῇ σὺν τῷ τάχει. ὦμον δὲ, αὐτὸς ὑποθεὶς τὴν πυγμὴν 7) ἀνωθεῖν τὴν τοῦ βραχίονος κεφαλήν· τὸν δὲ ἀγκῶνα 8) παράγειν πρὸς τὸν ἕτερον· ἀτὰρ καὶ ὀπίσω 9) περιαναγκάσαι. ἄλλον δὲ, τοῖς γόνασι τὸν ἀγκῶνα 10) ἀπωθεῖν, 11) τῇ κεφαλῇ 12) ἐς τὸ ἀκρώμιον, ὑπὸ δὲ τὴν μασχάλην τοῦ βραχίονος ταῖς χερσὶ λαβὼν, κάτω κατάγειν καὶ προσάγειν ἀντία τῇ ἑαυτοῦ κεφαλῇ. ἄλλη. ἔχεσθαι τὸν ἑαυτοῦ ὦμον τῇ μασχάλῃ ἁρμόζοντα, ὥστε 13) ἂν ὀχηθῆναι, ἅμα κρέμασθαι κατὰ τὴν μασχάλην, ἐκ δὲ τοῦ βραχίονος ἐκκρεμασθῆναι, ταῖς χερσὶ διορθοῦν. ἄλλη. πτέρνῃ πληρώσαντα μασχάλην σφαιροειδεῖ, ἐμβάλλοντα ὠθεῖν, τὴν δὲ χεῖρα ταῖς χερσὶν 14) ἀντικατακείμενον, τὸ δὲ σῶμά τινα κατέχειν, ὡς μὴ περιῤῥέπῃ, ταῦτα χαμαὶ κείμενον. ἄλλη. περίοδος περὶ ὕπερον. ἄλλη. τῷ ὑποτεινομένῳ ξύλῳ. νῦν τὸ ὑποτεινόμε-

---

1) βλεσώτεροι L. 2) ἡ L. 3) τοῖσι Codd. et Cod. Hipp. Venet. 4) τούτων L. 5) εἰρωμένως L. 6) Mochlic. II. p. 856. 7) ἀνώθη L. ἐνωθεῖ F. 8) παράγων L. 9) περιαναγκασις L. περιαναγκάσης F. 10) ἀπωθεῖ Codd. 11) Fort. ἢ. Cf. Mochl. II. 854. 12) ἐς om. L. In his in summulam contractis de luxatis articulis reponendis sententiis multa emendare non audeo, etsi verba saepius male cohaereant. 13) ἀνωχηθῆναι L. 14) Fort. ἀντικατατείνειν.

νον τὴν ἄμβην λεγόμενον βεβούληται δηλοῦν, ῥητῶς δὲ κατακεχωρικὼς — εὖ καὶ περὶ κλιμάκων καταρτίζεται — φανερὸν πεποίηκε τὸ ἐν τοῖς πρώτοις 1) ἰδίᾳ ὅτι κλῖμαξ καὶ οὐδὲν ἕτερον ὅτι κλῖμάξ ἐστιν. Ταύτας μὲν οὖν τὰς ἐμβολὰς ὃν τρόπον δεῖ ποιεῖσθαι, διὰ τοῦ πρώτου βιβλίου φανερά σοι καθεστάκαμεν. περὶ δὲ τῶν λοιπῶν 2) αὐτὸς οὕτως διασαφεῖ· — νόμος 3) ἐμβολῆς, διορθώσιος, μοχλὸς, σφὴν, 4) ἵππος, ὄνος μὲν ἀνάγειν, ὁ μοχλὸς δὲ παράγειν. τὰ δὲ ἐμβλητέα ἢ διορθωτέα διαναγκάσαι δεῖ ἐκτείναντα, ἐν ᾧ ἕκαστα 5) σχήματι μέλλει 6) ὑπεραιωρηθήσεσθαι, τὸ ἐμβὰν ὑπὲρ τοίχου ὅθεν ἐξέβη· τοῦτο δὲ χερσὶν ἢ κρεμασμῷ ἢ ὄνοις ἢ περί τι χερσί. χερσὶ μὲν οὖν 7) ὀρθῶς κατὰ μέρη τε καὶ ἀγκῶνα ἀπὸ 8) χειρὸς ἀναγκάζειν· καρποῦ μὲν ἐς εὐθὺ ἀγκῶνος, 9) ἀγκῶνα δὲ ἐγγώνιον πρὸς βραχίονα ἔχοντα 10) περὶ τοῖον τὸ τῷ βραχίονι τὸ ὑπὸ τὴν χεῖρα ἀνατεινόμενον· οἷς δὲ δακτύλου, χειρὸς, πο[illegible]δὸς, καρποῦ, ὑβώματος τὸ ἔξω. ταῦτα διαναγκάσαι 11) δεῖ, τὰ μὲν ἄλλα ἀπὸ χειρῶν. 12) διανάγκασις δὲ τὰ ὑπερέχοντα 13) δρᾶν πτέρνῃ ἢ θέναρί τινι ἐπί τινος. — Καὶ οὕτως ἐπὶ τῶν ὑβωμάτων ἐν κεφαλαίοις μέμνηται· — τὰ δὲ ὑβώματα τὰ μὲν ἔσω οὔτε πταρμῷ οὔτε 14) βηχὶ οὔτε φύσης ἐνέσει οὔτε σικύῃ. — τὰ δὲ ἔξω 15) κατάτασις, τὰ μὲν ἄνω ἐπὶ πόδας, τὰ δὲ κάτω τἀναντία· κατανάγκασις δὲ σὺν κατατάσει ἢ ἕδρῃ ἢ ποδὶ ἢ σανίδι. — Τὸν δὲ κατὰ μέρος πάλιν τούτων τῶν ἐμβολῶν τρόπον τὸ δεύτερον ἡμῖν περιέχει βιβλίον. περὶ δὲ τῶν ἐν τῷ βιβλίῳ τούτῳ καταρτισμῶν ἐν κεφαλαίοις διὰ τούτων μέμνηται· — τὰ δὲ κατὰ τὰ σφυρὰ κατατάσιος ἰσχυρῆς δεῖται ἢ ταῖς χερσὶ, διορθώσιος δὲ ἀμφότερα ποιεούσης· κοινὸν δὲ τούτων ἅπασιν. Γόνατος δὲ, ἢν

---

1) ἡ διά L. 2) αὐτοῖς L. 3) ἐντωλῆς L. ἐντολῆς F. ἐμβολῆς Hipp. Mochl. II. p. 869. 4) ἵππος L. Fort. ἴπος. ὑπόσσονος Hipp. 5) σχήματα L. 6) ὑπερθεωρηθήσεσθαι Codd. 7) ὅσως L. ὅσῳ F. M. ὀρθῶς Hipp. 8) χειρὶ L. 9) δὲ ἀγκῶνος, ἐπὶ ἔνιοι Codd. 10) οἷον περὶ τῷ βρ. Hipp. τὸ om. F. 11) καὶ καταναγκάσαι F. M. Hipp. addunt. 12) διαναγκάσεις F. 13) ἐς ἕδρην Hipp. 14) βιχη, οὕτω φύσιες ἐνέσῃ L. ἐν αἴσῃ F. Mochl. II. p. 870. 15) κατατάσιος Codd.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 69 sur 382

μὲν ὄπισθεν, 1) ἀμφὶ ὀθόνιον συνειλεγμένον ἐξαπίνης ἀμφικλάσαι. δύναται δὲ καὶ κατατάσει. τὰ δὲ ἔνθα ἢ ἔνθα ὀκλὰξ ἕδρῃ ἐκλακτίσαι· ἡ κατάτασις μὴ πάνυ, ἡ διόρθωσις τὰ πᾶσι κοινὰ ποιέουσα. Μηροῦ δὲ κατάτασις μὲν ἰσχυρὴ καὶ διόρθωσις κοινὴ ἢ χερσὶν ἢ μοχλῷ, τὰ μὲν ἔσω στρογγύλῳ, τὰ δὲ ἔξω ὑποπλατεῖ, μάλιστα δὲ τὸ ἔσω καὶ τὸ ἔξω· ἀσκοὺς 2) δὲ ὠσάμενον 3) ἐς τὸ ὑπόξηρον τοῦ μηροῦ, κατατάσιος δὲ καὶ συνδέσιος σκελῶν, κρεμάσαι διαλείποντα μικρὸν τοὺς πόδας, ἔπειτα πλέξαντα κρεμασθῆναι καὶ ἐν τῇ διορθώσει ἅμα ἀμφότερα ποιέοντα. καὶ 4) τῷ ἔμπροσθεν τοῦτο ἱκανὸν καὶ τοῖς ἑτέροις, ἥκιστα τῷ ἔσω. τοῦ ξύλου ὑπότασις ὥσπερ ὤμῳ ὑπὸ τὴν χεῖρα τοῖς ἄλλοις 5) ἧσσον. καταναγκάσις δὲ μετὰ 6) διατάσιος, μάλιστα τὸ ἔμπροσθεν καὶ ὄπισθεν ἢ ποδὶ ἢ χειρὶ ἐφέξεσθαι ἢ τῇ σανίδι. —

Τὰ μὲν οὖν παρ' Ἱπποκράτει περὶ ἄρθρων καταρτισμοῦ διασεσαφημένα καὶ διὰ τούτων μὲν, καὶ διὰ τῶν πρὸ αὐτοῦ δὲ δύο βιβλίων διὰ τῶν ὑποδειγμάτων ἐμφανῆ κατεστήσαμεν. λοιπὸν δὲ ἐάν τινα τῶν κατακεχωρισμένων ἐπιζητῇς διὰ τὸ τῆς Ἱπποκράτους λέξεως ἀσαφὲς, τῆς ἐνδεχομένης διαστολῆς τεύξεται.

---

1) ἄμφω Codd. ἀμφωκλάσαι Codd. 2) δὴ L. 3) ἐς om. Codd. ὑπόξυρον L. 4) τὸ Codd. 5) ἧς εἴσον L. 6) διαστάσιος Codd.

# ΣΧΟΛΙΑ

## ΣΥΝ ΘΕΩ ΕΙΣ ΤΟ ΠΡΟΓΝΩΣΤΙΚΟΝ ΙΠΠΟ-ΚΡΑΤΟΥΣ ΑΠΟ ΦΩΝΗΣ

## ΣΤΕΦΑΝΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Τὰ εἰωθότα ἐπὶ ἑκάστου συγγράμματος προλέγεσθαι ὀκτὼ κεφάλαια. 1) καὶ νῦν προσλάβωμεν τὸν σκοπὸν, τὸ χρήσιμον καὶ τὰ ἑξῆς. σκοπὸς τοίνυν ἐστὶ τῷ 2) Ἱπποκράτει περὶ τῶν ὀξέων νοσημάτων διαλαβεῖν, οὐχὶ τῶν ἁπλῶς 3) ὀξέων, ἀλλὰ τῶν μετὰ πυρετοῦ. 4) εἰσὶ γὰρ ὀξέα νοσήματα καὶ ἄνευ πυρετοῦ ὥσπερ 5) ἀποπληξία καὶ ἐπιληψία καὶ σπασμὸς καὶ τέτανος. τριττὴ 6) δὲ ἡ σημείωσις· ἢ γὰρ τῶν παρῳχηκότων ἢ τῶν ἐνεστώτων ἢ τῶν μελλόν-

---

**Sigla Codicum.**

L. Codex Laurentianus. Plut. LIX. Cod. 14. Chartaceus, saec. XV, forma octav. fol. 244. Inde a fol. 12 — 97 Stephani in Hippocratis Prognosticon leguntur comentarii. Ex hoc codice hos commentarios Florentiae transscripsi et cum codicibus Ambrosianis Mediolani contuli.

M. Codex Ambrosianus. L. 30. Chartaceus, saec. XVI., forma octav. Legitur huic codici subscriptum: *τέλος τῆς παρούσης βίβλου ἐν μηνὶ σεπτεμβρίῳ κδ΄ ͵αφκδ΄*. Mendosior altero Ambrosiano.

A. Codex Ambrosianus. A. 27. infer. Chartaceus, saec. XVI., forma maxima.

1) καὶ νῦν om. M. 2) Ἱπποκράτη M. A. 3) ὀξέων om. M. 4) ὀξέων. διαλέγεται εἰς τὰ ὀξ. L. 5) ἐπιπληξία L. 6) δὲ] ἐστιν M.

των. καὶ τῶν μὲν παρωχηκότων ἡ σημείωσις λέγεται ἀνάμνησις· ἡ δὲ τῶν ἐνεστώτων λέγεται διάγνωσις· ἡ δὲ τῶν μελλόντων λέγεται πρόγνωσις. ἁπλῶς γοῦν περὶ τῶν ὀξέων νοσημάτων τῶν μετὰ πυρετοῦ διαλέγεται, ἐπειδὴ ταῦτα ταράσσει τὴν φύσιν καὶ τὴν τέχνην ἐφέλκεται. καὶ ὅτι τοῦτο ἀληθὲς, δηλοῦσι τρία τινά.

Πρῶτον μὲν τὸ ὀξὺ τῆς κινήσεως καὶ ἡ σφοδρότης τῆς θερμασίας ταράσσει τὴν φύσιν, ἐπειδὴ πολλὰ περιττώματα γεννῶσι καὶ τοτηνικαῦτα ἡ φύσις κατεπείγει τὸ τάχος καὶ τὴν πυκνότητα τῶν σφυγμῶν, εἶτα καὶ τὴν ἀναπνοήν· οὐ μὴν ἀλλὰ καὶ τὴν συστολὴν καὶ τὴν διαστολὴν κατεπείγει ἡ φύσις, τὴν μὲν διὰ τὸ ἐξάξαι τὰ 1) λιτρώδη περιττώματα, τὴν δὲ διὰ τὸ εἰσάξαι καθαρὸν καὶ ψυχρὸν ἀέρα πρὸς τὸ ἐμψύξαι τὸ ἔμφυτον θερμόν. ἀλλὰ καὶ ἡ τέχνη κατεπείγεται εἰς βοήθειαν τῆς φύσεως.

Δεύτερον δὲ 2) καὶ διὰ τὸ συνεχὲς τῆς θερμασίας ταράσσεται ἡ φύσις, καὶ διὰ τὸ μὴ ἔχειν 3) ἀνακωχὴν καταβάλλονται αἱ δυνάμεις αὐτῆς, καὶ ἐν πολλῷ ἀγῶνι καὶ ταραχῇ ἐστιν ἡ φύσις. ἀλλὰ καὶ ὁ τεχνίτης ταράσσεται διὰ τὸ μὴ εὑρίσκειν καιρὸν τοῦ δοῦναι τροφὴν καὶ ἀνακομίσασθαι τὴν δύναμιν διὰ τὴν συνέχειαν τῆς θερμασίας.

Τρίτον δὲ διὰ τὸν ξενισμὸν καὶ τὸ ἀλλότριον τῶν συμβαινόντων 4) ταράττεται ἡ φύσις καὶ τῇ τέχνῃ ἐφέλκεται. δεῖ γαρ εἰδέναι ὅτι τῶν ἐν τοῖς νοσήμασι θεωρουμένων συμπτωμάτων τὰ μὲν οἰκεῖά εἰσι καὶ γνώριμα καὶ συνήθη, τὰ δὲ ξένα. καὶ οἰκεῖα μὲν, καθάπερ ἐπὶ τῆς πλευρίτιδος τὰ τέσσαρα ἐκεῖνα, ἡ βὴξ, ἡ δύσπνοια, ὁ ὀξὺς πυρετὸς καὶ τὸ νυγματῶδες ἄλγημα. ξένα δέ ἐστι συμπτώματα ὥσπερ ἐπὶ τῆς πλευρίτιδος ἐὰν γένηται κῶμα καὶ παραφροσύνη καὶ αἵματος ἀναγωγὴ καὶ λύγξ. πλευρίτις δέ ἐστι φλεγμονὴ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ἀλλὰ 5) διὰ τὸ ἔνδον εἶναι τὴν φλεγμονὴν ἐκ τῶν τεσσάρων συμπτωμάτων διαγινώσκει ὁ ἰατρὸς τὴν

---

1) λιγνώδη M. Fort. λιγνυώδη. 2) καὶ om. M. A. 3) ἀναχολὴν M. 4) συμπτωμάτων add. M. 5) καὶ add. M.

πλευρῖτιν. τὰ οὖν ἴδια συμπτώματα τὸ εἶδος δηλοῦσι τοῦ νοσήματος, τὰ δὲ ξένα τὸ ἦθος τοῦ νοσήματος, καὶ τοῦτο διχῶς. ἢ γὰρ μέτριά εἰσιν ἢ 1) ἄμετρα. καὶ εἰ μὲν μέτρια ὦσιν, ὥσπερ ἐπὶ τῆς πλευρίτιδος μέτρια, ἐκτάραξις γαστρὸς, ᾧ τὸ ξένον ἐστὶ σύμπτωμα· ἐπειδὴ ἀλλαχοῖ ἐστιν ἡ ὕλη, καὶ δηλοῖ εὐῆθες τὸ νόσημα. εἰ δὲ ἄμετρα ὦσι τὰ συμπτώματα, ἅπερ εἰρήκαμεν ἐπὶ τῆς πλευρίτιδος, τὸ κῶμα λέγω καὶ ἡ παραφροσύνη καὶ ἡ ἀναγωγὴ τοῦ αἵματος καὶ ὁ σπασμὸς, κακόηθες δηλοῦσι τὸ νόσημα. τὰ 2) τρία οὖν ταῦτα τὰ ξένα συμπτώματα πάντως ταράττουσι τὴν φύσιν καὶ τὴν τέχνην ἐφέλκονται, ὡς 3) ἐν συντόμῳ εἰπεῖν, ὅτι σκοπός ἐστι τῷ Ἱπποκράτει σημείωσιν ἡμῖν παραδοῦναι τῶν ὀξέων νοσημάτων, ἐπειδὴ ταῦτα ταράσσουσι τὴν φύσιν καὶ τὴν τέχνην ἐφέλκονται διὰ τοὺς τρεῖς τρόπους οὓς εἰρήκαμεν. εἰ δέ τις λέγοι ὅτι περὶ χρονίων νοσημάτων προϊὼν διαλέγεται· 4) περὶ γὰρ ὑδέρου καὶ σπληνὸς κακωθέντος καὶ περὶ ἐμπυημάτων διαλέγεται. ταῦτα δὲ χρόνιά εἰσι. πρὸς ὃ λέγομεν, ὅτι καὶ περὶ τούτων διαλεγόμενος ἔτι πλείονα σπουδὴν ποιεῖται τῶν ὀξέων. οὐχ ὡς χρονίων γὰρ περὶ τούτων διαλέγεται, ἀλλ᾽ ὡς ἐκ μεταπτώσεως ὀξέων νοσημάτων 5) γεγονότων.

Τὸ δὲ χρήσιμον διττόν ἐστιν. οὐ μόνον γὰρ χρησιμεύει τῷ ἀναγινώσκοντι, ἀλλὰ καὶ ἀναγκαῖά ἐστιν, ἐπειδὴ τὸ παρὸν σύγγραμμα ἐπὶ τὴν ἀρίστην ἡμᾶς ὁδὸν 6) παιδεῦον ἀπάγει, λέγω δὴ ἐπὶ τὴν θεραπευτικὴν κατὰ τὸ εἰρημένον· ὁ ἄριστα διαγνοὺς ἄριστα καὶ θεραπεύει. καὶ ἰστέον ὅτι τὸ θεραπευτικὸν εἰς τρία διαιρεῖται, εἰς προφυλακτικὸν, παρηγορικὸν καὶ θεραπευτικὸν, ἐπειδὴ καὶ τὰ 7) παρὰ φύσιν τριττά εἰσιν. ἢ γὰρ νοσήματά εἰσιν ἢ συμπτώματα ἢ αἴτια. καὶ πρὸς μὲν τὰ αἴτια ἐνιστάμενοι προφυλακτικοὶ λεγόμεθα, πρὸς δὲ τὰ νοσήματα θεραπευτικοὶ, πρὸς δὲ τὰ συμπτώματα παρηγορικοί. ἐντεῦθεν καὶ ἡ σημείωσις τριττή ἐστι, προγνωστικὴ, διαγνωστικὴ, ἀναμνηστική. καὶ διὰ μὲν τῆς προγνώσεως

---

1) ἀσύμμετρα M. 2) τρία] τοιαῦτα M. ταῦτα τὰ om. M. 3) οὖν add. M. 4) περὶ — διαλέγεται om. M. 5) γεγονότα Codd. 6) παιδεύων L. 7) περὶ M. τρία M.

προφυλαττόμεθα θεραπευτικῶς, διὰ δὲ τῆς διαγνώσεως τὰ νοσήματα θεραπεύομεν, διὰ δὲ τῆς ἀναμνήσεως 1) εὔπορος δοκεῖ εἶναι 2) ὁ λόγος ἢ προσηγορία τῶν συμπτωμάτων τῶν ἐνεστώτων ἐστίν· ἡ δὲ ἀνάμνησις τῶν παρωχηκότων. οὐδὲν οὖν συντελεῖ ἡ ἀνάμνησις πρὸς 3) τὴν θεραπείαν, ἀλλὰ πρὸς τὰ συμπτώματα ἡ διάγνωσις μᾶλλον ἁρμόζει, ἢ ὅτι καὶ 4) ἡ πρόγνωσις πρὸς θεραπείαν ἤτοι πρὸς παρηγορίαν. καὶ ἴσως 5) ἀπορήσει τις, ὅτι οὐδὲν ἡμῖν ὠφελεῖ ἡ ἀνάμνησις. πρὸς ὃ λέγομεν, ὅτι οὐδὲν ἡμῖν χρησιμεύει πρὸς θεραπείαν, πλὴν οὐ πάντη ἐστὶν ἄχρηστος· ἀλλὰ συμβάλλεται ἡμῖν καὶ αὕτη. διὰ γὰρ τῆς ἀναμνήσεως ἀναμιμνήσκομεν τὸν ἄῤῥωστον τὰ προγεγονότα, ἀπό τινος μηδὲν ἀκούσαντες, καὶ λέγομεν αὐτῷ τῷ ἀῤῥώστῳ ὡς ἐν ὑποθέσει, ὅτι ὑδροποσίᾳ ἐχρήσω ἢ ἀδδηφαγίᾳ ἢ ὀπωροφαγίᾳ. εἶτα ταῦτα τοῦ ἀῤῥώστου ἀναμιμνησκομένου μεγαλαυχεῖ τὸν τεχνίτην, καὶ πειθήνιος γίνεται τῷ ἰατρῷ λέγων, ὅτι οὗτος 6) ὅ τι οὐκ εἶδεν οὐδὲ ἤκουσεν, ἀνέμνησέ με τῶν πραχθέντων παρ᾽ ἐμοῦ, καὶ τοτηνικαῦτα ῥᾷστη 7) γενήσεται ἡ θεραπεία.

δ΄. Ὅτι δὲ γνήσιόν ἐστι τὸ παρὸν σύγγραμμα τοῦ Ἱπποκράτους πάντες 8) ὡμοφώνησαν οἱ ἐξηγηταὶ, ὅτι ἐκείνου τοῦ Ἱπποκράτους ἐστὶ 9) τὸ παρὸν σύγγραμμα, οὗτινος καὶ τὸ περὶ διαίτης ὀξέων καὶ τὸ περὶ τόπων, ἀέρων, ὑδάτων. ἐκεῖνα γὰρ κυρίως γνήσιά εἰσι τοῦ Ἱπποκράτους. ποίου δὲ Ἱπποκράτους εἰσὶν, οὐκ ἴσμεν. τέσσαρες γὰρ Ἱπποκράται γεγόνασιν, ὁ Γνωσιδίκου, ὁ Ἡρακλείδα, ὁ Δράκοντος καὶ ὁ Θεσσαλός. πλὴν ὑπολαμβάνομεν ὅτι τοῦ Ἡρακλείδα εἰσὶν Ἱπποκράτους τὰ συγγράμματα ταῦτα, ἐπειδὴ τοῦτον λέγουσιν εὐδοκιμήσαντα ἐν τοῖς ἔργοις τῆς τέχνης.

10) Ἐπιγέγραπται δὲ προγνωστικὸν Ἱπποκράτους καὶ ἀποσημείωσις. καὶ μὴν 11) καὶ τὴν σημείωσιν εἰς τρία διείλομεν, εἰς πρόγνωσιν καὶ διάγνωσιν καὶ ἀνάμνησιν.

---

1) ἄπορος M. 2) ὁ om. L. ἢ L. ἡ M. Scripsi ἢ. 3) τὴν om. M. 4) ἡ om. M. 5) ἀπορεῖ M. 6) ἅπερ M. 7) γένηται L. 8) ὁμοφώνησαν L. 9) συγ. τὸ παρ. M. 10) κείμενον M. loco tituli habet. 11) καὶ om. L.

1) πῶς οὖν 2) ἀπὸ ἑνὸς μέρους τὴν ἐπιγραφὴν ἐποιήσατο;
καὶ λέγομεν ὅτι ἢ ὡς τιμιωτέραν ἢ ὡς καθολικωτέραν.
τιμιωτέρα γάρ ἐστιν ἡ πρόγνωσις καὶ τῆς διαγνώσεως
καὶ τῆς ἀναμνήσεως. 3) μόνου γὰρ θεοῦ ἐστι τὸ προγι-
νώσκειν. 4) καὶ κατὰ τοῦτο οὖν ἐοίκαμεν θεῷ καὶ ἰσο-
θέους ἡμᾶς ἡγοῦνται, ἐκ τοῦ προγινώσκειν ἡμᾶς. ἡ γὰρ
πρόγνωσις θείας τινὸς καὶ ὑπερτέρας ἐστὶ δυνάμεως.
πάλιν δὲ καὶ ὡς καθολικωτέραν 5) οὖσαν τὴν πρόγνωσιν,
ἀπ' αὐτῆς ἐποιήσατο τὴν ἐπιγραφήν. ἐν γὰρ τῇ προγνώ-
σει καὶ ἡ διάγνωσις καὶ ἡ ἀνάμνησις συνέρχονται ὡς
μερικώτερα. —

έ. Ἡ δὲ τάξις τῆς ἀναγνώσεως, δεῖ ἐν τοῖς Ἱππο-
κρατείοις συγγράμμασι πρότερον τὰ καθόλου ἀναγινώ-
σκειν τῶν μερικῶν· διὸ δεῖ τοὺς ἀφορισμοὺς ἀναγινώσκειν
πρότερον, ἐπειδὴ πάντων τῶν μερῶν τῆς ἰατρικῆς δια-
λαμβάνουσιν, καὶ εἶθ' οὕτως ἐπὶ τὰ μερικὰ ἰέναι. ἀλλὰ
ταῦτα διττά ἐστιν. ἢ γὰρ κατὰ φύσιν εἰσὶν ἢ παρὰ φύ-
σιν. καὶ δεῖ πρότερον 6) τὰ κατὰ φύσιν. 7) τριττά εἰσιν·
ἢ γὰρ πόῤῥω εἰσὶν ἢ προσεχῆ ἢ προσεχέστερα. καὶ
δεῖ πρότερον τὰ πόῤῥω ἀναγινώσκειν, οἷον τὸ περὶ ἀν-
θρώπου φύσεως, ἐπειδὴ ἐκεῖσε περὶ τῶν 8) πόῤῥω-
τάτω στοιχείων διαλέγεται· εἶτα 9) δεῖ ἐπὶ τὰ προ-
σεχῆ ἔρχεσθαι στοιχεῖα. διὸ δεῖ ἀναγινώσκειν τὰ περὶ
παιδίου φύσεως, τὸ περὶ χυμῶν. ταῦτα γὰρ προσεχῆ εἰσι
στοιχεῖα, τὸ σπέρμα 10) καὶ τὸ καταμήνιον, ἐξ οὗ τρέ-
φεται τὸ ἔμβρυον, καὶ οἱ χυμοί. εἶτα μετὰ ταῦτα δεῖ ἐπὶ
τὰ προσεχέστερα ἔρχεσθαι. διὸ 11) δεῖ μετὰ ταῦτα τὸ
περὶ τροφῆς ἀναγινώσκειν. ταῦτα γὰρ προσεχέστερά εἰσι
στοιχεῖα, λέγω δὴ αἱ τροφαί. εἶτα μετὰ τὰ κατὰ φύσιν
δεῖ μετιέναι ἐπὶ τὰ παρὰ φύσιν· ἀλλὰ τῶν παρὰ φύσιν
διττή ἐστιν ἡ διαφορά· ἢ γὰρ σποραδικά εἰσιν ἢ κοινά.
καὶ δεῖ πρῶτον τὰ σποραδικὰ ἀναγινώσκειν. καὶ σπορα-
δικὰ μέν ἐστι, τὰ 12) ἄλλῃ ἄλλως ἔχοντα περὶ τῶν πα-

---

1) ἐξήγησις addit M. 2) τὴν ἐπιγρ. ἀ. ἑν. μέρ. M. 3) μόνον L. 4) καὶ om. M. 5) οὖσαν om. M. 6) τὰ om. L. 7) ταῦτα δὲ κατὰ φύσιν add. M. 8) ποῤῥωτάτων M. 9) δὴ L. 10) καὶ om. M. 11) δὴ L. 12) ἄλλην L.

θῶν. ταῦτα γὰρ τὰ σποραδικὰ διττά ἐστιν· ἢ γὰρ σημειωτικὰ ἢ θεραπευτικά. καὶ δεῖ πρότερον τὰ σημειωτικὰ ἀναγινώσκειν· διὸ δεῖ πρότερον τὸ παρὸν σύγγραμμα ἀναγινώσκειν 1) καὶ 2) τοῦ περὶ διαίτης ὀξέων, καὶ τοῦ περὶ ἄρθρων καὶ τοῦ περὶ 3) ἀγμῶν, ἐπειδὴ ἐκεῖσε θεραπείας διδάσκει· καὶ μετὰ τὴν σημείωσιν δεῖ τὰς θεραπείας ἀναγινώσκειν, καὶ ἐν τῇ θεραπείᾳ τὰ ὁμοιομερῆ ἀναγινώσκειν 4) τῶν ὀργανικῶν. διὸ δεῖ πρότερον τὸ περὶ διαίτης ὀξέων ἀναγινώσκειν, ἐπειδὴ ἐκεῖσε τὰ ὁμοιομερῆ θεραπεύει, καὶ εἶθ᾽ οὕτως ἐπὶ τὰ ὀργανικὰ δεῖ ἔρχεσθαι· 5) διὸ δεῖ τὸ περὶ ἄρθρων καὶ ἀγμῶν ἀναγινώσκειν.

Τῶν δὲ κοινῶν τὰ μὲν ἔνδημα, τὰ δὲ ἐπίδημα. καὶ δεῖ πρῶτον τὰ ἔνδημα ἀναγινώσκειν. καὶ ἔνδημα μέν ἐστι τὰ ἐνυπάρχοντα, ἐπίδημα δὲ τὰ μὴ ὑπάρχοντα. διὸ δεῖ τὸ περὶ τόπων, ἀέρων, ὑδάτων ἀναγινώσκειν, ἅπερ ἐστὶν ἔνδημα, καὶ εἶθ᾽ οὕτως τὰ ἐπίδημα τοῦτ᾽ ἔστι τὰς ἐπιδημίας. καὶ τέλος πάντων δεῖ τὰ γυναικεῖα ἀναγινώσκειν διὰ τὸ περὶ γυναικείων παθῶν καὶ μόνον διαλέγεσθαι, ἄλλως τε δὲ ὅτι καὶ περὶ ἑνὸς μορίου πεπονθότος διαλέγεται 6) ἤγουν περὶ πεπονθυίας μήτρας. ἡ δὲ εἰς τὰ μόρια διαίρεσις εἰς τρία τμήματα διαιρεῖται κατὰ τὸν Γαληνόν· κατὰ δὲ τὸν Ἱπποκράτην οὐκ ἔστι τμῆμα, ἀλλ᾽ ὅσα θεωρήματα, τοσαῦτα 7) καὶ τμήματα. ἀνάγεται δὲ τὸ παρὸν σύγγραμμα ὑπὸ τὸ θεωρητικὸν, καὶ τὸ θεωρητικὸν ὑπὸ τὸ σημειωτικόν· τρόπῳ δὲ διδασκαλικῷ οὐ κέχρηται ὁ Ἱπποκράτης ᾧτινι ὁ Γαληνὸς συνθετικῷ λόγῳ καὶ ἀναλυτικῷ ἐξ ὅρου διαλύσεως 9) καὶ τοῖς τοιούτοις, ἀλλ᾽ ἑτέροις τρόποις τρισὶ κέχρηται, ἀφοριστικῷ, ὑφηγηματικῷ καὶ μικτῷ. καὶ ἀφοριστικὸς μέν ἐστιν ὁ πενόμενος ταῖς λέξεσι, πλουτῶν δὲ τοῖς ἐνθυμήμασιν· ὑφηγηματικὸς δέ ἐστιν ὁ ἔχων προσδιορισμοὺς καὶ προθεωρήματα καὶ ἐπιλογισμοὺς καὶ 10) παρεμβάσεις, καὶ ἁπλῶς εἰπεῖν

---

1) καὶ om. M. A. 2) Fort. τὸ ter. 3) ἀκμῶν Codd. 4) Addiderim πρότερον. 5) διὰ L. 6) Folium deest in Cod. L. Unde verba inde ab ἤγουν — πάντη δυνήσηται in hoc codice desiderantur. Explevi hanc lacunam e Codd. M. A. 7) καὶ om. A. 8) τὸ om. M. 9) ἐν loco καὶ superscripsit A. 10) παραβάσεις A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 76 sur 382

ἐξομοιούμενος καὶ ἐξ ἴσου ἔχων καὶ ἐξισάζων τοῖς ἐνθυμήμασι τὴν λέξιν. μικτὸς δέ ἐστιν ὁ μήτε οὕτως ὡς ὁ ἀφοριστικὸς, μήτε ὡς ὁ ὑφηγηματικὸς, ἀλλὰ μέσως πως· ὁ δὲ ὑφηγηματικὸς εἰς τρία διαιρεῖται· ἢ γὰρ ὑψηλός ἐστι καὶ ἐπηρμένος ὁ χαρακτὴρ, ὥςπερ τὸ περὶ τόπων, ἀέρων, ὑδάτων, ἢ ταπεινὸς καὶ χθαμαλὸς, ὥσπερ τὰ γυναικεῖα. περὶ γὰρ οὔρων, ὑποχωρημάτων καὶ τῶν τοιούτων ἐκεῖσε διαλέγεται. μέσος δὲ χαρακτήρ ἐστιν, 1) ᾧπερ ἐνταῦθα κέχρηται· οὔτε ὑψηλῷ καὶ ἐπηρμένῳ, οὔτε ταπεινῷ, ἀλλὰ μέσῳ χαρακτῆρι κέχρηται. ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις.

## Κείμενον.

Τὸν ἰητρὸν δοκέει μοι ἄριστον εἶναι. —

Ἄξιον ἀπορίας ὅτι πῶς ὁ Ἱπποκράτης μὴ εἰωθὼς ἐν τοῖς οἰκείοις συγγράμμασι προοιμιάζεσθαι, νῦν προοιμίῳ κέχρηται. καὶ λέγομεν ὅτι διὰ τοὺς μεθοδικοὺς τῷ προοιμίῳ ἠναγκάσθη χρήσασθαι, ἵνα ἀποδείξῃ ἀναγκαίαν τὴν πρόγνωσιν. ἐκεῖνοι γὰρ πάντη ἀνῄρουν τὴν πρόγνωσιν, λέγοντες μηδὲν ὅλως λυσιτελοῦσαν τῷ ἰατρῷ. ἔφασκον γὰρ ὅτι ἰατροῦ ἐπιστήμονός ἐστι τὸ τὴν ὑγείαν φυλάττειν καὶ τὸ τὴν διαφθαρεῖσαν ὑγείαν ἀνακαλέσασθαι. τὸ δὲ προγινώσκειν μάντεώς ἐστιν, ἢ προφητῶν τινων. ὁ οὖν Ἱπποκράτης θέλων ἐλέγξαι τοὺς μεθοδικοὺς, καὶ ἀναγκαίαν ἀποδεῖξαι τὴν πρόγνωσιν, τῷ προοιμίῳ ἐχρήσατο, ἐκ τριῶν συλλογιστικῶν ἀποδείξεων σκευάζων αὐτό. καὶ πρώτη ἐστὶν αὕτη.

Ὁ ἰατρὸς ἐξ ὧν προλέγει, πάντως γινώσκει τὴν φύσιν τοῦ ὑποκειμένου 2) νοσήματος· ὁ δὲ γινώσκων τὴν φύσιν τοῦ ὑποκειμένου νοσήματος, εὐπειθεῖς ἀπεργάζεται τοὺς νοσοῦντας· ὁ εὐπειθεῖς τοὺς νοσοῦντας ποιῶν, εὐχερῶς καὶ ταχέως ἀπαλλάττει τὸν κάμνοντα τῆς νόσου· ὁ τοιοῦτος ἰατρὸς ἐξ ὧν προλέγει, εὐχερῶς καὶ ταχέως ἶᾶται τὸν κάμνοντα. δεύτερον συλλογισμὸν λέγει τοιοῦτον, ὅτι ὁ προγινώσκων ἰατρὸς προευτρεπίζεται· ὁ δὲ προπαρασκευαζόμενος, οὐ ταράττεται· ὁ μὴ ταραττόμενος νικᾷ τὸν

---

1) ὅνπερ M. 2) σώματος M.

ἀγῶνα· ὁ νικῶν τὸν ἀγῶνα τοῦ ἰδίου σκοποῦ περιγίνεται, ὅστις ἐστὶ τῆς ἰάσεως· οὗτος γὰρ ὁ σκοπὸς τῷ ἰατρῷ ἴασις. καὶ γὰρ ὁ προγινώσκων τὰς παρὰ φύσιν διαθέσεις τὰς μήπω γενομένας, μελλούσας δὲ ἔσεσθαι, ἐκκόπτει καὶ οὐκ ἐᾷ γενέσθαι· εἰ δὲ καὶ γένωνται, κἂν μὴ πάντη δυνήσηται αὐτὰς ἐκκόψαι, ἀλλ᾽ ὅμως τὸ σφοδρὸν καὶ τὸ μέγεθος αὐτῶν καθαίρει καὶ μετριάζει. οὕτως γοῦν πολλάκις προγινώσκοντες μέλλοντας παροξυσμοὺς 1) εἰσβάλλειν μετὰ συγκοπῆς, ἢ λειποθυμίας ἢ παραφορᾶς, παρέχοντες τροφὰς ἢ βοηθήμασιν ἐπιτηδείοις παρεσχηκότες, ἢ πάντη οὐ συνεχωρήσαμεν γενέσθαι, ἢ καὶ ἐὰν ἐγένοντο, ὑφειμένως καὶ μετρίως ἐγένοντο. τρίτον 2) δὲ συλλογισμὸν 3) οὐκέτι ἀπὸ τοῦ τέλους τῆς τέχνης λαμβανόμενον, ἀλλὰ ἀπὸ τοῦ ἀναίτιον 4) καὶ ἀνεύθυνον αὐτόν τε καὶ τὴν τέχνην διατηρεῖν. φησὶ γὰρ ὅτι ὁ προγινώσκων ἰατρὸς προλέγει τοὺς σωθησομένους 5) ἢ τεθνηξομένους. ὁ οὕτως προλέγων 6) ἰατρὸς τὰ μέλλοντα ἔσεσθαι, ἀναίτιον ἑαυτόν τε καὶ τὴν τέχνην καθίστησιν. ἐὰν γὰρ προγνῷ ὁ ἰατρὸς ὅτι περιεστηκός ἐστι τὸ νόσημα, πάντα τὰ δέοντα διαπράττεται, καὶ κέχρηται 7) ταχὺ φλεβοτομίᾳ 8) καὶ καθάρσει καὶ ἑτέροις πλείστοις βοηθήμασιν. εἰ δὲ προγνῷ ὅτι ὀλέθριόν ἐστι τὸ νόσημα, οὐδ᾽ ὅλως ἐγχειρεῖ τῷ νοσοῦντι παρατηρούμενος τὸ φάσκον ῥητὸν, ὅτι τοῖς ὑπὸ τῶν νόσων κεκρατημένοις οὐ δεῖ ἐγχειρεῖν, καὶ τὸ φύσεως ἀντιπραττούσης πάντα καινά· καὶ λοιπὸν οὐκ ἐφάπτεται, ἵνα 9) μηδ᾽ ὅλως οἱ λοιδορεῖν σπεύδοντες τῶν ἰδιωτῶν εἰς τὸ γινόμενον μέμψιν ἐπιθήσωσιν ὅτι τυχὸν, εἰ μὴ ἐφλεβοτομήθη, οὐκ ἂν ἀπέθνησκεν.

Φησὶν ὁ Γαληνὸς ὅτι ἀσαφῶς πέφρασται τὸ ῥητὸν, ἀλλὰ διὰ τὸ σαφὲς δεῖ ἡμᾶς ἐν ὑπερβατῷ οὕτως ἀναγνῶναι· — δοκεῖ μοι ἄριστον εἶναι πρόνοιαν ἐπιτηδεύειν τὸν ἰατρόν· φαμὲν οὖν ὅτι δοκεῖ κατὰ δύο 10) σημαινομένω φέρεται, πρῶτον μὲν κατὰ τοῦ ἐνδοιαστικοῦ ὥσπερ ἂν εἴπωμεν, δοκῶ τάδε βουλεύεσθαι 11) ὑμᾶς. φέρεται

---

1) βάλλειν M. 2) δὲ om. M. sc. λέγει. 3) οὐκ ἔστιν L. 4) καὶ ἀνεύθυνον om. M. 5) καὶ M. 6) ἰατρὸς om. M. 7) τυχὸν L. 8) ἦ L. 9) μὴ L. 10) σημαινόμενον M. 11) ἡμᾶς. M. A.

δὲ καὶ κατ' ἄλλου σημαινομένου· ὅταν μὴ ᾖ ἐνδοιαστικὸν, οἷον ὡς ἂν εἴπωμεν ὅτι δοκεῖ τῷ θεῷ τότε τι ποιῆσαι, δοκεῖ τῷ βασιλεῖ, καὶ τηνικαῦτα κατὰ τοῦ ἐνδοιαστικοῦ αὐτὸ λαμβάνομεν. ἀλλ' ὅτι δόγμα πεποίηται καὶ πάντως τοῦτο γενήσεται, ὃ ἔδοξεν αὐτῷ. οὕτως οὖν καὶ ἐνταῦθα ὁ Ἱπποκράτης τὸ δοκεῖ ἐξέλαβεν ἀντὶ τοῦ δόγμα τιθέναι.

Ἑτέρου. τὸν ἰητρὸν δοκέει μοι ἄριστον εἶναι.

Ἰστέον ὅτι τὸ δοκεῖ διάφορον ἔχει τὴν σημασίαν. σημαίνει γὰρ δισταγμὸν ἢ ἀξίωμα ἢ μέτριον ἦθος. καὶ διστακτικῶς μὲν, ὅτι ἡ ψυχὴ ἀθάνατος. κατὰ γὰρ τοὺς ἔξω ἀμφιβάλλεται. ἀξιωματικῶς δὲ ὡς ἡνίκα ὑπὸ ἄλλου ἐρωτώμενος 1) ὁ ἄνθρωπος ζῶόν ἐστιν; ἀποκρίνομαι λέγων, οὕτως μοι δοκεῖ. μέτριον δὲ ἦθος καθάπερ οἱ φιλόσοφοι ποιοῦσιν ἐν τοῖς πράγμασιν ἐπὶ τῶν ἀληθῶν πραγμάτων, ἀποκρίνονται καὶ λέγουσιν ὅτι οὕτως μοι δοκεῖ, καίτοι γινώσκοντες ὅτι ἀληθῶς οὕτως ἔχει. ὁ οὖν Ἱπποκράτης ἀξιωματικῶς ἐχρήσατο 2) τὸ δοκεῖ μοι ἢ 3) ὡς διὰ μέτριον ἦθος.

Ἄλλη ἐξήγησις ἀνωνύμου τινὸς ἐξηγητοῦ, σαφοῦς καὶ συντόμου καὶ θαυμαστοῦ.

Καθ' ὑπερβατὸν οὕτως ἀναγνωστέον, δοκέει μοι τὸν ἄριστον ἰατρὸν πρόνοιαν ἐπιτηδεύειν. τὸ δοκέει μοί τινες ἐξηγήσαντο. φασὶ γὰρ ὅτι ὁ Ἱπποκράτης οὐκ ἐτόλμησεν οὕτως ἁπλῶς ἀποφήνασθαι, διὰ τὸ μὴ παντελῶς θαῤῥεῖν. μετριάζων οὖν ἔφη δοκέει μοι ἀντὶ 4) τοῦ νομίζω, οὐκέτι δὲ ἀντὶ τοῦ δόγμα πεποίημαι καὶ δόγμα ἔχω τὸ τὸν ἰατρὸν τὸν ἄριστον πρόνοιαν ἐπιτηδεύειν. — Ἰστέον ὅτι ἡ πρόνοια τετραχῶς. δηλοῖ γὰρ τὴν φροντίδα καὶ τὴν προαίρεσιν καὶ τὴν κηδεμονικὴν τοῦ παντὸς δύναμιν, καὶ τὴν πρόγνωσιν. 5) καὶ ἐπὶ μὲν τῆς φροντίδος ἱστορεῖ ὁ Εὐριπίδης τὴν Πολυξένην φονευομένην ὑπὸ τοῦ 6) Πύῤῥου, ὅτι ἡ δὲ καὶ πίπτουσα ὅμως πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν καὶ κρύπτειν ἅπερ κρύπτεται ὄμματα ἀῤῥένων. — Ἐπὶ δὲ τῆς προ-

1) ὅτι add. L. 2) Fort. τῷ. 3) ὡς om. L. 4) τοῦ — ἀντὶ τοῦ om. L. 5) καὶ om. L. 6) Πύρου Codd.

αἱρέσεως δηλοῖ τὸ παρὰ τῷ Σόλωνι τῷ νομοθέτῃ εἰρημένον, ὅτι δικάζειν δεῖ τὴν βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ φόνου καὶ τραύματος ἐκ προνοίας, τουτέστιν ὅτι οἱ κατὰ προαίρεσιν φονεῖς ἐν τῷ Ἀρείῳ πάγῳ εἶχον τὸ δικαστήριον, ὡς ἂν τῶν ἄλλων ἐγκλημάτων ἐν ἄλλοις τόποις ἐχόντων. ἐπὶ δὲ τῆς τοῦ παντὸς κηδεμονίας ὡς 1) ὅταν λέγωμεν ὅτι ὁ θεὸς προνοεῖται τοῦ τῇδε κόσμου. — Ἐπὶ δὲ τῆς προγνώσεως, αὐτὴ ἡ λέξις δηλοῖ, ὅτι πρόνοια εἴρηται ἐκ τοῦ προνοεῖν τὸν νοῦν καὶ 2) ἐκ τοῦ προλαμβάνειν τὸν νοῦν. ὁ οὖν Ἱπποκράτης τὴν πρόνοιαν κατὰ τῆς προγνώσεως ἔθηκεν ὡς ἰατρός.

## Ἄλλως.

Τὸ δὲ τῆς προνοίας ὄνομα ἄλλοι ἄλλως ἐξηγήσαντο. οἱ μὲν γὰρ εἰρήκασι πρόνοιαν αὐτὸν λέγειν τὴν φροντίδα, οἱ δὲ τὴν προπαρασκευήν. καὶ γὰρ πρόνοια καλεῖται ἡ φροντίς. ὅθεν λέγομεν ἐν τῇ κοινῇ 3) συνηθείᾳ, ὅτι ὁ δεῖνα τοῦδε προενοήσατο ἀντὶ τοῦ φροντίζει. ἔχομεν δὲ τοῦτο καὶ παρὰ τῷ Εὐριπίδῃ τὸ ὄνομα εἰρημένον· βουλόμενος γὰρ σημᾶναι τὴν φροντίδα Πολυξένης ἐν τῇ Ἑκάβῃ ἔφησεν· ἡ δὲ καὶ θνήσκουσα πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν. λέγεται δὲ πρόνοια καὶ ἄλλως. οὕτως γὰρ λέγομεν πρόνοιαν τοῦ παντὸς διαιροῦντες ἀπὸ τοῦ αὐτομάτου καὶ τῆς τύχης. ἀντίκειται γὰρ 4) τῷ τῆς προνοίας ὀνόματι τὸ τῆς τύχης. λέγεται δὲ πρόνοια καὶ ἡ πρόγνωσις ὡς ἡ ἐτυμολογία τοῦ ὀνόματος δείκνυσι. πρόνοια γὰρ τὸ πρῶτον ἐν νῷ ἔχειν ἤτοι γε τὸ ἐννοῆσαι πρὶν παρ᾽ ἄλλου ἀκοῦσαι. ἐνταῦθα οὖν ὁ Ἱπποκράτης πρόνοιαν καλεῖ, οὐ τὴν προπαρασκευήν, ἀλλὰ τὴν πρόγνωσιν. τὸ δὲ τῆς προγνώσεως ὄνομα λαμβάνεται παρ᾽ αὐτοῦ κατὰ τῶν τριῶν χρόνων, παρεόντος τε καὶ μέλλοντος καὶ προγεγονότος.

*Προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσι νοσέουσι.* —

Ἰστέον ὅτι διαφέρουσι πρόγνωσις καὶ πρόῤῥησις, ὅτι ἡ μὲν πρόγνωσις κατὰ ἐνδιάθετον λόγον γίνεται, ἡ δὲ πρόῤ-

---

1) ὅτε L. 2) ἐπὶ L. 3) συνεθείᾳ L. 4) τῷ om. L.

ῥησις κατὰ τὸν προφορικόν. καὶ ἔστι προηγουμένη ἡ πρόγνωσις, ἐφεπομένη δὲ ἡ πρόῤῥησις. ἐντεῦθεν ἄρχεται τοῦ πρώτου συλλογισμοῦ. ὡς δὲ εἰρήκαμεν, ἔστιν οὕτως. ὁ ἄριστα προγινώσκων οἶδε τῶν νοσημάτων τὰς φύσεις. ὁ εἰδὼς τῶν νοσημάτων τὰς φύσεις, προλέγει τοῖς κάμνουσιν. ὁ προλέγων τοῖς κάμνουσιν, ἕξει πειθηνίους 1) [αὐτοὺς ἑαυτῷ. ὁ οὕτως ἄριστα προγινώσκων, ἕξει πειθηνίους] τοὺς κάμνοντας. καὶ οὕτως μὲν ὁ συλλογισμὸς οὗτος δεδόσθω ἀπὸ καθόλου καταφατικῆς τῆς μείζονος καθόλου, καταφατικῆς τῆς ἐλάττονος, καθόλου καταφατικὸν συνάγων 2) τὸ συμπέρασμα. — Εἰδέναι δεῖ ὅτι ἄλλο ἐστὶ προγινώσκειν καὶ ἄλλο τὸ προλέγειν. καλῶς οὖν ὁ Ἱπποκράτης μηδὲ τοῦτο παραλιπὼν, ἀλλὰ προτάξας τὰ ὀνόματα ὥσπερ ἔχει τὰ πράγματα. τὸ μὲν γὰρ προγινώσκειν, αὐτὴν τὴν διάθεσιν τῆς ψυχῆς σημαίνει, τὸ δὲ προλέγειν τὴν προφορὰν αὐτὴν τῶν λεγομένων ἣν ποιούμεθα ἀλλήλοις 3) ἀνακοινούμενοι τὰ πράγματα.

## Ἑτέρα ἐξήγησις.

Ἡρόφιλος ἐξηγήσατο ἄλλο εἶναι πρόγνωσιν καὶ ἄλλο πρόῤῥησιν. καὶ πρόγνωσιν μέν φασιν ὅταν προγνῷ, μὴ εἴπῃ δέ τινι. πρόῤῥησις δέ ἐστιν ὅταν προεγνωκὼς εἴπω τὸ προεγνωσμένον. καὶ αὕτη μὲν ἡ Ἡροφίλου ἐξήγησις, καταγέλαστος οὖσα. Ἰστέον τοίνυν ὅτι πρόγνωσις καὶ πρόῤῥησις οὐδὲν διαφέρει, πλὴν κατὰ τὴν ἕξιν τοῦ ἰατροῦ καὶ τοῦ νοσοῦντος. προγινώσκειν μὲν ἐκεῖνα λέγεται ἅτινα τῷ κάμνοντί ἐστιν ἀγνώριστα, οἷόν τί ἐστι τὸ λεγόμενον οἷον εἰσελθόντες πρὸς ἄῤῥωστον εὕρομεν αὐτὸν 4) ὀδυνώμενον τὴν πλευρὰν καὶ ἔχοντα τὰ πολυθρύλλητα ἐκεῖνα τέσσαρα σημεῖα, βῆχα, πυρετὸν ὀξὺν, δύσπνοιαν, νυγματῶδες ἄλγημα. αὐτὸς μὲν οὖν ἐπιδείκνυσι τὴν πλευράν. ἡμεῖς δὲ λέγομεν ὡς οὐκ ὀστέον ἐστὶ τὸ πεπονθὸς, οὐ μῦς, ἀλλ' ὁ ὑπεζωκὼς τὰς πλευρὰς ὑμήν. καὶ τοῦτο λέγεται πρόγνωσις. πρόῤῥησις δέ ἐστιν ὅταν τὰ ἐγνωσμένα τῷ νοσοῦντι εἴπωμεν, ὅτι καὶ βὴξ ἐστι καὶ πυρετὸς

---

1) αὐτοὺς — πειθηνίους om. M. 2) τὸ om. M. A. 3) ἀνακινούμενοι L. 4) ὀδυρόμενον L.

καὶ δύσπνοια καὶ νυγματῶδες ἄλγημα. καὶ οὕτως λέγομεν πρόγνωσιν καὶ πρόῤῥησιν διαφέρειν, διότι ἡ μὲν πρόγνωσις ὡς πρὸς τὸν ἰατρὸν λέγεται, ἡ δὲ πρόῤῥησις ὡς πρὸς τὸν νοσοῦντα, ὅταν τὰ ἐγνωσμένα 1) αὐτῷ προείπῃ.

Παρὰ τοῖς νοσεύουσι. —

Δεῖ φησιν αὐτοῖς τοῖς νοσοῦσι προλέγειν. εἰ γὰρ τοῖς παρεοῦσιν 2) εἴποις καὶ ὑπ᾽ αὐτῶν μάθοι ὁ κάμνων, νομίζει αὐτοὺς ψεύδεσθαι, ἀλλὰ δεῖ αὐτῷ τῷ νοσοῦντι προλέγειν ὅπως αὐτὸς πιστεύοι τῷ ἰατρῷ.

Τὰ παρεόντα καὶ τὰ προγεγονότα καὶ τὰ μέλλοντα ἔσεσθαι. —

Ἐντεῦθεν ἄρχεται ὁ πρῶτος συλλογισμὸς ὅντινα ἐλέγομεν ἀπὸ τῶν τριῶν χρόνων τὴν πρότασιν ἔχειν. ἰστέον δὲ ὅτι ἐλέγετο ἐν τοῖς προλεγομένοις ὅτι γενικωτέρᾳ ἐχρήσατο τῇ τοῦ προγνωστικοῦ ἐπιγραφῇ φερομένου καὶ κατὰ διαγνώσεως καὶ ἀναμνήσεως καὶ ὅτι καὶ ἡ διάγνωσις ὑπὸ τὴν πρόγνωσιν ἀνάγεται, καὶ πάντων ῥίζα καὶ ἀρχή εἰσι τὰ ἐνιστάμενα καὶ τῶν φθασάντων καὶ τῶν μελλόντων. εἰ μὴ γάρ ἐστι τὸ ἐνεστὼς ὃ νῦν διαγινώσκω, οὐ δύναμαι εἰπεῖν τὰ φθάσαντα ἢ τὰ μέλλοντα, καὶ ὅτι προφέρει πάντων ἡ διάγνωσις, ἐδήλωσε διὰ τούτων εἰρηκώς, καὶ 3) καλῶς ἀπαριθμησάμενος πρώτην τὴν διάγνωσιν. ἡ γὰρ διάγνωσις ἐπὶ τῶν ἐνεστώτων λέγεται. φησὶν οὖν τὰ παρεόντα καὶ τὰ φθάσαντα καὶ τὰ μέλλοντα. ἀποροῦσι δὲ διὰ τί πρότερον τῶν παρεόντων ἐμνήσθη, εἴ γε πρότερον περὶ προγνώσεως 4) προέθετο διαλεχθῆναι. καὶ λέγομεν ὅτι πᾶσα σημείωσις τῷ ἰατρῷ ἀπὸ τῶν παρόντων ἤτοι ἐνεστώτων ἀποδείκνυται· καὶ γὰρ καὶ τὴν ἀνάμνησιν ἀπὸ τῶν παρεόντων ποιούμεθα. ἐπεί τοι παρῆλθον ἐκεῖνα, ἀλλὰ λέγω τῷ ἀῤῥώστῳ ἀπὸ ὑδροποσίας ἢ ὀπωροφαγίας ἢ ἀδδηφαγίας καὶ ἀπεψίας. καὶ ἰδοὺ ἀναμιμνήσκω ἀπὸ τῶν παρεόντων τὸν ἄῤῥωστον, ὅτι τοῦτο τὸ νόσημα ἢ

---

1) αὐτὰ M. A. 2) εἴπῃς L.¹ μάθῃ M. 3) καλῶς om. M. A. 4) διέθετο M. A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 82 sur 382

ὅτι αὕτη ἡ ψυχρα καὶ φλεγματικὴ ὕλη ἀπὸ τούτων ἠθροίσθη. καὶ ἰδοὺ ἀπὸ τῶν παρεόντων καὶ ἐνεστώτων τὰ παρελθόντα ἐνοήσαμεν. ἀλλὰ καὶ τὰ ἐσόμενα ἀπὸ τῶν παρόντων διαγινώσκομεν, ὥσπερ τὴν ἀρχὴν ἀπὸ 1) σμικροσφυξίας καὶ συννεύσεως 2) καὶ τῶν τοιούτων, ἀλλὰ καὶ τὴν ἀκμὴν ἀπὸ τῆς ἕξεως σημειούμεθα. καὶ πάλιν θεωροῦντες ἐν τῇ τετάρτῃ ἀμυδρας πέψεως σημεῖα ἐν τοῖς οὔροις ἢ τοῖς ὑποχωρήμασιν, προγινώσκομεν καὶ λέγομεν ὅτι τῇ ἑβδόμῃ ἔχει κριθῆναι τὸ νόσημα. καὶ ἰδοὺ ἀπὸ τῶν παρόντων τὰ μέλλοντα προέγνωμεν, καὶ διὰ τοῦτο πρότερον τῶν παρεόντων ἐμνημονεύσαμεν.

Ὁπόσα τε παραλείπουσιν οἱ ἀσθενέοντες ἐκδιηγούμενοι. —

3) Δεῖ φησι τὸν ἰητρὸν προλέγειν, μὴ μόνον ἅπερ παρὰ τῶν νοσούντων ἀκούει, ἀλλὰ καὶ τὰ παραλειπόμενα ὑπ᾽ αὐτῶν προλέγειν. τίνα 4) δέ εἰσιν ἅπερ παραλείπουσιν οἱ ἄῤῥωστοι; ἅπερ γινώσκοντες οὐκ 5) ἐκφέρουσιν, οἷον πολλάκις ἀπὸ καταστήματος ψυχροτέρου ἢ ὑγροτέρου, ἢ ἄλλως ὁπωσοῦν καταστήματος βλάπτεται, καὶ ἐπὶ τούτῳ 6) κρύπτει τῷ ἰατρῷ 7) καὶ οὐ λέγει, ἢ πολλάκις ἐν τῷ σώματι αὐτοῦ ὄγκος τις γίνεται, ἐρυσίπελας ἢ ἕρπης ἢ φλεγμονὴ ἢ βουβὼν καὶ ἐγκρύπτεται ὁ νοσῶν. δι᾽ ἣν δὲ αἰτίαν παραλιμπάνουσιν οἱ νοσοῦντες καὶ οὐ λέγουσι τῷ ἰατρῷ; ἢ διὰ βλακότητα ἢ διὰ δεινότητα ἢ κακοπραγίαν ἐκπειράζοντες τὸν ἰατρὸν, ἐὰν δυνήσηται προγνῶναι καὶ εἰπεῖν τι ἐπιστημονικῶς. εἰ δὲ μὴ, ἵνα καταγελάσωσιν αὐτοῦ· ἢ δι᾽ ὀλιγοψυχίαν, ὥσπερ πολλάκις ἐξησθένησαν καὶ κατέπεσον αἱ δυνάμεις τοῦ νοσοῦντος, καὶ οὐ δύναται εἰπεῖν τῷ ἰατρῷ, ὅθεν τινὲς τοὺς παρακολουθοῦντας αὐτοῖς ἐπιτρέπουσι λέγειν τὰ συμβάντα αὐτῷ τῇ νυκτὶ ἢ τῷ πρωί.

### Ἄ λ λ ω ς.

Παραλείπουσί τινα οἱ νοσοῦντες τῶν συμβάντων ἐν τῷ διηγεῖσθαι τῷ ἰατρῷ διὰ τρεῖς αἰτίας, ἢ δι᾽ ἄγνοιαν ἢ

---

1) μικροσφ. M. 2) καὶ om. M. 3) Ἀεὶ L. 4) δὲ om. L. 5) ἐκφέρονται M. 6) οὐ λέγει M. A. 7) ἀλλὰ κρύπτει M. A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 83 sur 382

διὰ λήθην ἢ διὰ πανουργίαν. εἰσὶν οὖν πολλοὶ κρυψίνοοι καὶ ἀπαταιῶνες καὶ βούλονται πειράζειν τοὺς ἰατροὺς, ὡς καὶ ὁ συγγραφεὺς ἐν τῇ σφυγμικῇ διέγνω τὸν λαβόντα τὸ φάρμακον, ἐκ τοῦ σφυγμοῦ τὴν τούτου διάγνωσιν ποιησάμενος. περὶ ποίου οὖν λέγει παραλιμπανομένου; οὐχὶ περὶ τῶν δι' ἄγνοιαν. πῶς γὰρ δύναται ἀναμνῆσαι 1) ἃ ἀγνοεῖ ὅλως ὅτι ἐγένετο· ἀλλὰ μᾶλλον περὶ τῶν κατὰ λήθην ἢ διὰ τὸ 2) κρυψίνους εἶναι τοὺς τοιούτους.

## Ἄλλη ἐξήγησις.

Τινὲς τῶν ἐξηγητῶν οὕτως εἰρήκασιν. φησὶ γὰρ ὅτι τὰ μὲν ἄλλα πάντα οἱ ἄῤῥωστοι ἴσασιν. εἰ ἔχουσι δὲ ἔμφραξιν ἐν ἥπατι ἢ ἐν σπληνὶ ἢ ἐν ἄλλῳ τινὶ τῶν μορίων, οὐκέτι καὶ ταῦτά φησι παραλιμπάνουσι λέγειν. εἴ τις οὖν τῶν ἰατρῶν ταῦτα αὐτῷ ἐκδιηγήσεται, θαυμάζεται παρ' αὐτοῖς. ἐροῦμεν οὖν ἡμεῖς ὅτι ἐψεύσαντο οἱ ταῦτα λέγειν ἐπιχειρήσαντες. οὐ γὰρ εἴτις εἴπῃ τῷ ἀῤῥώστῳ τὸ ἀγνοούμενον, 3) αὐτὸς ἤδη καὶ θαυμάσει. πῶς γὰρ ἔχει θαυμάσαι ὃ οὐκ 4) οἶδεν, ἀλλὰ θαυμάζοι τὸ ἤδη ἐγνωσμένον αὐτῷ ἀκούων οἷον ἂν 5) ἐλθὼν ὁ ἰατρὸς πρὸς ἄῤῥωστον, ἁψάμενος αὐτοῦ τῆς ἀρτηρίας, 6) ἔγνω ὅτι ἱδρῶτες αὐτῷ ἐγένοντο ἢ ἐθυμώθη, εἶτα εἴπῃ τῷ ἀῤῥώστῳ πρὶν ἀκούσει παρ' αὐτοῦ ἢ τῶν αὐτοῦ, θαυμάζεται παρὰ τῷ πάσχοντι, ὥστε οἱ ἄῤῥωστοι τὰ μὲν ἐναργῆ ἴσασιν, ἀγνοοῦσι δέ πως τὰ μὴ οὕτως ἔχοντα. εἴ τις οὖν τῶν ἐναργῶν τούτων προείπῃ τοῖς κάμνουσιν, εἰκότως θαυμασθήσεται.

Πιστεύοιτο ἂν μᾶλλον γινώσκειν τὰ τῶν νοσεόντων πρήγματα. —

Οὐκ εἶπεν ἁπλῶς τὰ τῶν ἀνθρώπων, ἀλλὰ τῶν νοσούντων, ἵνα μήτις ὑπολάβῃ ὅτι περὶ χρυσοῦ καὶ ἀργύρου ἢ ἄλλου τινὸς τοιούτου πράγματος εἶπεν ὁ Ἱπποκράτης, ἀλλ' ἔφη τὰ τῶν νοσούντων εἰδέναι πράγματα. πράγματα δὲ ταῦτα, νοσήματα, αἴτια, συμπτώματα.

---

1) ἃ ἀναμνῆσαι add. L. ἀγνοεῖν L. 2) κρυψίνοας M. 3) αὐτῷ M. Codd. ἴδη loco ἤδη. 4) εἶδεν M. A. 5) ἀνελθὼν L. 6) Fort. γνῷ.

Ὥςτε τολμᾶν ἐπιτρέπειν τοὺς ἀνθρώπους σφᾶς ἑαυτοὺς τῷ ἰητρῷ. —

Ἰδοὺ ἐνταῦθα κατασκευάζει τὴν συλλογιστικὴν ἀπόδειξιν ἣν ἀνωτέρω προεῖπεν.

Ἄ λ λ ω ς.

Ἀντὶ τοῦ πείθεσθαι τοὺς ἀῤῥώστους τῷ ἰητρῷ, καὶ πειθηνίους αὐτοὺς ἔχειν, καὶ τοῦτό ἐστι τὸ ἐπιτρέπειν αὐτοὺς ἑαυτοὺς τῷ ἰητρῷ.

Τὴν δὲ θεραπείαν ἄριστα ἂν ποιέοιτο προειδὼς τὰ ἐσόμενα ἐκ τῶν παρεόντων παθημάτων. —

Ἐνταῦθα 1) τὸν δεύτερον συλλογισμὸν ἐκτιθέμεθα, ὅνπερ ἀνωτέρω προείπομεν· καλῶς δὲ καὶ θαυμασίως ἔφη προγινώσκειν τὰ μέλλοντα ἐκ τῶν παρεόντων παθημάτων, ὡς πρὸς ἀντιδιαστολὴν τῆς τοῦ θεοῦ προγνώσεως. οἱ μὲν γὰρ ἄνθρωποι ἐκ τῶν παρεόντων τὰ μέλλοντα γινώσκουσιν, οἷον οἰωνοσκόπος θεωρῶν τὴν πτῆσιν τῶν πτηνῶν εἴτε πρὸς 2) βοῤῥᾶν πέτονται εἴτε πρὸς νότον, εἴτε εἰς ὕψος εἴτε χθαμαλῶς, εἴτε κράζοντα, οὕτως προγινώσκει· ἀλλὰ καὶ αἱ λοιπαὶ τέχναι ἀπό τινων σημείων προγινώσκουσι· δηλονότι καὶ ὁ ἰατρὸς ἀπό τινων σημείων προγινώσκει καὶ ἐν χρόνῳ καὶ διαμεμερισμένως. ὁ θεὸς δὲ οὐ δεῖται χρόνου πρὸς τὸ προγνῶναι, ἀλλ᾽ ἀχρόνως καὶ ἀδιασπάστως πάντα προγινώσκει, ἐπειδὴ τὰ πάντα αὐτὸς ἐποίησεν.

Ἄ λ λ ω ς.

Τοῦτό ἐστι τοῦ πρώτου συλλογισμοῦ τὸ συμπέρασμα ὡς εἴρηται, ὅτι ὁ ἄριστα εἰδὼς τοὺς τρεῖς χρόνους θεραπεύει· ἀλλὰ μὴν καὶ 3) ἀρχὴν τοῦ δευτέρου συλλογισμοῦ. εἴρηται γὰρ ὁ δεύτερος συλλογισμὸς ἀπὸ μόνου τοῦ τρίτου χρόνου λαμβάνεσθαι οὕτως.

Ὁ προειδὼς τὰ μέλλοντα, προευτρεπίζεται κατὰ τοῦ νοσήματος. ὁ προευτρεπιζόμενος ἄριστα θεραπεύει. ἐντεῦθεν οὖν ἤρξατο τοῦ δευτέρου συλλογισμοῦ. ἀλλ᾽ ἰστέον ὅτι πολλάκις οἱ ἀρχαῖοι προτάσεις ἔλεγον μόνον, κελεύ-

---

1) τῶν δύο M. 2) βοῤῥὰν Codd. 3) Sc. λέγει.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 85 sur 382

οντες ἡμᾶς τῶν συμπερασμάτων ὑπακούειν. ὥσπερ καὶ ὁ Γαληνὸς ἐν τῷ προοιμίῳ περὶ στοιχείων εἰρηκὼς μόνας τὰς προτάσεις, τὰ συμπεράσματα ἡμᾶς ἐκέλευσε προσυπακούειν. οὕτως οὖν κἀντεῦθεν δείκνυται ὅτι πρὸ Ἀριστοτέλους ὁ Ἱπποκράτης διαλεκτικὴν μέθοδον ἤσκησεν. εἰρηκὼς γὰρ συμπέρασμα ἐκέλευσεν ἡμᾶς προτάσεων προσυπακούειν.

## Ἄλλη ἐξήγησις.

Ἱπποκράτης ἐνταῦθα τοῦ δευτέρου συλλογισμοῦ ποιεῖται τὴν ἀρχήν· ὡς βραχυλόγος δὲ καταλείψας τὰς προτάσεις, τὸ συμπέρασμα ἐπήγαγεν. ἴσμεν δὲ ποῖος οὗτος. ὅτι ὁ προγινώσκων οἶδε τὸ μέλλον. ὁ εἰδὼς τὸ μέλλον, προπαρασκευάζεται. ὁ προπαρασκευαζόμενος, ἄριστα θεραπεύει.

Προειδὼς τὰ ἐσόμενα ἐκ τῶν παρεόντων παθημάτων. —

Καὶ πάλιν διὰ τούτων βεβαιοῦται, ὅτι ῥίζα πάντων ἐστὶν ἡ διάγνωσις, ὡς καὶ ἀνωτέρω ἐλέγετο. οὐδὲ γὰρ δυνάμεθα προγνῶναι ἢ 1) μεμνηκέναι τῶν φθασάντων, εἰ μὴ διαγνῶμεν τὰ παρεόντα. διὰ τοῦτο 2) πρῶτον εἶπε προειδὼς τὰ ἐσόμενα ἐκ τῶν παρεόντων παθημάτων. ἰστέον ὅτι τὰ 3) παλαιὰ τῶν ἀντιγράφων νοσήματα ἔχει. καὶ καλῶς ἔχει. εἴρηται γὰρ, ὡς τῶν Ἱπποκρατείων οὐκ ἦν διῃρημένα τὰ νοσήματα καὶ τὰ συμπτώματα καὶ τὰ αἴτια, ἀλλὰ πάντα κοινῷ ὀνόματι ἐκαλοῦντο νοσήματα· διὰ τοῦτό φησι προειδὼς τὰ ἐσόμενα ἐκ τῶν παρεόντων νοσημάτων, συμπτωμάτων, αἰτίων.

Ὑγιέας μὲν γὰρ ποιέειν ἅπαντας τοὺς ἀσθενέοντας ἀδύνατον. —

Ἰδοὺ εἰς τὸν τρίτον λόγον εἰσέβαλεν ἑαυτὸν ἐν ᾧ φησιν ὅτι ὁ προγινώσκων ἰατρὸς προλέγει τούς τε σωθησομένους καὶ ἀπολλυμένους. καλῶς δὲ καὶ θαυμασίως ἔφη ὁ Ἱπποκράτης ὑγιάζειν ἅπαντας τοὺς ἀσθενοῦντας ἀδύνατον. τοῦτο γὰρ καὶ τοῦ προγινώσκειν τὰ μέλλοντα 4) ἀπο-

1) μεμνημένα L. 2) πρῶτον om. M. 3) πολλὰ M. 4) ἀποβήσεσθαι om. M.

βήσεσθαι κρεῖσσον ἂν εἴη, τουτέστιν ὅτι ἀδύνατόν ἐστι πάντας τοὺς ἀσθενοῦντας ὑγιάζειν. εἰ γὰρ τοῦτο ἠδυνάμεθα ποιεῖν, ἀναγκαιότερον 1) ἂν ἦν καὶ τῆς προγνώσεως, καὶ οὐκ εἴχομεν τοιαύτην μέριμναν θέσθαι περὶ τὴν πρόγνωσιν. καὶ ἄνευ γὰρ τοῦ προγνῶναι 2) ἐπὰν εἶχεν ὑγιασθῆναι, οὐκ ἔμελλε τὸ προγνῶναι. ἀλλ᾽ ἐπειδὴ ἀδύνατόν ἐστιν ἅπαντας ὑγιάζειν, διὰ τοῦτο ἀναγκαῖον ἡμῖν ἐστι, πολλὴν σπουδὴν καὶ ἐπιμέλειαν θέσθαι περὶ τὴν πρόγνωσιν, ὥστε ἐπίστασθαι αὐτὴν καὶ προγινώσκειν τὰ μέλλοντα ἔσεσθαι. τὸ προγινώσκειν 3) γὰρ καὶ προλέγειν, ἀναίτιον ἑαυτόν τε καὶ τὴν τέχνην καθίστησιν.

## Ἄλλη ἐξήγησις.

Ἐνταῦθα συμπεπλήρωνται οἱ δύο συλλογισμοί, ὁ πρῶτος καὶ ὁ δεύτερος. λοιπὸν ἡ ἀκοὴ ἀναμένει τὸν τρίτον ῥηθῆναι. ὁ δὲ οὐ παραδίδωσιν εὐθέως τὸν τρίτον. ἀλλ᾽ εἰ καὶ βραχυλόγος ἐστὶν ὁ Ἱπποκράτης, ἠκολούθησε τοῖς πλατικώτερον ἐκδιδοῦσι τὰ συγγράμματα καὶ διὰ τοῦτο ἀσάφειαν ἐποίησεν ἐν τῷ ῥητῷ. παραδίδωσι μὲν γὰρ 4) προτέλειά τινα συμβαλλόμενα ἡμῖν πρὸς τὸν τρίτον συλλογισμὸν καὶ προαναμιμνήσκει τῶν φθασάντων. καὶ εἶθ᾽ οὕτως τὸν τρίτον συλλογισμὸν ἐκτίθεται. εἰσὶ δὲ ταῦτα τὰ προτέλεια. ἰστέον ὅτι ἡ ἰατρικὴ αὕτη καθ᾽ ἑαυτὴν θεωρουμένη, ἄπταιστός ἐστιν ἐπιστήμη. διὰ δὲ τὸ ῥευστὸν τῆς ὕλης καὶ εὐμετάβλητον καὶ ἄλλοτε ἄλλως ἔχον· καλῶς γὰρ ὁ Πλάτων ποταμῷ ῥέοντι ἀπείκασε τὰ ἡμέτερα σώματα· καὶ διὰ τοῦτο οὐκ ἔχει τὸ βέβαιον ἡ τέχνη. εἰ μὲν 5) γὰρ πάντες οἱ νοσοῦντες ἀπέθνησκον, οὐκ ἦν ἔγκλημα τῷ ἰατρῷ, εἰ καὶ μὴ 6) προλέγοι. εἰ δὲ πάντες ὑγίαινον, οὐδὲν ἐδεῖτο τῆς προῤῥήσεως.

Ὑγιέας μὲν γὰρ ἅπαντας ποιέειν. —

7) Τίνος αὐτῷ προκειμένου, τὸν λόγον ἐπήγαγε τοῦτον τὸν λέγοντα, ὑγιέας μὲν γὰρ ἅπαντας ποιέειν τοὺς ἀσθενέοντας ἀδύνατον καὶ τὰ ἑξῆς; 8) καὶ λέγομεν ὅτι

1) ἂν om. L. 2) ἐπανεῖχεν L. 3) γὰρ om. L. 4) παντέλεια L. 5) γὰρ om. L. 6) προλέγει L. 7) Τινὸς M. 8) καὶ om. L.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 87 sur 382

ὡς συμβαλλόμενον 1) τοῦτο κατὰ τὸν τρίτον συλλογισμὸν προέφη καὶ εἶπε. τοῦτο γάρ φησιν ὅτι 2) εἰ ἐνεδέχετο πάντας ὑγιάζειν, περιττὴ ἂν εἴη ἡ πρόγνωσις. ἐπειδὴ δὲ οὐ δυνατὸν πάντας ὑγιάζειν, 3) οὐκέτι περιττὴ ἡ πρόγνωσις. τί οὖν ὅτι πταιστὴ ἡ τέχνη; αὕτη μὲν καθ' ἑαυτὴν ἄπταιστός τε καὶ ἀναμάρτητος. εἰ δὲ πολλάκις οἷα εἰκὸς ἁμαρτάνει, οὐ δι' ἑαυτὴν, ἀλλὰ διὰ τὴν ὑποκειμένην ὕλην, ῥευστήν τε καὶ εὐμετάβλητον οὖσαν· οὕτω καὶ τεκτονική τε καὶ οἰκοδομικὴ ἁμαρτάνουσιν οὐ δι' ἑαυτὰς, ἀλλὰ διὰ τὰς ὑποκειμένας ὕλας 4) αὐταῖς. ὅσαι δ' ἔχουσι τὴν ὑποκειμένην ὕλην ἀμετάβλητον, αὗται καὶ τὸ ἄπταιστον ηὐτύχησαν, καθάπερ ἀστρονομία τε καὶ γεωμετρία. ἐπεὶ οὖν ῥευστὴ ὕλη ὑπόκειται τῇ ἰατρικῇ· σώματα γάρ ἐστιν 5) ἀνθρώπινα· διὰ ταύτην τὴν αἰτίαν πταίει· δεῖ οὖν πάντα τρόπον ποιεῖν, ἄμεμπτον φυλάττεσθαι τὴν τέχνην. πῶς δὲ αὐτὴν ἄμεμπτον φυλάξωμεν; εἰ μὴ ὅτι 6) τοῦ προγνῶναι τὸ μέλλον, κἄν τε σωτήριον ᾖ 7) τὸ νόσημα κἄν τε ὀλέθριον, ἀναγκαία ἡ τούτου πρόγνωσις, ὥστε κἂν ἀποτυχία τις ἔσται, διὰ τοῦ προλέγειν ἄμεμπτος ἡ τέχνη διαμενεῖ.

### *Κείμενον.*

Ἐπειδὴ δὲ οἱ ἄνθρωποι ἀποθνήσκουσιν οἱ μὲν πριν̀ καλέσαι τὸν ἰατρὸν ὑπὸ τῆς ἰσχύος τῆς νόσου, οἱ δὲ καὶ ἐκκαλεσάμενοι παραχρῆμα ἐτελεύτησαν, οἱ μὲν ἡμέραν μίαν ζήσαντες. —

Ἀποροῦσί τινες ὅτι 8) τούτου ἀκαίρως ἐμνημόνευσεν ὁ Ἱπποκράτης. ἐὰν γὰρ πρὸ τοῦ καλέσαι τὸν ἰατρὸν ἀποθάνῃ ὁ ἄῤῥωστος, τότε ἀναίτιός ἐστιν. οὐ γὰρ ἐθεώρησε τὸ πρόσωπον τοῦ θνήξαντος ἐν τῷ 9) ζῆν αὐτόν· πρὸς ὃ λέγομεν, ὅτι καὶ ἀναγκαίως αὐτοῦ ἐμνημόνευσε κατὰ δύο αἰτίας· ἢ γὰρ διὰ τὸ 10) τέλειον τῆς διαιρέσεως ἐμνημόνευσε τὸ πριν̀ καλέσαι τὸν ἰατρὸν ἀποθνήσκουσιν, ἢ

---

1) αὐτῇ add. L. 2) εἰ om. L. 3) οὐχ ὅτι L. 4) αὐτὰς L. 5) ἀνθρώπεια L. 6) Fort. τῷ sive διὰ τοῦ. 7) τὸ νόσημα — τοιούτῳ τολμήματι desunt in cod. L, folio ablato. Explevi lacunam e codd. Ambros. 8) τοῦτο A. 9) ζεῖν M. 10) τέλει M.

διὰ τὸ διδάξαι ἡμᾶς τὴν περὶ φύσιν διάθεσιν τῶν ὀξέων νοσημάτων ἐμνημόνευσε τούτου τοῦ 1) ῥησιδίου. καὶ διὰ μὲν τὸ τέλειον τῆς διαιρέσεως οὕτως· οἷον ὁ νοσῶν ἢ περισώζεται ἢ ἀπόλλυται, καὶ ὁ ἀπολλύμενος ἢ πρὸ τοῦ κληθῆναι τὸν ἰατρὸν ἀποθνήσκει, ἢ μετὰ τὸ καλέσαι τὸν ἰατρὸν καὶ ἀπελθεῖν, καὶ μετὰ τὸ ἀπελθεῖν τὸν ἰατρὸν καὶ ἐπισκέψασθαι, ἢ ἐν τῇ αὐτῇ ἡμέρᾳ ἀπόλλυται, ἢ μετὰ μίαν ἢ μετὰ δύο ἢ τρεῖς καὶ ἐπέκεινα· διὰ δὲ τὸ διδάξαι ἡμᾶς τὰ ὀξέα νοσήματα· πολλάκις γὰρ κάτοξύ ἐστι τὸ νόσημα, καὶ πρὶν καλέσαι τὸν ἰατρὸν, ἀποθνήσκει ὁ νοσῶν καὶ οὐκ ἀναμένει τὴν παρουσίαν τοῦ ἰατροῦ· πολλάκις δὲ ὀξύ ἐστι τὸ νόσημα καὶ οὐ κάτοξυ, καὶ ἀναμένει τὴν παρουσίαν τοῦ ἰατροῦ, καὶ μετὰ τὸ καλέσαι τὸν ἰατρὸν ἢ ἐν τῇ αὐτῇ ἡμέρᾳ 2) ἀποθνήσκει ἢ μετὰ μίαν ἢ μετὰ δύο ἢ μετὰ τρεῖς καὶ ἐπέκεινα. διὰ ταύτας οὖν τὰς δύο αἰτίας, ἀναγκαίως τοῦ ῥησιδίου τούτου ἐμνημόνευσεν.

## Κείμενον.

Ἐπειδὴ δέ τινες, φησὶν, ἀποθνήσκουσι μετὰ τὸ καλέσαι τὸν ἰατρὸν παραχρῆμα, οἱ δὲ μετὰ ὀλίγας ἡμέρας, οἱ δὲ πρινὴ ἐκκαλέσαι τὸν ἰατρὸν ἐτελεύτησαν. —

Διὰ τοῦτό φησι βούλομαί σε εἰδότα τὸ ῥευστὸν τῆς ὕλης καὶ τὸ ἄλλοτε ἄλλως ἔχον προγινώσκειν καὶ προλέγειν· ἀλλ' ἴσως τις 3) ἀπορήσει, ὅτι καὶ ποῖαν μέμψιν 4) ἔχει ὁ ἰατρὸς, ἐὰν πρὶν ἐκκαλέσασθαι ἐτελεύτησε· καὶ νόμιζε λέγειν τὸν Ἱπποκράτην, ὅτι οὐκ ἔχει ἐπὶ τοῦτο ὁ ἰατρὸς μέμψιν, ἀλλὰ βούλομαί σε εἰδέναι τὸ ῥευστὸν τῆς ὕλης καὶ διὰ τοῦτο προλέγειν ἵνα μὴ 5) μεμπτὸς ἔσῃ.

## Ἄλλη ἐξήγησις.

Ἐνταῦθα ἄρχεται τοῦ τρίτου συλλογισμοῦ. ἴσμεν δὲ ὅτι ἐστὶν οὕτως· ὁ προγινώσκων οἶδε τὴν ἔκβασιν· ὁ εἰδὼς τὴν ἔκβασιν, προλέγει τὸ μέλλον· ὁ προλέγων τὸ μέλλον, ἀνέγκλητον φυλάξει τὴν τέχνην. ὄντως 6) ἐστὶν

---

1) ῥησειδίου A. 2) ἀποθνήσκουσιν A. 3) ἀπορήσοι Codd. 4) ἔχῃ M. 5) μεμπταῖος A. Fort. μεμπτέος. 6) ὅτι M.

ἀναγκαία ἡ πρόγνωσις διὰ τὸ εἰδέναι τὴν ἔκβασιν τοῦ μέλλοντος. ἰατρός τις ἰδιώτης 1) μὴ προγνοὺς τὸ μέλλον, ἀνελθὼν πρὸς ἄῤῥωστον καὶ ὁρῶν τοῦτον ἱδροῦντα συγκοπτικῶς, εἶτα νομίσας ἐλλιπῶς γίνεσθαι τοὺς ἱδρῶτας, μὴ γνοὺς ὅτι κατὰ συγκοπὴν ἐγένοντο οὗτοι οἱ ἱδρῶτες, ἐνόμισε δεῖν ἐπιπλέον ἐκφορῆσαι τὴν ὕλην· ἀπήγαγεν οὖν τὸν ἄῤῥωστον εἰς λουτρὸν, καὶ τοῦτο ἐποίησεν ἐπιπλέον διαφορηθῆναι, καὶ ἅμα τῷ διαφορηθῆναι τετελεύτηκεν ὁ ἄνθρωπος, καὶ τὴν πᾶσαν ἀπηνέγκατο μέμψιν ὁ ἰατρὸς, αἴτιος αὐτῷ τοῦ θανάτου γενόμενος. οὐχ ὅτι δὲ 2) αὐτὸς αἴτιος τοῦ θανάτου· ἔμελλε γὰρ 3) θνήσκειν ὅσον ἐκ τοῦ προηγησαμένου συμπτώματος, ἀλλ᾽ ἐπειδὴ οὐ προέγνω τὸ μέλλον, ὥστε μὴ 4) ἐγχειρῆσαι τοιούτῳ τολμήματι· 5) ἐγχειρίσας οὖν τὴν πᾶσαν αἰτίαν ἐκληρονόμησεν, ὥστε οὖν ἵνα 6) μὴ τὸ αὐτὸ πάθωμεν ἐκείνῳ τῷ ἰδιώτῃ, ἀναγκαῖον ἀσκεῖν τὴν πρόγνωσιν.

Πρινὴ τὸν ἰατρὸν τῇ τέχνῃ πρὸς ἕκαστον νόσημα ἀνταγωνίσασθαι. —

Θαυμασίως πάνυ τῇ πληθυντικῇ φωνῇ ἐχρήσατο εἰπὼν πρὸς ἕκαστον νόσημα· ἐνδέχεται γὰρ μὴ ὑπὸ ἑνὸς νοσήματος ἔχεσθαι τὸν κάμνοντα, ἀλλ᾽ ὑπὸ δύο νοσημάτων καὶ ἔστιν ὅτε καὶ τριῶν καὶ διὰ τοῦτο ἔφη πρὸς ἕκαστον νόσημα.

Ἄλλως.

Τὸ πρὸς ἕκαστον νόσημα. εἰ μὲν κατὰ πολλῶν νοσημάτων εἴπομεν, ἐπὶ διαφόρων λαμβάνομεν ἀνθρώπων, ἐπειδὴ πληθυντική ἐστιν ἡ φωνή. εἰ δέ ἐστιν ἑνὸς ἀνθρώπου τὸ τῶν νοσημάτων λαμβανόμενον, ἀντὶ τοῦ περὶ αἰτιῶν, συμπτωμάτων, νοσημάτων. καὶ καλῶς πάνυ προῆλθεν ἡ ἐξήγησις.

Ἄλλη ἐξήγησις.

Ἕκαστον λέγει ἢ πρὸς τὴν αἰτίαν ἢ πρὸς τὸ νόσημα ἢ πρὸς τὸ σύμπτωμα. ὁ γὰρ ἰατρὸς πρὸς ἕκαστον ἀγωνίζεται τούτων. ἐὰν οὖν βίαιον 7) [ᾖ] τὸ νόσημα ὡς εἶναι τοῦτο ὑπὲρ τὴν δύναμιν, οὐδενὶ τῶν εἰρημένων ἐλπὶς ἀν-

1) μὲν A. 2) αὐτὸ M. 3) ὁ θνήσκων M. 4) ἐγχειρίσαι M. 5) ἐγχειρίσαι M. 6) ἵνα τῷ αὐτῷ L. 7) ᾖ addidi.

τιστῆναι 1) τοῦτον. εἰ γὰρ καὶ πρὸς τὴν αἰτίαν σταίη, εἰκότως ἕτερον αἴτιον 2) ἰσχυρότερον εὑρεθήσεται τούτου, ὃ φθάσει 3) περγινόμενον καὶ τῆς δυνάμεως, ὡς καὶ ταύτην καταλῦσαι. πολλάκις δὲ ἕτερον μὲν αἴτιον οὐκ ἀντιπράττει· τὸ δὲ νόσημα αὐτὸ ὀχληρότερον καθίσταται, ἔστι δ' ὅτε τὸ μὲν νόσημα κατεπείγει οὐδὲν, ἀλλὰ τὰ συμπτώματα. πολλάκις οὖν ἐν ᾧ χρόνῳ πρὸς ἕν τι διαμάχεται, φθάνει ἕτερον ἰσχυρότερον εὑρεθὲν ἀνελεῖν τὴν δύναμιν. διὰ οὖν τὴν βίαν τῶν τοιούτων ὀλεθρίων ὄντων, ἀναγκαῖον κατορθοῦν τὴν πρόγνωσιν.

Ὁκόσον ὑπὲρ τὴν δύναμίν εἰσι τῶν σωμάτων. —

Δεῖ εἰδέναι ὅτι αἱ τοῦ σώματος δυνάμεις εἰσὶ τρεῖς, φυσικὴ, ζωτικὴ, ψυχική· δεῖ τοίνυν, φησὶ, τὰς τοῦ σώματος δυνάμεις παραβαλεῖν πρὸς τὴν τοῦ νοσήματος καὶ εἰδέναι, εἰ οὐκ 4) ἐξισχύουσι κατ' αὐτοῦ, καὶ ποῖαι, ὅτι ἀπεῖπον. εἰ μὲν γὰρ αἱ κρείττονες ἀπεῖπον, οἷον ἡ ζωτικὴ ἥτις ἀπὸ καρδίας ὁρμᾶται, ἢ ἡ ψυχικὴ ἡ ἐκ τοῦ ἐγκεφάλου, μένει δὲ ἡ φυσικὴ, τηνικαῦτα 5) ὁ θάνατος ὑπόγυιος γίνεται, ὡς τῆς ἐλάττονος 6) ἐῤῥωμένης, τῶν κρειττόνων καταβεβλημένων, ὡς δήπου κἀμοὶ ὦπται, τοῦ ἀῤῥώστου 7) ἄριστον* οὐ δῶρον εἰς ἐκκρίνοντα καὶ ἐντεῦθεν 8) εἴχομεν ἐῤῥῶσθαι τὴν φυσικὴν δύναμιν, καταβεβλῆσθαι δὲ τὴν ζωτικὴν, διότι συγκοπτικὸν εἶχεν ἱδρῶτα καὶ 9) ὁ τοιοῦτος ἐτελεύτα.

Ἅμα δὲ καὶ εἴτι θεῖον ἔνεστιν ἐν τῇσι νούσοισι. —

Λέγει ὁ 10) συγγραφεὺς ὅτι δεῖ, φησὶ, μὴ μόνον τὰ κατὰ ἁπλούστερον τρόπον περὶ τοὺς ἀῤῥώστους συμβαίνοντα προγινώσκειν, καὶ ἅπερ οἱ κάμνοντες παραλιμπάνουσι προλέγειν, ἀλλὰ καὶ εἴτι θεῖον ἔνεστιν ἐν ταῖς νόσοις καὶ τούτου δεῖ τὴν πρόνοιαν 11) ποιεῖσθαι, ἤτοι πρό-

---

1) τούτων L. 2) ἰσχυρότερον om. M. εὑρεθήσεσθαι Codd. 3) προγενόμενον L. 4) κατισχύουσι M. 5) ὁ om. L. 6) ἐρομένης M. 7) οὕτως δεῖ γράφειν ἀῤῥ. καὶ οὖν ὥρων (f. ἑώρων εἰσεκκρίνοντα) εἰς ἐκκρίνοντα καὶ ἐνταῦθα ἔγνων ἐῤῥῶσθαι τὴν φυσικὴν δύναμιν καὶ τὰ ἑξῆς L. in mg. ἀῤῥώστου ἄριστον ὕδωρ εἰς ἐκκρίνοντος M. Locus est corruptus. Fort. οὖρον ἐκκρίνοντος. 8) εἴχαμεν L. 9) οὗτος M. 10) ποιητὴς M. 11) ποιεῖσθαι om. M.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 91 sur 382

γνῶσιν ἐκμελετᾶν. καὶ οἱ μέν φασι 1) θεῖον εἰρηκέναι τὸν Ἱπποκράτην τὴν θεομηνίαν, καθὸ νοσήματα διάφορα τοῖς ἀνθρώποις εἴωθε γίνεσθαι, ἅπερ πιστούμενοι εἰς μαρτυρίαν παράγουσι τοὺς λεγομένους βλητοὺς καὶ τοὺς ἐπιλήπτους. — Ὁ μέντοι Γαληνὸς οὐ δέχεται τὴν τοιαύτην 2) γνώμην τῶν ἐξηγητῶν λέγων ὅτι οὐδέποτε ἐν τοῖς ἑαυτοῦ συγγράμμασι φαίνεται ὁ Ἱπποκράτης οὑτινοσοῦν νοσήματος τὴν αἰτίαν εἰς τὸ θεῖον ἀναφέρειν, ἄλλως τε 3) καὶ ἐν τῷ περὶ διαίτης ὀξέων βιβλίῳ μνημονεύσας τὸ πάθος τῶν βλητῶν τὴν αἰτίαν ἐδίδαξε, καθ' ἣν τὸ τοιοῦτον πάθος τοῖς ἀνθρώποις συμβαίνει. ἀλλὰ καὶ ἐν τῷ περὶ τῆς ἱερῆς νόσου συγγράμματι ἀντιῤῥητικῶς ἔχει 4) τοὺς λέγοντας αὐτὸ κατὰ θεομηνίαν γίνεσθαι. αὐτίκα γοῦν τὸ τῶν λεγομένων βλητῶν πάθος τοιῷδέ τινι τρόπῳ συμβαίνει συνίστασθαι· ἐπειδὴ ὡς μάλιστα ἐν τοῖς λοιμοῖς τὸ τοιοῦτον συμβαίνει τοῖς κάμνουσιν· ἴσμεν γὰρ ὅτι τὰ λοιμικὰ πάθη τὴν σηπεδονώδη τοῦ ἀέρος κατάστασιν αἰτίαν τῆς οἰκείας γενέσεως εὐπόρησεν, σηπομένων καὶ διαφθειρομένων δηλονότι τῶν ἐν τοῖς σώμασι χυμῶν. ἐκ τῆς τοιαύτης τοίνυν σηπεδόνος καὶ ὀξέως καὶ ἀλλοκότου καὶ ταραχώδους τῶν χυμῶν κινήσεως 5) ἀγομένη ἡ φύσις, ἐπείγεται πρὸς ἀπώθησιν καὶ ἔκκρισιν καὶ 6) διαφόρησιν τῶν ἀνιόντων. τούτων δὲ τυχεῖν 7) μὴ δυναμένη δι' οἰκεῖαν ἀσθένειαν, προκαταλαμβάνοντος τὸ ἔργον τοῦ θανάτου, μέχρι μέν τινος 8) ὠθήσασα τὴν ὕλην, τὸ ἐντεῦθεν ἐκλείπει. εἶτα αὐτὴ ἡ ἐκριφεῖσα ὕλη ὡς ἐπὶ τὰ ὑπὸ τὸ δέρμα χωρία ἐκεῖσε ἐνεχθεῖσα καὶ σφηνωθεῖσα τῷ πλήθει καὶ τῇ ὑπερπληρώσει ῥήγνυσι τὰ λεπτὰ τῶν ἀγγείων, καὶ ἐκχεῖται τὸ τηνικαῦτα εἰς τὰς παρακειμένας κενὰς χώρας. οὗτινος γενομένου, πελιδνοῦνται καὶ μελαίνονται οἱ τοῦτο πάσχοντες τόποι δίκην τῶν ἐκχυμωμάτων, ὡς αἴσθησιν αἰκισμῶν τινων καὶ μαστίγων τοῖς ἀγυμνάστοις τῶν ὁρώντων ἐμποιεῖν ὅθεν οἱ ἰδιῶται ὁρῶντες τοὺς τοῦτο παθόντας κατά τινα

---

1) θεῖον om. L. 2) τῶν ἐξ. γνώμ. M. 3) δὲ M. περὶ τῶν βλήτων in mg. L. 4) Fort. πρὸς. 5) εὐομένη L. 6) δυσφύρησιν L. 7) μὴ om. L. 8) ἀνατρέψασα L. in mg.

θείαν ὀργὴν ὑπὸ ἐναντίας δυνάμεως μαστιγωθῆναι λέγουσιν ἐκείνους ὅθεν καὶ βλητοὺς αὐτοὺς ὀνομάζουσι, παρὰ τὸ κατὰ θείαν μῆνιν ὑπὸ ἐναντίας βεβλῆσθαι δυνάμεως. — Καὶ τὸ τῶν ἐπιλήπτων δὲ πάθος οὐκ ἔχει θείαν ὀργὴν αἰτίαν τῆς γενέσεως, ἀλλὰ γίνεται ἡ ἐπιληψία κατά τινα σεληνιακὴν περίοδον, οὐ τοῦτο λέγοντός μου, ὅτι η τοῦ θεοῦ ὀργὴ διὰ τῆς τῶν οὐρανίων 1) κινήσεως ἐπιπέμπει τοῖς ἀνθρώποις τὸ πάθος. — Ἀλλ᾽ ἰστέον ὅτι ἡ σελήνη ἡνίκα πλησιφαὴς γένηται καὶ αὔξῃ αὐτῆς τὸ φῶς, χλιαρᾶς τινος θερμασίας καὶ συμμέτρου αἰτία τοῖς σώμασι γίνεται, ὑφ᾽ ἧς θερμασίας διαχεῖσθαι συμβαίνει τοὺς χυμοὺς καὶ πληροῦν μάλιστα τὰς κεφαλὰς, διὰ τὸ γυμνὰς ταύτας καὶ πρώτας σχεδὸν τοῦ λοιποῦ σώματος τῷ περιέχοντι ὁμιλεῖν ἀέρι. ὑπὸ οὖν τῆς 2) αὐτοῦ χύσεως ἀνάγκη παροξύνεσθαι τὸ πάθος τῶν ἐπιτηδείως οὕτως διακειμένων πρὸς τὸ πάθος τῆς ἐπιληψίας, ἔνθεν αὐξούσης τῆς σελήνης παροξύνονται οἱ 3) ἐπιληπτικοὶ, καὶ πάλιν ληγούσης, παρακμάζουσιν. ἔστι δὲ τεκμήρασθαι τὸ αὐτὸ τοῦτο, φημὶ 4) ὅτι ἡ σελήνη ἐξάρχει χλιαρᾶς τινος θερμασίας, καὶ ἐξ ἑτέρων πλείστων. οἵ τε γὰρ ἐγκέφαλοι τῶν ζώων αὐξάνοντος τοῦ σεληνιακοῦ φωτὸς μείζονες ἑαυτῶν γίνονται· καὶ τὰ ὀστρακόδερμα δὲ λεγόμενα, αἰσθητὴν ἔχουσι τὴν κατ᾽ οὐσίαν ἐπίδοσιν τὸ τηνικαῦτα ὅπερ ἐν αὐτοῖς μάλιστα διαφαίνεται τῶν ἄλλων διὰ τὸ ὑγρὸν τὴν οὐσίας, ἐπεί τοι γε ἡ τοιαύτη ἀναλογία διὰ πάντων διήκει τῶν σωμάτων, λέγω δὴ αὐξανόντων κατ᾽ οὐσίαν, πλησιφαοῦς γινομένης τῆς σελήνης, μειουμένης δὲ, συγκαθαιρουμένων. τοῦ δὲ τοιούτου πάθους ὁ ἥλιος τὴν πρώτην ἔχει αἰτίαν. αὐτὸς γὰρ πάντα ἀλλοιοῖ τὰ τῇδε σώματα τῷ δραστηρίῳ τῆς θερμότητος· ἐπὶ μέντοι τῆς σελήνης ἀναφέρομεν τὸ τοιοῦτον ἔργον, διὰ τὸ περίγειον αὐτῆς καὶ προσεχὲς μᾶλλον ἡμῖν. — Ἕτεροι δὲ λέγουσι θεῖον εἰρηκέναι τὸν Ἱπποκράτην τὰς κρισίμους ἡμέρας ὅτι δεῖ προγινώσκειν τὰς κρισίμους ἡμέρας, διὰ τί ἡ μὲν τετάρτη κρίνει, ἡ δὲ πέμπτη οὐ κρίνει, ἡ δὲ ἕκτη κρίνει

---

1) κινήσεων Codd. 2) αὐτῆς M. 3) ἐπίληπτοι M. A. 4) ὅτι om. M. A.

μὲν, ἐπὶ κακῷ δὲ, καὶ ἡ ἑβδόμη κρίνει, ἀλλ᾽ ἐπ᾽ ἀγαθῷ. ταῦτα δὲ οὐκ ἄλλῳ τινὶ γίνονται, ἀλλ᾽ ἢ θείᾳ τινὶ ἐπιφοιτήσει. — Ὁ δὲ Γαληνὸς ἐκβάλλει καὶ ταύτην τὴν αἰτίαν λέγων, ὅτι πῶς ὁ Ἱπποκράτης ἐν ἄλλους συγγράμμασι πλατικῶς περὶ τῶν κρισίμων ἡμερῶν διαλεχθεὶς, ἐν ἀφαρισμοῖς φησι, παρακεκαλυμμένως 1) εἶχε περὶ τῶν κρισίμων εἰπεῖν, καὶ συλλογιστικῶς εἶχε τοῦτο ποιῆσαι ἀπὸ τῆς θείας φωνῆς τουτέστι διὰ τοῦ θείου; — Ἕτεροι δὲ λέγουσι τὸν ἔρωτα θεῖον καλεῖν τὸν Ἱπποκράτην ἐνταῦθα. καὶ γὰρ θεῖόν τι χρῆμά ἐστιν ὁ ἔρως, ὡς δηλοῦσι τὰ σύμβολα, ἃ οἱ γραφεῖς γράφουσι περὶ αὐτοῦ. γράφουσι γὰρ αὐτὸν παιδίον πτερὰ ἔχοντα καὶ λαμπάδα κατέχοντα, καὶ παιδίον μὲν ὡς νέον καὶ ἀγήρατον καὶ ὡς ἄφθαρτον αὐτὸν ὄντα, πτερωτὸν δὲ διὰ τὸ ὑψιπετὲς καὶ ἐπάρσιον αὐτὸν παραπέτασθαι, λαμπάδα δὲ κατέχειν, ὡς φωτίζοντα καὶ ζωοποιοῦντα. ταῦτα δὲ πάντα θείας 2) τινός εἰσι δυνάμεως. ὁ οὖν Ἱπποκράτης θεῖον ἐνταῦθα τὸν ἔρωτα καλεῖ, ἐπειδή ἐστί τι πάθος ἐρωτικὸν γινόμενον ἐν τοῖς ἀνθρώποις ἐγκεκρυμμένον. καὶ τοῦτό φησι δεῖ προγινώσκειν. — Οὕτως γοῦν φασιν Ἀντίοχον τὸν υἱὸν Σελεύκου τοῦ Μακεδόνων βασιλέως, καθ᾽ ὃν καὶ αἱ πόλεις Ἀντιόχεια καὶ Σελεύκεια ὠνομάσθησαν· τοῦτον οὖν τὸν Ἀντίοχόν φασιν ἑαλωκέναι ἔρωτι πρὸς Εὐρυδίκην τὴν μητρυιὰν αὐτοῦ, καὶ εἶχε τοῦτο τὸ ἐρωτικὸν πάθος ἐγκεκαλυμμένον, καὶ ἐν μέσῳ ζωῆς καὶ θανάτου αὐτὸν τετυχηκέναι, καὶ πολλὴν ἐπιμέλειαν οἱ ἐν τῷ παλατίῳ ἰατροὶ πρὸς τὰ νομισθέντα αὐτοῖς ἐποίησαν. ἀλλὰ καὶ ἄλλους πλείστους ἰατροὺς ἀπὸ τῶν πόλεων μεταχειρισάμενοι καὶ ἀπὸ τῶν κωμῶν καὶ ἀπὸ τῶν ἀγρῶν καὶ μηδὲν ἰσχύσαντες ποιῆσαι διὰ τὸ ἐγκατακεκρυμμένον ἔχειν τὸ πάθος, ἐγνώσθη τῷ βασιλεῖ Σελεύκῳ περὶ Ἐρασιστράτου τοῦ Σαμίου ὅτι ἄριστός ἐστιν ἰατρός. καὶ δὴ παραγενομένου τοῦ Ἐρασιστράτου πρὸς τὸν Σέλευκον διελέχθησαν περὶ τοῦ υἱοῦ, καὶ εἰσελθόντος τοῦ Ἐρασιστράτου πρὸς τὸν Ἀντίοχον ἐπέβαλε τὴν χεῖρα ἐπὶ τῷ καρπῷ τοῦ Ἀντιόχου, καὶ δὴ σφυγμολογοῦντος τοῦ Ἐρασιστράτου, κατά τινα τύχην

---

1) εἶχε — συλλογ. om. L. 2) τινός εἰσι om. M.

τις ἐκ τῶν ἐκεῖσε ἑστώτων ἐμνημόνευσεν Εὐρυδίκης καὶ εὐθέως γεγόνασιν οἱ σφυγμοὶ ἄτακτοι καὶ 1) διέγνω ἐν ἑαυτῷ ὁ Ἐρασίστρατος ὅτι ἐρωτικῶς διάκειται πρὸς Εὐρυδίκην ὁ νεανίας καὶ παρασιωπήσας ἐπυνθάνετο λέγων, ὅτι δεῖ καὶ δεύτερον καὶ τρίτον ἐπιστῆναι τῇ σημειώσει πρὸς ἀσφαλῆ διάγνωσιν τοῦ πάθους, καὶ εἰπὼν ἀπηλλάγη. εἶτα ἐλθὼν τῇ ἐπαύριον λέγει τινὶ τῶν μετ᾽ αὐτοῦ, ὅτι ἡνίκα νεύσω σοι, μνημόνευσον Εὐρυδίκης, καὶ ἐπέβαλε τὴν χεῖρα ἐπὶ 2) τὸν καρπὸν τοῦ Ἀντιόχου καὶ εὗρε τοὺς σφυγμοὺς οἷοί περ καὶ ἐν τῷ κατὰ φύσιν, καὶ δὴ σημειουμένου αὐτοῖ, ἔνευσε τῷ μετ᾽ αὐτοῦ καὶ ἐμνημόνευσεν Εὐρυδίκης. καὶ εὐθὺς γέγονεν ἡ ἀρτηρία ἐν ταράχῳ πολλῷ καὶ ἀτάκτῳ κινήσει, καὶ διέγνω ὁ Ἐρασίστρατος ἀσφαλῶς, ὅτι ἔρωτα εἶχε πρὸς Εὐρυδίκην. τίς δ᾽ ἦν ἡ Εὐρυδίκη οὐκ ἐγίνωσκε. καὶ δὴ πάλιν εἰρηκὼς ὅτι 3) ἔτι δεόμεθα τῆς σημειώσεως ἀνεχώρησεν· εἶτα εἰς ὕστερον ἐλθὼν ὁ Ἐρασίστρατος ἔφη πρὸς τὸν Σέλευκον, ὅτι θέλω πάσας τὰς θεραπαίνας τὰς ἐν τῷ παλατίῳ οὔσας διελθεῖν ἔμπροσθεν ἡμῶν, ἵνα τὴν ἐπιτηδειοτάτην ἐκλεξώμεθα πρὸς ὑπουργίαν τοῦ νεανίσκου, ἵνα τὰ ὑφ᾽ ἡμῶν ἐπιτασσόμενα βοηθήματα ποιῇ. καὶ δὴ τοῦτο ἐποίησεν ὁ βασιλεὺς καὶ ἐκέλευσε πάσας διέρχεσθαι ἔμπροσθεν τοῦ Ἀντιόχου· ὁ δὲ Ἐρασίστρατνς ἐσφυγμολόγει αὐτὸν καὶ παρῆλθον αἱ θεράπαιναι, καὶ οὐδεμία ἀνωμαλία γένονε τῇ ἀρτηρίᾳ. καὶ δὴ ἐν ἀμηχανίᾳ γεγονὼς ὁ Ἐρασίστρατος ἔφη πρὸς τὸν Σέλευκον, ὅτι οὐκ ἀπολέλειπται ἄλλη θεραπαινὶς ἥτις γνωρίμη ἐστὶ τῷ νεανίσκῳ· καί φησιν ὁ βασιλεὺς ὅτι οὐκ ἀπολέλειπται ἄλλη κορασὶς, εἰ μὴ τὸ γύναιόν μου. καί φησιν ὁ Ἐρασίστρατος, ἐλθέτω καὶ αὕτη· καὶ δὴ ἐρχομένης τῆς Εὐρυδίκης, ἅμα ἐθεώρησεν ὁ Ἀντίοχος, γέγονεν ἡ ἀρτηρία αὐτοῦ ἐν ἀνωμαλίᾳ. ὁ γὰρ Ἐρασίστρατος ἔμεινε σφυγμολογῶν αὐτὸν ἀπ᾽ ἀρχῆς μέχρι τέλους. καὶ δῆθεν ἐπιστώσατο καὶ διέγνω, ὅτι πρὸς τὴν Εὐρυδίκην τὴν μητρυιὰν αὐτοῦ ἔρωτι ἑαλωκέναι, καὶ δή φασι πρὸς τὸν πατέρα τοῦ Ἀντιόχου ἀπεφήνατο λέγων, ὅτι οἶδα τὸ νόσημα καὶ διέγνων αὐτὸ ὅπερ νοσεῖ ὁ υἱός σου καὶ δύναμαι αὐτὸν

1) διέγνων L. M. 2) τῷ καρπῷ M. A. 3) ἔδει L.

θεραπεῦσαι, οὐ βούλομαι δέ. καὶ δὴ εὐθὺς ὁ βασιλεὺς πολλὰς ὑπέσχετο καὶ τιμὰς καὶ ἀξίας δοῦναι τῷ Ἐρασιστράτῳ ἵνα ἰάσηται τὸν υἱὸν αὐτοῦ ἐκ τῆς νόσου. ὁ δὲ Ἐρασίστρατος εἶπε πάλιν τὰ αὐτὰ, ὅτι διέγνων μὲν τὸ νόσημα καὶ δύναμαι αὐτὸν θεραπεῦσαι, οὐ βούλομαι δέ. καὶ δὴ τοῦτο ἐπὶ πολὺ τοῦ Ἐρασιστράτου λέγοντος, ἐθυμώθη ὁ βασιλεὺς καὶ ἀπειλὰς καὶ ἐμβριμήσεις τύραννος ὢν ἀπένεμε τῷ Ἐρασιστράτῳ ὅτι τυχὸν εἰ μὴ θέλεις αὐτὸν θεραπεῦσαι, φονεύω σε. καί φησιν ὁ Ἐρασίστρατος, τί ἐθυμώθης, ὦ βασιλεῦ, ὅτι τῆς γυναικός μου ἐρᾷ καὶ θέλεις 1) ὅτι δίδωμι τὴν ἐμὴν γυναῖκα ἵνα συνδιαφθαρῇ αὐτῷ; ἄκαιρον 2) τοῦτό ἐστιν. καὶ δή φησιν ὁ βασιλεὺς, ὅτι ἐὰν τοῦτο ποιήσῃς καὶ δώσεις τὴν γυναῖκά σου καὶ ἰαθῇ ὁ υἱός μου, πολλὰ χρήματα δώσω σοι καὶ συγκοινωνὸς τῆς βασιλείας μου ἔσῃ. καί φησιν ὁ Ἐρασίστρατος ὅτι εἰ τῆς γυναικός σου ἤρα, παρεῖχες ἂν τῷ νεανίσκῳ ὥστε ὑγιασθῆναι αὐτόν; ὁ δὲ βασιλεὺς μετὰ πολλοῦ ὅρκου ἐξομνύμενος, ὅτι ἐὰν τῆς γυναικός μου ἤρα, ἐδίδουν αὐτῷ ἵνα ὑγιασθῇ. καὶ τοῦτο κατασφαλισάμενος ὁ Ἐρασίστρατος λέγει πρὸς τὸν βασιλέα, ὅτι ἵνα γινώσκῃς, ὦ βασιλεῦ, τῆς γυναικός σου ἐρᾷ. καὶ δὴ εὐθέως ἐκέλευσεν ὁ βασιλεὺς τὴν Εὐρυδίκην εἰσελθεῖν πρὸς τὸν Ἀντίοχον. καί τινες μέν φασιν, ὅτι συνεφθάρη αὐτῇ, καὶ οὕτως ἀπηλλάγη τοῦ πάθους ὁ Ἀντίοχος. ἕτεροι δὲ εἶπον ὅτι ἐν ἐξουσίᾳ αὐτὴν λαβὼν καὶ περιλαβὼν καὶ καταφιλήσας ἀπηλλάγη. οἶδε γὰρ ἡ ἐξουσία καὶ τὸ αὐτεξούσιον ἀπαλλάξαι τοιούτου πάθους καὶ πόθου. ἀλλὰ καὶ ὁ Ἱπποκράτης διέγνω τοιούτου πάθους ἔρωτος τοῦ Περδίκκου. ἀλλὰ καὶ αὐτὸν τὸν Γαληνόν φασιν, ὅτι διέγνω τοιοῦτον πάθος θυγάτριον ἔχρν, ἔρωτος πρὸς 3) Πυλάδην ὀρχιστὴν ἐν τοῖς τότε καιροῖς γενόμενον. ὁ οὖν Ἱπποκράτης θεῖον ἐνταῦθα τὸν ἔρωτα ὥς τινες ὑπενόησαν καλεῖ, ὅτι δεῖ καὶ τοῦτο προγινώσκειν, μή τι πάθος τοιοῦτον ἐγκατακέκρυπται ἐν τοῖς ἀνθρώποις. ὁ δὲ Γαληνὸς οὐδὲ ταύτην τὴν αἰτίαν ἐδέξατο, ἀλλ' ἐλέγχει αὐτοὺς ὡς κακῶς τοῦτο ἐννοήσαντας λέγων, ὅτι 4) αἰσχρόν ἐστιν ὁ ἔρως. καὶ ὅτι

1) ὅτι om. M. A. 2) τοῦτ' ἦν M. 3) Πυλάδου Codd. 4) αἰσχρὸς M.

τοῦτο ἀληθὲς, δηλοῦσι τὰ σύμβολα ἃ οἱ γραφεῖς γράφουσι. παιδίον μὲν αὐτὸν γράφουσιν οὐ διὰ τὸ νέον, ἀλλὰ διὰ τὸ ἐλλιπὲς, πτερωτὸν δὲ οὐ διὰ τὸ ὑψιπετῆ αὐτὸν ὄντα, ἀλλὰ διὰ τὸ ἄστατον τῇδε κἀκεῖσε περιφερόμενον, λαμπάδα δὲ κρατοῦντα οὐ διὰ τὸ φωτίζειν, ἀλλὰ πῦρ κρατοῦντα καὶ καπνίζοντα ἅπερ αἰσχρὰ καὶ κίβδηλά εἰσιν. οὕτως διελέγξας αὐτοὺς λέγει αἰτίαν τοιαύτην, ὅτι θεῖον ἐνταῦθα ὁ Ἱπποκράτης τὰ προκαταρκτικὰ αἴτια λέγει καὶ τὴν κατάστασιν τοῦ περιέχοντος ἡμᾶς ἀέρος ὑποτίθεται. οὕτως γὰρ καὶ ἐν ἐπιδημίοις ὑποτίθεται καὶ ἐν ἀφορισμοῖς, ὡς δηλοῖ ἡ ῥῆσις λέγουσα οὕτως· ἢν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δ᾽ ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρεος πυρετοὺς ὀξεῖς καὶ ὀφθαλμίας καὶ δυσεντερίας γενέσθαι μάλιστα τῇσι γυναιξὶ, καὶ τοῖσιν ὑγρὰς ἔχουσι τὰς φύσιας. καὶ ἄλλα πολλὰ εὑρήσεις εἰπόντα τὸν Ἱπποκράτην. ταῦτα οὖν δεῖ προγινώσκειν, καὶ ὅτι θεῖον ἐκέλευσεν ἐνταῦθα τὸ προγινώσκειν τὸν ἰατρὸν τὴν κατάστασιν τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ἐπειδὴ ἀφανῶς καὶ ἀνεπαισθήτως ποιεῖ ἡμῖν, ὡς δηλοῦσιν αἱ λοιμικαὶ διαθέσεις ἀπὸ τῆς σηπεδόνος τοῦ περιέχοντος ἡμᾶς ἀέρος 1) γινόμεναι. καὶ δεῖ φησι παρὰ πάντα τὰ νοσήματα τὰ ἐπιδήμια γινώσκειν τὰ ἀπὸ τοῦ περιέχοντος ἡμᾶς ἀέρος γινόμενα, εἴτε σωτήριά εἰσιν, εἴτε ὀλέθρια. καὶ ἀποροῦσί τινες ὅτι δήποτε μὴ ἐσαφήνισεν 2) ἡμῖν ὁ Ἱπποκράτης, καὶ σαφῶς ἀπεκρίνατο ὅτι δεῖ προγινώσκειν καὶ τὴν κατάστασιν τοῦ ἀέρος τοῦ ἡμᾶς περιέχοντος. ἀλλὰ καὶ θεῖον 3) αὐτὸ ἔφη καὶ ἀσαφῶς. καὶ ἀπολογούμεθα ὅτι διὰ τοῦτο οὐκ ἐμνημόνευσεν ὡς ὑμεῖς εἴπατε, ἐπειδὴ κατεσκεύασται αὐτῷ ἡ τοιαύτη πραγματεία ἐν πολλοῖς καὶ ἐν ἐπιδημίοις καὶ ἐν ἀφορισμοῖς καὶ ἐν ἄλλοις πλείστοις. ἐνταῦθα μέντοι πλατικῶς οὐκ ἠθέλησε τοῦτο ποιῆσαι.

Οὕτω γὰρ ἂν τις θαυμάζοιτό τε δικαίως καὶ ἰητρὸς ἀγαθὸς ἂν εἴη. —

Φησὶν ὅτι ὁ προγινώσκων ἰατρὸς καὶ εἴ τι θεῖον ἔνεστιν ἐν ταῖς νόσοις, τὴν ἴασιν εὐχερῶς παρατυγχάνει.

---

1) γινομένων M. A. 2) ἡμῖν om. L. 3) αὐτῷ L. A.

καὶ δεῖ θαυμάζειν τὸν τοιοῦτον δικαίως καὶ θαυμασίως, ὅτι 1) ὡμοίωται τῷ θεῷ ὁ ἰατρὸς κατὰ τὸ δυνατὸν ἀνθρώποις κατὰ τὴν πρόγνωσιν.

Καὶ γὰρ οὓς οἷόν τε περιγενέσθαι, ἔτι μᾶλλον δύναιτ' ἂν διαφυλάττειν, ἐκ πλείονος χρόνου προβουλευόμενος πρὸς ἕκαστα. —

Ἰδοὺ ἐκ τούτου τοῦ ῥησιδίου δυνατόν ἐστι βεβαιῶσαι τὴν τοῦ Γαληνοῦ ἐξήγησιν, ὅτι θεῖον ἐνταῦθα ὁ Ἱπποκράτης λέγει τὰ προκαταρκτικὰ αἴτια ἤτοι την κατάστασιν τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ἐκ τοῦ εἰπεῖν αὐτὸν ἐκ πλείονος χρόνου προβουλευόμενος πρὸς ἕκαστα. 2) προγινώσκων γὰρ οὓς οἷόν τε περιγενέσθαι τουτέστιν 3) ὅτι ὁ προγινώσκων ἰατρὸς ἅπερ σώζονται νοσήματα καὶ περιγενέσθαι ἐκ πλείονος χρόνου προβουλευόμενος πρὸς ἕκαστον νόσημα, 4) οὗτος δύναται εὐχερῶς ἰᾶσθαι τὰς νόσους, ὥσπερ 5) ἐκ τοῦ χειμῶνος δύναται ὁ ἰατρὸς προγνῶναι τὰ ἐν τῷ θέρει μέλλοντα συμβῆναι καὶ εἰπεῖν νοσήματα. καὶ δύναται πρὸ πολλοῦ ἔτι περιεστηκὼς αὐτῶν ἐχόντων, λέγω δὴ τῶν νοσημάτων, προπαρασκευασθῆναι καὶ ἰάσασθαι τὰ τοιαῦτα νοσήματα, καὶ οὕτως ἀπαλλάττεται τοῦ κινδύνου.

Σκέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖσιν ὀξέσι νοσήμασι, πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος. —

Ἰστέον ὅτι ἡ σημείωσις τριττή ἐστιν, ἐπιστημονικὴ, τεχνικὴ, ἰατρική. κέχρηται δὲ τῇ τεχνικῇ σημειώσει. καὶ σημειοῦται οὐκ ἀπὸ τοῦ γένους. οὔτε γὰρ περὶ ὀργανικῶν διαλέγεται, οὔτε περὶ ὁμοιομερῶν, ἀλλ' οὐδὲ ἀπὸ τοῦ εἴδους, εἴτε καῦσος εἴη, εἴτε σύνοχος καὶ τὰ τοιαῦτα, ἀλλὰ σημειοῦται εἴτε σωτήριόν ἐστι τὸ νόσημα εἴτε ὀλέθριον τουτέστιν ἀπὸ τοῦ ἤθους, ὅπερ ἀπὸ τῶν ἑπομένων καὶ ἐπιγενομένων συμπτωμάτων χαρακτηρίζεται. σημειοῦται δὲ τὸ ὀξὺ νόσημα ἀπὸ τοῦ προσώπου διὰ τὸ φανερὸν καὶ ἑτοίμως 6) αὐτὸ ὁρᾶσθαι ὑπὸ τοῦ ἰατροῦ καὶ λέγει.

---

1) ὁμοίωται L. A. 2) προγινώσκω L. 3) ὅτι om. L. 4) οὕτως L. M. 5) ἀπὸ M. A. 6) αὐτῷ L.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 98 sur 382

**Πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων, μάλιστα δὲ εἰ αὐτὸ ἑαυτῷ. —**

Τουτέστιν ὅτι δεῖ ἀντεξετάζειν τὸ πρόσωπον τοῦ νοσοῦντος εἰ ὅμοιόν ἐστι τοῖς τῶν ὑγιαινόντων ἢ ἀνόμοιον, μάλιστα δὲ τὴν παραβολὴν ποιεῖσθαι, εἰ αὐτὸ πρὸς 1) ἑαυτό ἐστιν ὅμοιον ἢ ἀνόμοιον. καὶ αὕτη μᾶλλον ἡ ἀρίστη σημείωσις. πολλοὶ γὰρ ἐν τῷ κατὰ φύσιν ἔχουσιν ἰσχνὸν τὸ πρόσωπον ἢ μολιβδῶδες ἢ ἰκτερῶδες ἢ ὠχρὸν, καὶ ἐὰν πρὸς τοὺς ὑγιαίνοντας ποιήσῃς τὴν παραβολὴν, εἰς πολλοὺς παραλογισμοὺς ἐμπεσεῖς. καὶ τοῦ μὲν ὁμοίου καὶ κατὰ φύσιν ὁ συγγραφεὺς οὐκ εἶπε διαφορὰν, ἀλλ' εἴασεν αὐτὸ οὕτως ἀδιαίρετον. τὸ δὲ ἀνόμοιον διαιρεῖ καὶ λέγει αὐτοῦ διαφοράς. φησὶ γὰρ ὅτι τὸ ἀνόμοιον ἢ πλεῖστον ἀφέστηκε τοῦ κατὰ φύσιν, καὶ ἐν ἀκροτάτῳ 2) τοῦ παρὰ φύσιν γέγονεν ὅπερ κινδυνότατόν ἐστιν, ἢ μέσως πως ἀφέστηκεν. καὶ τοῦτο πάλιν πολλὰς ἔχει διαφορὰς παρὰ τὸ μᾶλλόν τε καὶ ἧττον. ἢ γὰρ τῷ κατὰ φύσιν πλησιάζει 3) ἢ τῷ πάντη 4) ἀφεστηκὸς ἀνομοίῳ. καὶ ἐφ' ὅσον μὲν τῷ κατὰ φύσιν πλησιάζει, ἧττόν ἐστι κινδυνῶδες, ἐφ' ὅσον δὲ τῷ παρὰ φύσιν, κινδυνῶδές ἐστιν. ἔστι δὲ καὶ ἄλλην αἰτίαν θαυμαστοτάτην ἀποδοῦναι. διὰ τοῦτο τὴν σημείωσιν ἀπὸ τοῦ προσώπου ποιεῖται καὶ 5) τὸ πρόσωπον ἐξ ἀνομοιομεροῦς οὐσίας σύγκειται. το γὰρ πλεῖστον μέρος αὐτοῦ ὀστῶδές ἐστι, τὸ δὲ λοιπὸν σάρκες καὶ ὑγρὰ καὶ πνεύματα ἀναπληροῦσιν. ἐπειδὴ οὖν τὰ ὀξέα νοσήματα συντηκτικὰ καὶ δαπανητικά εἰσι τῶν σαρκῶν καὶ ὑγρῶν πνευμάτων, τὰ δ' ὀστᾶ 6) δυσπαθῆ ὄντα τῇ δαπάνῃ τῶν σαρκῶν καὶ τῶν ὑγρῶν καὶ πνευμάτων, μένει ἡ ὀστώδης φύσις ὡς δυσπαθής. καὶ δυνατόν ἐστιν ἐκ τούτου ἐπιστῆναι τῇ σημειώσει ὅτι ὀλέθριόν ἐστι τὸ νόσημα· οὕτως ἡ τῶν ῥηΐστων σημείωσις ἀπὸ τοῦ προσώπου ὑφέστηκεν. ἀλλὰ καὶ ἡ τῶν μεγίστων σημείωσις ἐν τῷ προσώπῳ συνίσταται. μέγιστα σημεῖά ἐστιν ὅτι τὰς τρεῖς ἀρχὰς σημαίνει τὸ πρόσωπον καὶ πῶς διάκεινται, ἐγκέφαλον λέγω καὶ καρδίαν καὶ ἧπαρ. καὶ αὕτη λέγεται

---

1) ἑαυτὸν L. A. 2) τοῦτο L. 3) ἢ — πλησιάζει om. M. 4) Fort. ἀφεστηκότι. 5) τὸ om. L. A. 6) συμπαθῆ M. A.

μεγίστη σημείωσις. καὶ τὸν μὲν ἐγκέφαλον δηλοῖ τὸ πρόσωπον τὸ πῶς διάκειται ἀπὸ 1) τῶν αἰσθήσεων. αἱ γὰρ αἰσθήσεις ὡς δορυφόροι τινὲς κάθηνται περὶ τὸ πρόσωπον ὡς βασιλέα, καὶ δορυφοροῦσαι τὸν ἐγκέφαλον, καὶ εὖ ἐνεργουσῶν τῶν αἰσθήσεων δηλοῦσι τὸν ἐγκέφαλον καλῶς διάκεισθαι. εἰ δὲ βεβλαμμένως ἐνεργοῦσι, δηλοῦσι κακῶς διάκεισθαι. ἀλλὰ καὶ τὴν καρδίαν σημειούμεθα ἀπὸ τοῦ προσώπου· εἰ μὲν εὔχρουν ἐστὶ τὸ πρόσωπον, δηλοῖ τὴν καρδίαν καλῶς διάκεισθαι, ἐπειδὴ ἡ εὔχροια ἀπὸ τοῦ ἐμφύτου θερμοῦ γίνεται ἀπὸ τῆς καρδίας 2) καὶ διὰ τῶν ἀρτηριῶν 3) ἐπινάεται τὸ πρόσωπον καὶ γίνεται εὔχρουν. εἰ δὲ κακόχρουν ἐστὶ τὸ πρόσωπον, δηλοῖ τὴν καρδίαν κακῶς διακειμένην. ἡ γὰρ κακόχροια γίνεται, ἢ κακοχυμίας τινὸς πλεοναζούσης ἐν τῇ καρδίᾳ ἢ φερομένης ἀπό τινος μορίου καὶ τὸ τηνικαῦτα μολύνεται τὸ ἔμφυτον θερμὸν καὶ ὁ ζωτικὸς τόνος καὶ ἐντεῦθεν κακόχρουν γίνεται τὸ πρόσωπον, ἢ δι' ἀσθένειαν ἐνδεὴς γίνεται ἡ τοῦ ἐμφύτου θερμοῦ ἀνάδοσις καὶ διὰ τοῦτο κακόχρουν γίνεται τὸ πρόσωπον. ἀλλὰ καὶ τὸ ἧπαρ σημαίνει εἴτε καλῶς διάκειται 4) εἴτε κακῶς· εἰ μὲν γὰρ εὔτροφόν ἐστι τὸ πρόσωπον, δηλοῖ ὅτι καλῶς διάκειται τὸ ἧπαρ καὶ ἀμέμπτως ἐνεργεῖ. εἰ δὲ ἰσχνόν ἐστι τὸ πρόσωπον, δηλοῖ κακῶς διάκεισθαι τὸ ἧπαρ· ἢ γὰρ κακοχυμία τις πλεονάζει ἐν τῷ ἥπατι καὶ συναναδίδοται τῷ λόγῳ τροφῆς ἐν τῷ προσώπῳ φερόμενον καὶ διὰ τὸ κακόχυμον αὐτὸ εἶναι καὶ ἀκάθαρτον, οὐ τρέφεται· ἀλλ' ἰσχναίνεται ἢ ἐνδεὴς γίνεται ἡ ἀνάδοσις διά τινα ἀσθένειαν καὶ τὸ τηνικαῦτα ἰσχναίνεται πρόσωπον. ἀλλὰ καὶ εὔσχημός ἐστιν ἡ ἀπὸ τοῦ προσώπου σημείωσις· οὐδὲ γὰρ δεῖται ἀνακαλύψεως τὸ πρόσωπον, ὡς εἰώθαμεν ἀνακαλύπτειν ἐπὶ τῶν σπλάγχνων, κακῶς διακειμένου στομάχου ἢ γαστρὸς ἢ ἥπατος ἢ σπληνὸς ἢ τῶν τοιούτων. ἐπὶ τούτων γὰρ ἀνακαλύπτομεν. ἐπὶ δὲ τῇ σημειώσει τοῦ προσώπου οὐκ ἀνακαλύπτομεν. αὐτόθεν γὰρ γυμνὸν ὑποπίπτει καὶ 5) εὔσχημός ἐστιν ἡ τοιαύτη σημείωσυς, μάλιστα ἐπὶ τῶν παρθενευουσῶν ἢ τῶν

1) τῆς αἰσθήσεως L. 2) καὶ om. L. 3) ἐπινεύεται A. in mg. ἐπιγίνεται. Fort. ἐπινέμεται 4) εἴτε — διάκειται om. L. 5) εὔχυμος L.

ὁπωσοῦν κόσμιον καὶ σεμνὸν βίον 1) διαγουσῶν γυναικῶν εὔσχημός ἐστιν ἡ ἀπὸ τοῦ προσώπου σημείωσις 2) διὰ πάντα ὁπωσοῦν νενομοθετημένα σημεῖα ἐν τῷ 3) * κατ᾽ ἰητρεῖον συγγράμματι ἐν τῷ προσώπῳ συνίστασθαι.

Ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι συμπεπτωκότες, ὦτα ψυχρὰ καὶ συνεσταλμένα καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι. —

Ὅτι κακά εἰσι καὶ ὀλέθρια τάδε ἓξ ταῦτα συμπτώματα καὶ χαρακτηριστικὰ νεκρώδους προσώπου πιστοῦται ὁ Γαληνὸς διά τε τοῦ ἐπιλογισμοῦ καὶ τοῦ ἀναλογισμοῦ τουτέστιν ἀπὸ τῆς πείρας καὶ ἀπὸ τοῦ λόγου. καὶ ἀπὸ μὲν τῆς πείρας οὕτως, ὅτι ἐφ᾽ ὧν νοσημάτων συνέβη ταῦτα, ἔφησεν ὅτι ὀλέθριόν ἐστι τὸ νόσημα ἐκεῖνο· ἀπὸ δὲ τοῦ λόγου ὅτι ἐν τῷ καθόλου κατὰ δύο αἰτίας γίνεται τὸ τοιοῦτον πάθος ἐν τῷ προσώπῳ· ἢ γὰρ διὰ δριμύτητα ὕλης φερομένης καὶ δαπανώσης καὶ διαφθειρούσης τὰ εὐπαθῆ, ἅπερ ἐστὶ σάρκες καὶ ὑγρὰ καὶ πνεύματα ὡς ἐν τῇ θεωρίᾳ εἰρήκαμεν. καὶ οὕτως γίνεται τὸ πάθος τοῦτο· ἢ δι᾽ ἀσθένειαν τοῦ ἐμφύτου θερμοῦ τοῦτο γίνεται. ἀσθενοῦντος γὰρ τοῦ ἐμφύτου θερμοῦ, οὐ δύναται ἐπεκτανθῆναι ἐπὶ τὰ πόῤῥω καὶ ἄκρα μόρια, ἀλλ᾽ ἐμφωλεύει περὶ τὰ σπλάγχνα καὶ ἐκεῖσε ἐνειλίσσεται, καὶ τὸ τηνικαῦτα λειφαιμοῦντα καὶ ἀμοιροῦντα τοῦ ἐμφύτου θερμοῦ καὶ ζωτικοῦ τόνου ψύχονται τὰ ἄκρα καὶ ἀπομαραίνονται καὶ οὕτως ἀπονεκροῦνται. καὶ γὰρ τὸ πρόσωπον ἄκρον ἐστὶ μόριον, ἀλλὰ καὶ ἄσκεπον ἀείσε ἐστί. διὰ τοῦτο καὶ ἡ παραλλαγὴ τοῦ κατὰ φύσιν τῷ προσώπῳ μάλιστα γίνεται. ἐντεῦθεν καὶ τὰ ἓξ ἐκεῖνα συμπτώματα ἐν τῷ προσώπῳ συνίστανται διὰ τὰς αὐτὰς δύο αἰτίας.

Ῥὶς ὀξεῖα. —

Ἡ ῥὶς ὀξεῖα γίνεται τρόπῳ τοιούτῳ· ἡ ῥὶς ὀστοῦν χονδρῶδές ἐστι· τὸ μὲν ἐντὸς ὀστῶδές ἐστι, τὸ δὲ ἔμπρο-

1) διαγόντων! Codd. 2) Fort. διὸ — συνίσταται. 3) κατηιτρίῳ L. A. κατ᾽ ἰητρίῳ M. In libro de officina medici nihil de hac re legitur, unde vitium subesse reor.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 101 sur 382

σθεν χόνδρος· μόνα δὲ τὰ πτερύγια σαρκώδη εἰσὶ καὶ ὑγρά. ταῦτα οὖν τὰ πτερύγια ὡς ὑγρὰ ὄντα καὶ εὐπαθῆ συμβαίνει διὰ μίαν τῶν αἰτιῶν δαπανᾶσθαι καὶ φθείρεσθαι· ἢ γὰρ διὰ δριμύτητα τῆς ὕλης δαπανῶνται καὶ ἐξαναλίσκονται, ἢ δι' ἀσθένειαν τοῦ ἐμφύτου θερμοῦ, τῆς ψύξεως τὸ τηνικαῦτα πιλούσης καὶ ἐκπυρηνιζούσης. καὶ δι' ἀτροφίαν φθείρει τὰ πτερύγια. τούτων δὲ μειουμένων, ἐξ ἀνάγκης ὀξεῖα γίνεται ἡ ῥίς. καὶ 1) ἐπὶ σιμῆς δὲ ῥινὸς τὸ ἀνάλογον γίνεται καὶ ὀξύνεται. καὶ ἡ σιμὴ ῥίς, ἀλλὰ καὶ ἡ γρυπὴ καὶ ἡ ὁπωσοῦν ῥὶς ὀξύνεται, καὶ δεῖ αὐτὴν πρὸς ἑαυτὴν τὴν ῥῖνα ἀντεξετάζειν.

Ὀφθαλμοὶ κοῖλοι. —

Καὶ οἱ ὀφθαλμοὶ κοῖλοι γίνονται διὰ μίαν τῶν αἰτιῶν· ἢ γὰρ διὰ κακοχυμίαν καὶ δριμεῖαν ὕλην, ἐξαναλίσκουσαν καὶ ἐκδαπανῶσαν τὰ ἐν τοῖς ὀφθαλμοῖς. λοιπὸν δὲ καὶ τὰ πνεύματα. πλείστη γὰρ μοῖρα πνεύματος ὀπτικοῦ πέμπεται εἰς τοὺς ὀφθαλμούς. τούτων δὲ δαπανωμένων ὡς εὐπαθῶν, ἐξ ἀνάγκης οἱ ὀφθαλμοὶ κοῖλοι γίνονται. διὰ δὲ ἄκραν ψύξιν κοῖλοι γίνονται οἱ ὀφθαλμοί, ἐπειδὴ ἡ ἄκρα ψύξις πύκνωσιν καὶ πίλησιν καὶ συνίζησιν καὶ ἐκπυρηνισμὸν ἀπεργάζεται. λοιπὸν καὶ 2) ἀτροφία ἐν αὐτοῖς γίνεται, καὶ τῷ λόγῳ τούτῳ ἐξ ἀνάγκης κοῖλοι γίνονται οἱ ὀφθαλμοί.

Κρόταφοι ξυμπεπτωκότες. —

Πρὸ πάντων τῶν ἐν τῇ κεφαλῇ μορίων μόνοι οἱ κροταφῖται μύες δαπανῶνται διὰ τὰς αὐτὰς αἰτίας· ἢ γὰρ τῇ δριμύτητι τῆς ὕλης δαπανώμενοι συμπίπτουσιν οἱ κρόταφοι ἢ διὰ τὴν ἄκραν ψύξιν.

Ὦτα ψυχρὰ καὶ συνεσταλμένα. —

Τὰ ὦτα ἐπειδὴ χονδρώδη εἰσί, φύσει ψυχρά εἰσι. καὶ εἰκότως ὑπὸ τῆς ἄκρας ψύξεως ψυχρὰ γίνονται. ἀλλὰ καὶ διὰ τοῦτο συνεσταλμένα γίνονται διὰ τὴν ψύξιν. ἡ γὰρ ακρα ψύξις 3) συῤῥεῖ αὐτὰ καὶ οἷον συνσπᾷ αὐτὰ καὶ γίνονται συνεσταλμένα.

---

1) ἐπισημοῖς L. 2) ἡ add. M. 3) συνρεῖ Codd. Fort. συῤῥέπει.

*Καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι.* —

Εἰκότως, ἐπειδὴ παρὰ πάντα τὰ μόρια τῶν ὤτων σαρκωδέστεροι καὶ ὑγρότεροι οἱ 1) λοβοί εἰσι. δαπανώμενοι οὖν καὶ ἰσχαινόμενοι ἀποστρέφονται ἐπὶ τὰ ὀπίσω. καὶ διὰ ποίαν αἰτίαν ἐπὶ τὰ ὀπίσω ἀποστρέφονται οἱ λοβοὶ καὶ μὴ πρὸς ἔμπροσθεν μέρη; καὶ λέγομεν, ὅτι διὰ τοῦτο ἐπὶ τὰ ὀπίσω ἀποστρέφονται, ὡς ἐπὶ τὴν οἰκείαν ἀρχήν· ἐπειδὴ ἀπὸ τῶν ὀπίσω δέχονται τὰ ὦτα αἰσθητικὰ νεῦρα. τῇ οὖν ἄκρᾳ ψύξει σπώμενα τὰ αἰσθητικὰ νεῦρα πρὸς ἑαυτὰ ἐφέλκονται τοὺς λοβοὺς τῶν ὤτων καὶ διὰ τοῦτο ἐπὶ τὰ ὀπίσω ἀποστρέφονται. ἐντεῦθεν καὶ ἡ δόξα ἐκείνη ἐκβάλλεται τῶν ὁρισαμένων τὸν σπασμὸν κίνησιν ἀπροαίρετον, ἐν 2) προαιρετικοῖς μορίοις συνισταμένην, οὐ μὴν ἐν τοῖς αἰσθητικοῖς καὶ ἀκινήτοις. ἰδοὺ γὰρ ἀποδέδεικται ἐνταῦθα ὅτι οὐ μόνον ἐν τοῖς κινητικοῖς μορίοις συνίσταται ὁ σπασμὸς, ἀλλὰ καὶ ἐν τοῖς αἰσθητικοῖς ἤτοι τοῖς ἀκινήτοις νεύροις. καλῶς δὲ λοιπὸν ὡρίσαντο οἱ εἰπόντες τὸν σπασμὸν κίνησιν ἀπροαίρετον ἐν προαιρετικοῖς μορίοις συνισταμένην. ἀμφότερα γὰρ περιλαμβάνει ὁ ὁρισμὸς οὗτος· καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι.

*Καὶ τὸ δέρμα τὸ περὶ τὸ μέτωπον σκληρόν τε καὶ περιτεταμένον καὶ καρφαλέον ἐόν.* —

Εἰκότως τοῦτο γενήσεται, ἐπειδὴ σχεδὸν ἄσαρκόν ἐστι τὸ μέτωπον ὀστῶδες τυγχάνον, εἰ 3) μὴ ἐλαχίστη μοῖρα ἀπὸ τοῦ μυώδους πλατύσματος φέρεται παρὰ τὸ μέτωπον καὶ κινεῖ αὐτό. καὶ διὰ μίαν τῶν εἰρημένων αἰτιῶν συμβαίνει καὶ τοῦτο δαπανᾶσθαι καὶ φθείρεσθαι καὶ σκληρὸν γίνεσθαι, καὶ περιτεταμένον καὶ καρφαλέον τὸ δέρμα τοῦ μετώπου. ταῦτα γὰρ πάντα ἐπιτεταμένην ξηρότητα δηλοῦσιν.

*Καὶ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου χλωρόν τε ἢ πέλιον ἢ καὶ μέλαν ἐόν.* —

Ταῦτα 4) γὰρ πάντα τὰ χρώματα ὑπὸ ψύξεως γίνονται. καὶ τὸ μὲν μέλαν κατὰ ἐπίτασιν γίνεται ψύξεως. οὕτως

1) λωβοὶ Codd. 2) κινητικοῖς L. 3) μήτι δ' ἂν Codd. 4) γὰρ om L.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 103 sur 382

γὰρ καὶ τὸ αἷμα ἐν ταῖς φλεβοτομίαις, ἢ ὁπωσοῦν κενούμενον, θρομβοῦται, εἶτα πήγνυται, καὶ οὕτως τῷ χρόνῳ μελαίνεται. τὸ δὲ χλωρόν τινες καὶ τὸ ὠχρὸν ταὐτὸν ἐνόμισαν εἶναι. διαφέρουσι δὲ ἀλλήλων ταῦτα. πρῶτον μὲν γὰρ τὸ ὠχρὸν γίνεται χρῶμα ὑπὸ τῆς ψύξεως, εἶτα τὸ πελιδνὸν, καὶ εἶθ' οὕτως τὸ μέλαν. καὶ τὸ μὲν ὠχρὸν χρῶμα τοῦ προσώπου ὑπὸ τῆς ἀρχῆς τῆς ψύξεως γίνεται· τὸ δὲ χλωρὸν ἔτι ἐπιτεινομένης τῆς ψύξεως· τὸ δὲ πελιδνὸν ἔτι πλεῖον ἐπιτεινομένης· τὸ δὲ μέλαν ἐπὶ μεγίστῃ καὶ ἀκροτάτῃ ψύξει γίνεται, ὅπερ νέκρωσίς ἐστιν. οὕτως οὖν τὴν αἰτίαν ἑκάστου συμπτώματος ἀποδέδωκεν ὁ Γαληνός. πλὴν δεῖ εἰδέναι, οὐ πάντοτε ταῦτα τὰ συμπτώματα θανατώδη εἰσίν. ἐὰν γὰρ ἐπὶ χρονίων νοσημάτων γίνωνται, τῷ μήκει καὶ τῇ ἐκτάσει τοῦ χρόνου ἐκτήκονται καὶ οὐ πάντως θάνατος ἐπακολουθεῖ, ἀλλ' ὑγιαίνουσιν οἱ οὕτως πάσχοντες καὶ 1) ἐξηλοῦσι τοῦ κινδύνου διά τε ἡλικίαν, ἀκμαστικοῦ ὄντος τοῦ νοσοῦντος, καὶ κράσιν θερμὴν καὶ ὥραν θερινὴν καὶ τὰ τοιαῦτα. ἐὰν οὖν συνέλθωσιν, ἐκφεύγει τὸν κίνδυνον· ἀλλ' ἐπὶ τῶν ὀξέων νοσημάτων ταῦτα γινόμενα ὀλέθριά εἰσι, καὶ μάλιστα ἐὰν τῇ ἀρχῇ τῆς νόσου γένωνται, πλὴν εἰ μήτι δι' ἑτέραν αἰτίαν 2) ἐγγίνονται, καὶ τότε οὐκ εἰσὶ θανατώδη. ποία δέ ἐστιν ἡ αἰτία ἐκείνη, ἡ ἐφεξῆς θεωρία δηλώσει.

*Εἰ μὲν οὖν ἐν ἀρχῇ τῆς νόσου τὸ πρόσωπον χλωρὸν ᾖ καὶ μέλαν ἐὸν καὶ μήπω οἷόν τε. —*

Φησὶν ὅτι ἐὰν ἐν ἀρχῇ τοῦ νοσήματος τὸ νεκρῶδες γένηται πρόσωπον, γίνωσκε ὅτι διὰ κακοήθειαν 3) ὀξέος νοσήματος ἐγένετο 4) ἤ τινα προκαταρκτικὴν αἰτίαν. καὶ διὰ μὲν κακοήθειαν νοσήματος οὕτως· ἵνα ὑποστῇ ἡ κακοήθεια τοῦ νοσήματος, τριῶν δεῖται συνδρομῆς, ἵνα ἡ καθεκτικὴ δύναμις τοῦ παντὸς σώματος ἀσθενὴς ᾖ, καὶ ἵνα λεπτοὶ εἰσιν οἱ χυμοὶ καὶ πυρετὸς διακαὴς καὶ ζέων. τί γὰρ ὅτι τῆς καθεκτικῆς δυνάμεως ἀσθενούσης, πολλὴ γίνεται διαφόρησις τῆς ἀδήλου διαπνοῆς ἀναισθήτως,

---

1) Fort. ἐξαλοῦσι pro ἐξαλοῦνται. 2) ἐγγένονται M. 3) ὀξέου Codd. saepius. 4) ἢ διά τινα A. ἅτινα L.

καὶ μάλιστα λεπτῶν ὄντων τῶν χυμῶν, πολλὴ γενήσεται ἡ διαφόρησις. λοιπὸν δὲ καὶ ὅτι συνεργεῖ τῇ διαφορήσει ὁ διακαὴς πυρετός. τούτων οὖν τῶν τριῶν συνερχόντων, ἰσχαίνεται τὸ σῶμα καὶ νεκρῶδες γίνεται τὸ πρόσωπον καὶ ἀναλογεῖ 1) αὐτῷ ἡ διαφόρησις ἡ 2) ἀεννάως γινομένη καὶ ἀνεπαισθήτως ταῖς μεγίσταις κινήσεσι ταῖς διὰ τῶν φυσικῶν ὑπονόμων γινομέναις, ἐκταράξει γαστρὸς ἢ ἐμέτῳ ἢ αἱμοῤῥαγίᾳ. διὰ δὲ χρόνιον νόσημα νεκρῶδες γίνεται πρόσωπον οὕτως· τῷ γὰρ μήκει τῆς νόσου διαφοροῦνται οἱ χυμοὶ καὶ τὰ ὑγρὰ καὶ τὰ πνεύματα. λοιπὸν δὲ καὶ αἱ δυνάμεις κακῶς διατίθενται. καὶ ἐνταῦθα ἀτροφοῦντα τὰ μόρια, ἰσχαίνεται το σῶμα, καὶ νεκρῶδες γίνεται τὸ πρόσωπον. διὰ δὲ προκαταρκτικὴν αἰτίαν οὕτως, ἀλλὰ τοῦτο τριχῶς· 3) ἢ γὰρ δι᾽ ἀγρυπνίαν ἄμετρον ἢ διὰ πολλὴν ἐκτάραξιν τῆς γαστρὸς ἢ διὰ λιμὸν ἐπιτεταμένον. ἕκαστον γὰρ τούτων δύναται νεκρῶδες ποιῆσαι πρόσωπον. ἡ μὲν κένωσις τῆς γαστρὸς ἡ ἐπιτεταμένη δηλονότι ἰσχναίνει τὸ σῶμα καὶ νεκρῶδες ποιεῖ τὸ πρόσωπον. ἀλλὰ καὶ ἡ ἀγρυπνία ἡ ἐπιτεταμένη οἶδε διαφόρησιν ποιεῖν καὶ νεκρῶδες ἀπεργάζεσθαι τὸ πρόσωπον. καὶ ὁ λιμὸς οὖν εἴτε ἑκούσιός ἐστιν εἴτε ἀκούσιος, τῷ λόγῳ τῆς ἐνδείας καὶ τῆς ἀσιτίας δύναται νεκρῶδες ποιῆσαι τὸ πρόσωπον. μνημονεύσας δὲ τρίτην κένωσιν, ποίαν κένωσιν ἀμέτρως γινομένην ἐδήλωσεν εἴτε δι᾽ ἐμέτων εἴτε δι᾽ αἱμοῤῥαγίας εἴτε δι᾽ οὔρων, εἴτε δι᾽ ἱδρώτων; διὰ 4) δὲ τοῦ μνημονεῦσαι ὕπνου πάντα τὰ ψυχικὰ πάθη τὰ δυνάμενα συγκοπὰς καὶ λιποθυμίας ποιῆσαι ἐδήλωσεν, ὥσπερ φροντὶς καὶ θυμὸς καὶ τὰ τοιαῦτα. τί οὖν φησιν ὁ Ἱπποκράτης; ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νόσου τὸ πρόσωπον χλωρὸν ἢ μέλαν ἐόν. — 5) Ἰστέον ὅτι ἡ ἀρχὴ τριχῶς διαιρεῖται· ἢ γὰρ ἄχρονος ἢ ἀκαρής ἐστιν, ἥτις ἐν αὐτῷ τῷ ἄρχεσθαι 6) ἀλλοιοῦσθαι ἐπὶ τὸ παρὰ φύσιν τὸν ἄνθρωπον περιγράφεται, ἥτις ἀχρόνως γίνεται. ἔστιν ἀρχὴ καὶ ἡ ἐν πλάτει θεωρουμένη. αὕτη δὲ διχῶς

---

1) αὐτὴ L. 2) ἀννάως L. 3) ἡ L. 4) καὶ L. 5) ποσαχῶς ἡ ἀρχή L. in mg. Argumentum. 6) ἀλλοιοῦσαι L. Fort. ἀλλοιοῦσα sive ἀλλοιοῦται καὶ.

διαιρεῖται· ἢ γὰρ τεχνική ἐστιν ἢ ἁπλῶς πλατική. καὶ ἄτεχνος, ἥτις ἐν τρισὶν 1) ἡμέραις θεωρεῖται. ἔγνωσται γὰρ καὶ αὕτη τοῖς ἰατροῖς, καὶ εἰώθασιν ἀρχὴν τὰς τρεῖς ἡμέρας καλεῖν ἐπὶ παντὸς νοσήματος. ἡ δὲ τεχνική ἐστιν ἥτις ἀντιδιαστέλλεται τοῖς λοιποῖς καιροῖς, ἀναβάσει λέγω καὶ ἀκμῇ καὶ παρακμῇ, τοσαυταχῶς τῆς ἀρχῆς λαμβανομένης. ὁ Ἱπποκράτης ἐνταῦθα περὶ τοῦ δευτέρου σημαινομένου λέγει, λέγω δὴ τῆς πλατικῆς ἀρχῆς, ἤτοι τῆς ἀτέχνου τῆς ἐν τρισὶν ἡμέραις θεωρουμένης, ὡς δηλοῖ τὸ ἐπαγόμενον· ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος ἢ τριταίου, ὡς ἂν ὅτι τῆς ἀρχῆς ἐν τρισὶν ἡμέραις θεωρουμένης, ἐὰν νεκρῶδες γένηται τὸ πρόσωπον· εἶτα καὶ ἀρχῆς μνημονεύσας ἐξέβαλε τὸ ἓν σημαινόμενον τοῦ νεκρώδους προσώπου, λέγω δὴ τοῦ ἐπὶ χρονίῳ νοσήματι γινομένου. διὰ δὲ τοῦ εἰπεῖν ἐπανέρεσθαι, μὴ ἠγρύπνησεν ὁ ἄῤῥωστος 2) ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα ἢ λιμῶδές τι εἶχεν αὐτὸν, ἐδήλωσε τὰ προκαταρκτικὰ αἴτια τὰ ποιοῦντα τὸ πρόσωπον νεκρῶδες. φησὶ γὰρ ὅτι ἐπειδὴ οὐκ ἐπὶ πάντων φαντὰ καὶ γνώριμα καὶ ὁμολογούμενά εἰσιν ἡμῖν τὰ σημεῖα, δεῖ τῇ ἀνακρίσει χρήσασθαι καὶ ἐρωτῆσαι τὸν ἄῤῥωστον, μὴ ἐκτάραξις γαστρὸς ἄμετρος γέγονέν σοι, ἢ ἠγρύπνησας ἐπιτεταμένως ἢ ἠσίτησας. καὶ εἰ μὲν φαίη τι τούτων, ἰδοὺ γινώσκεις ὅτι ἐπὶ προκαταρκτικῇ αἰτίᾳ γέγονε νεκρῶδες τὸ πρόσωπον. καὶ ἔστι μὲν κακὸν, πλὴν ἧττον κακόν ἐστιν ὡς πρὸς κακοήθειαν νοσήματος. εἰ δὲ μηδὲν τούτων συνθῆταί σοι γεγονέναι, γίνωσκε ὅτι ἐπὶ κακοηθείᾳ ὀξέος νοσήματος γέγονε νεκρῶδες τὸ πρόσωπον, 3) ὅπερ ὀλέθριόν ἐστι καὶ κινδυνῶδες· πλὴν καὶ τοῦτο δεῖ σε γινώσκειν, ὅτι πολλάκις ἡ ἀγρυπνία καὶ ἡ ἐκτάραξις τῆς γαστρὸς οὐχ ὡς προκαταρκτικὰ αἴτια ὑπάρχοντα νεκρῶδες ποιοῦσι τὸ πρόσωπον, ἀλλ᾽ ἔστιν ὅτε καὶ διὰ κακοήθειαν ὀξέος νοσήματος ἀμφότερα γίνεσθαι καὶ τὴν ἀγρυπνίαν καὶ τὴν ἐκτάραξιν τῆς γαστρὸς καὶ τὸ νεκρῶδες πρόσωπον. καὶ πόθεν τοῦτο ὀφείλομεν γνῶναι εἴτε ἡ κακοήθεια τοῦ νοσήματος ταῦτα

---

1) ἡμέραισιν L. M. ἡμέρησιν A. 2) εἶτα M. 3) In Cod. L. lacuna foliorum aliquot sequitur. E cod. A. edo, quae deinceps sunt.

ἐποίησε, εἴτε ὡς προκαταρκτικὰ ὄντα ἐποίησαν νεκρῶδες τὸ πρόσωπον, τυχὸν ἡ ἀγρυπνία καὶ ἡ ἐκτάραξις τῆς γαστρός; ἔσο γινώσκων ὅτι τοῦτο διαγινώσκεις, εἰς τὸ 1) ἡμερονύκτιον σοῦ προσφόρως καὶ ἁρμοδίως διαιτῶντος. εἰ μὲν γαστρόῤῥοιά ἐστιν, χρῆσαι τῇ σταλτικῇ τροφῇ, τυχὸν 2) ψυχία ἀφράτα καὶ εἰς ὑδρορροσάτον. εἰ δὲ ἀγρυπνία ἐστὶ, δεῖ σε ὑγροτέρᾳ τροφῇ χρήσασθαι τυχὸν χυλῷ πτισάνης ἢ λαχάνων καὶ τοῖς τοιούτοις. εἰ δὲ ἀσιτία ἐστί καὶ ἔνδεια, καὶ ἐνταῦθα ταῖς δυναμέναις ἀνακαλέσασθαι καὶ τονῶσαι τροφαῖς χρήσασθαι· καὶ ἂν ταῦτα σου ποιήσαντος καταστῇ ἡμερονύκτιον, γίνωσκε ὅτι ἐπὶ προκαταρκτικῇ αἰτίᾳ γέγονε νεκρῶδες τὸ πρόσωπον. εἰ δὲ μείνῃ ὡσαύτως ἔχον, ἥ τε ἀγρυπνία καὶ ἡ γοστρόῤῥοια, τότε γίνωσκε ὅτι 3) διὰ κακοήθειαν νοσήματος πάντα γεγόνασι, καὶ ἡ ἀγρυπνία καὶ ἡ γαστρόῤῥοια καὶ τὸ νεκρῶδες πρόσωπον· πλὴν ἐπειδὴ οὐκ ἐπὶ πάντων τῶν παθῶν ἡ αὐτὴ ἀκολουθία ἐστὶ, δεῖ σε καὶ εἰς τὰ σύστοιχα ἀποβλέπειν, ἐὰν ἀκμαστική ἐστιν ἡ ἡλικία καὶ θερινὴ ὥρα, καὶ ἡ κρᾶσις καὶ τὸ χωρίον θερμὸν, καὶ ἐὰν ἐνδεής ἐστι περὶ τὴν τροφὴν καὶ βίον ἄγρυπνον καὶ ἐπίπονον καὶ φροντιστικὸν καὶ φιλοταλαίπωρον 4) ζῇ, γίνωσκε ἐπὶ κακοηθείᾳ τοῦ νοσήματος νεκρῶδες τὸ πρόσωπον γέγονε καὶ κινδυνῶδές ἐστι καὶ ταῦτα μὲν ἐντὸς τῶν τριῶν ἡμερῶν. εἰ δέ γε ὑπερπέσῃ τὴν τρίτην ἡμέραν ὡς δηλοῖ τὸ εἰπεῖν αὐτὸν, ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος ἢ τριταίου, τουτέστιν ἐπὶ πλέον τῶν τριῶν ἡμερῶν, ἐάν τε γένηται νεκρῶδες τὸ πρόσωπον, πρὸς τούτοις πᾶσι τοῖς εἰρημένοις τὰ ἒξ ἐκεῖνα ὀλέθρια συμπτώματα, καὶ ἀνιχνεύοντός σου καὶ τὰ προκαταρκτικὰ αἴτια. χρὴ δὲ πρὸς τούτοις ἐπιβλέπειν καὶ ἕτερα πλεῖστα σημεῖα ἐν ὀφθαλμοῖς θεωρούμενα, καὶ οἷον ἐπιβεβαιοῖ τὴν σημείωσιν τοῦ ὀλέθριον εἶναι τὸ νόσημα ἀπὸ ἐννέα τινῶν ἐν τοῖς ὀφθαλμοῖς συνισταμένων, καὶ λέγει, ὅτι οἱ τοιοῦτοι αὐγὴν ἀποφεύγουσιν, οἱ τοιοῦτοι ἀπροαιρέτως δακρύουσι, ἐπὶ τῶν τοιούτων ὁ

1) ἡμερον νύκτιον Codd. 2) Vide ἀφρατόδιστον in Append. Du Cang. Potus frigidi genus esse videtur, ptisana. Fort. ψυχρᾷ τρυφῇ Codd. 3) δικακοήθεια A. 4) ζῆν Codd.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 107 sur 382

ἕτερος τοῦ ἑτέρου ὀφθαλμοῦ ἐλάσσων γίνεται, τὰ φλέβια τὰ ἐπὶ τῶν ἐπιπεφυκότων τῶν ὀφθαλμῶν ἐρυθρὰ γίνονται ἢ πελιὰ ἢ μέλανα, ἢ λήμας ἔχουσι περὶ τὰς ὄψεις. ἐπὶ τούτων ἐξίστανται οἱ ὀφθαλμοὶ καὶ 1) ἀτηώρηνται καὶ προπετεῖς αὐτοὺς ἴσχουσιν ἢ κοίλους. ἐπὶ τούτων ἀστήρικτοί εἰσιν οἱ ὀφθαλμοὶ, ἢ τὸ σύμπαν χρῶμα τοῦ σύμπαντος προσώπου, καὶ αὐτῶν τῶν ὀφθαλμῶν 2) ἠλλοιωμένον ἔχουσιν. ἐὰν οὖν πρὸς τοῖς εἰρημένοις καὶ ταῦτα συνέλθωσιν, ὀλέθριόν ἐστι καὶ δεῖ προλέγειν τὸν θάνατον.

### Κείμενον.

Ἦν μὲν οὖν ἐν ἀρχῇ τῆς νόσου τὸ πρόσωπον χλωρὸν ᾖ καὶ μέλαν ἐὸν τοιοῦτον, ἢ καὶ μήπω οἷόν τε, ἢ τοῖσιν ἄλλοις σημείοισι ξυντεκμαίρεσθαι, ἐπανέρεσθαι μὴ ἠγρύπνηκεν ὁ ἄνθρωπος. —

Φησὶν ἐνταῦθα ὁ Ἱπποκράτης, ὅτι ἐὰν ἐν τῇ ἀρχῇ τοῦ νοσήματος τουτέστιν ἐν τῇ πρώτῃ ἡμέρᾳ ἢ τῇ δευτέρᾳ νεκρῶδες γένηται τὸ πρόσωπον μήπω ἔχον ἐγνωσμένα τὰ συμπτώματα· ἐγνωσμένα δὲ συμπτώματα ἀκουστέον τὴν αἰτίαν ὑφ᾽ ἧς γέγονε τὸ νεκρῶδες πρόσωπον· ἐπερωτᾷν δεῖ τὸν ἄῤῥωστον, μὴ ἠγρύπνησεν, ἢ ἐκτάραξις τῆς γαστρὸς γέγονεν αὐτῷ μεγίστη, ἢ ἐλιμαγχονήθη ἤγουν ἐν ἀσιτίᾳ διέμεινεν· πλὴν οὐ μόνον ἐπὶ τούτοις τοῖς σημείοις γίνεται νεκρῶδες πρόσωπον, ἀλλὰ καὶ ἐπὶ ἀκροτάτῃ ψύξει, δι᾽ ὥραν χειμερινὴν ἢ διὰ κατάστημα ψυχρότατον, ἢ καὶ δι᾽ ἔσχατον γῆρας. ἀλλ᾽ οὐκ εἰσὶν οὕτως κινδυνώδη. καὶ ταῦτα μὲν ὁ Ἱπποκράτης· ὁ δὲ Γαληνὸς μείζονι τέχνῃ νῦν ἑαυτὸν ἐπιτρέψας λέγει, ὅτι δυνατόν ἐστιν ἡμᾶς προγνῶναι πᾶσαν αἰτίαν, νεκρῶδες ἐργασαμένην τὸ πρόσωπον, μηδεμιᾶς ἐρωτήσεως 3) δεηθέντας. τί γὰρ ὅτι δεῖ σε ἀναδραμεῖν καὶ ἀποβλέψαι εἰς τὰ σύστοιχα ἐὰν ἡ ὥρα θερινή ἐστιν, καὶ τὸ κατάστημα θερμὸν καὶ ξηρὸν, καὶ ἡ κρᾶσις τοῦ κάμνοντος θερμὴ καὶ ἡλικία ἀκμαστικὴ, ἡ δίαιτα ἐνδεὴς, βίον διάγων φροντιστικὸν καὶ ἐπίπονον,

---

1) ἀπεώρονται M. 2) ἠλλοιωμένων Codd. 3) δεηθέντος Codd.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 108 sur 382

καὶ οἱ σφυγμοὶ ἠτονημένοι καὶ βραδεῖς καὶ μικροὶ καὶ ἀμυδροὶ, καὶ ἁπτομένου σου τῇ ἁφῇ, καυσώδης καὶ διακαὴς ὑποπίπτει ἡ θερμασία, καὶ εἰ ἐπὶ τούτῳ ἐν τῇ πρώτῃ ἢ ἐν τῇ δευτέρᾳ ἡμέρᾳ νεκρῶδες γέγονε τὸ πρόσωπον, γίνωσκε ὅτι διὰ κακοήθειαν νοσήματος γέγονεν. ἐὰν δὲ ἐπὶ γαστροῤῥοίᾳ γέγονε νεκρῶδες τὸ πρόσωπον, ἔχεις ἀσφαλέστατον σημεῖον τῶν ὀφθαλμῶν. ἐπὶ γὰρ τῆς γαστροῤῥοίας ἔγκοιλοι γίνονται οἱ ὀφθαλμοὶ αὐτῶν καὶ ἐξηρασμένους αὐτοὺς ἔχουσιν, ὡς μὴ δύνασθαι τὰ βλέφαρα ἀνατείνειν· ἐπὶ δὲ τῆς ἀγρυπνίας, ἀσφαλέστατον σημεῖον εὑρήσεις ἐπὶ τῶν σφυγμῶν, τὸ δίκην χορδῆς τεταμένην εὑρίσκεσθαι τὴν ἀρτηρίαν· τοὺς δὲ διὰ κακοήθειαν νοσήματος, ἀπὸ τῆς ἁφῆς σημειώσεις. ἐπιβαλὼν γὰρ τὴν ἁφὴν μόνον κατὰ τὸν καρπὸν, ἀλλὰ καὶ 1) παράνω τυχὸν κατὰ τὸν βραχίονα, εὑρήσεις καυσωδεστάτην καὶ ζέουσαν τὴν ἀναφερομένην θερμασίαν καὶ δριμεῖαν καὶ καπνώδεις ἀναθυμιάσεις ἀνίεσθαι πρὸς τὴν ἁφὴν, καὶ γινώσκεις, ὅτι ὀξύς ἐστιν ὁ πυρετὸς καὶ διαφορητικώτατος, ὁ τὸ νεκρῶδες ποιήσας πρόσωπον. —

Καὶ ἢν μέν τι τουτέων ὁμολογέῃ, ἧσσον νόμιζε δεινὸν εἶναι. —

Φησὶν ὅτι τὸ νεκρῶδες πρόσωπον ἐὰν διά τινα προκαταρκτικὴν γένηται αἰτίαν, τυχὸν εἴτε διὰ γαστρόῤῥοιαν εἴτε· διὰ λιμὸν εἴτε δι' ἀγρυπνίαν, κακὸν μέν ἐστιν, ἀλλ' ἧττον ὡς τὸ διὰ κακοήθειαν γινόμενον.

Ἢν γὰρ τὴν αὐγὴν φεύγωσιν. —

Ἰστέον ὅτι τὰ τρία ταῦτα ἀντιπαράκεινται ἀλλήλοις, φῶς, ἀκτὶς καὶ αὐγή. καὶ τὸ φῶς συνουσιοῦται τῷ ἡλίῳ, ἡ δὲ ἀκτίς ἐστιν ἡ ἐκ τοῦ φωτὸς πεμπομένη, αὐγὴ δὲ ἐστιν ἡ ἐκ τῆς ἀκτῖνος πεμπομένη, περὶ ἧς καὶ ἔστι νῦν ὁ λόγος. ἐν γὰρ τῇ αὐγῇ ἀείσε ἐσμὲν, καὶ ἄνευ αὐτῆς εἶναι οὐ δυνάμεθα. πῶς οὖν οὐ κακὸν τοῦτο ἐπὶ ὀξεῖ νοσήματι; δηλοῖ γὰρ ἄκραν καταβολὴν τῶν ὀπτικῶν δυνάμεων. πλὴν φεύγουσι πολλοὶ τὴν αὐγὴν καὶ δι' ἄλλην αἰτίαν, ὥσπερ οἱ ὀφθαλμιῶντες καὶ οἱ 2) τζιμβλοί. ταῦτα δὲ οὐκ εἰσὶν ἐνδεικτικὰ κινδύνων.

1) Fort. ὑπεράνω. 2) τεζηβοὶ M. τεζημοι A. Conjeci τζιμβλοὶ, lippi.

Ἢν δακρύωσιν ἀπροαιρέτως. —

Ἐὰν ἐν τοῖς ὀξέσι νοσήμασιν ἀπροαιρέτως δακρύωσιν οἱ νοσοῦντες, γίνωσκε ὅτι δι᾽ ἄκραν ἀσθένειαν τῆς καθεκτικῆς δυνάμεως ἀπροαιρέτως δακρύουσιν, ὅπερ κακόν ἐστι σημεῖον, ἐπειδὴ αὐτὸ τὸ λόγῳ 1) τροφῆς φερόμενον ἐν τοῖς ὀφθαλμοῖς οὐ κατέχεται, ἀλλ᾽ ὥσπερ ἀπὸ 2) ἀψύχου ἀποῤῥεῖ καὶ κενοῦται.

Ἢ διαστρέφονται. —

Ἢ γὰρ διὰ παράλυσιν τῶν ἐν τοῖς 3) ὀφθαλμοῖς μυῶν παραλυομένων, ἢ διὰ σπασμόν· εἰ μὲν διὰ παράλυσιν, εἰς τὸ ἐναντίον διαστρέφονται τὰ παραλυόμενα μόρια· εἰ δὲ διὰ σπασμὸν, ἐφ᾽ ἑαυτὸ σπᾶται καὶ διαστρέφεται, καθ᾽ ἣν οἱ στραβισμοὶ γίνονται. καὶ τοῦτο διαγινώσκεις ἐκ τῆς ὀδύνης καὶ τῆς ἀτροφίας. ἐπὶ γὰρ τοῦ σπασμοῦ ὀδυνῶνται, ἀλλὰ καὶ ἀτροφία ἕπεται. ταῦτα δὲ τὰ πάθη, ὁ σπασμὸς λέγω καὶ ἡ παράλυσις, ἢ δι᾽ αὐτοῦ τοῦ ὀφθαλμοῦ γίνονται ἢ διὰ τὸν ἐγκέφαλον. καὶ εἰ μὲν διὰ τὸν ἐγκέφαλον διαστραφῶσιν οἱ ὀφθαλμοὶ, εἴτε παραλυομένων αὐτῶν εἴτε σπωμένων, ὀδυνῶνται τὸ μέτωπον, τὸ νωτιαῖον, τοὺς ὀφθαλμοὺς καὶ τοὺς κροτάφους, καὶ μάλιστα πρότερον ἐκεῖνα ἅπερ καὶ προσεγγίζουσι τῷ ἐγκεφάλῳ μόρια. καὶ κακόν ἐστιν, ἡνίκα μὴ διὰ τοὺς ὀφθαλμοὺς ἡ διαστροφὴ γένηται, ἀλλὰ διὰ τὸν ἐγκέφαλον. δηλοῖ γὰρ καὶ αὐτὴν τὴν πρώτην ἀρχὴν κακῶς διάκεισθαι, ὅπερ κάκιστόν ἐστι σημεῖον ἐπὶ ὀξέος νοσήματος.

Ἢ ὁ ἕτερος τοῦ ἑτέρου ἐλάσσων γίνεται. —

Διὰ τί ὁ ἕτερος ὀφθαλμὸς τοῦ ἑτέρου ἐλάσσων γίνεται; ἐπὶ ἐνδείᾳ καὶ ἐπὶ ἀτροφίᾳ καὶ ἐπὶ ἄκρᾳ ξηρότητι καὶ ἐπὶ καταβολῇ τῶν ἐν αὐτῷ φυσικῶν δυνάμεων, ὅπερ καὶ τοῦτο ἐπὶ ὀξεῖ νοσήματι κάκιστόν ἐστι σημεῖον.

Ἢ τὰ λευκὰ ἐρυθρὰ ἴσχουσιν. —

Ὅτι τὰ φλέβια τὰ ἐν τῷ ἐπιπεφυκότι, λευκὸν γὰρ αὐτὸν τὸν ἐπιπεφυκότα καλεῖ, νῦν ἐρυθρὰ ἴσχουσι, δια

---

1) Oculi non nutriuntur lacrymis, sed sunt excrementa. Mercurialis in mg. codicis. 2) ἀψύχρου M. ἀποψύχου A. 3) ὀφθαλμοῖς om. M.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 110 sur 382

πλείονας αἰτίας τοῦτο γίνεται· ἢ γὰρ δι' ὀφθαλμίαν ὥσπερ ἐπὶ τῶν χυμωμάτων, ἢ διὰ μέθην τὰ λευκὰ ἐρυθραίνονται, ἢ διὰ ἔμετον, ἢ διὰ πληθώραν αἱματικὴν ἢ διὰ φλεγμονὴν τῶν μηνίγγων. καὶ διὰ μὲν πληθώραν ἐρυθρὰ γίνονται τὰ φλέβια τοῦ ἐπιπεφυκότος τρόπῳ τοιούτῳ· τῷ πλήθει ἀπελαύνεται ἐπὶ τοὺς ὀφθαλμοὺς τὸ αἷμα, καὶ τείνει τὰ φλέβια τὰ ἐν τῷ ἐπιπεφυκότι, ἐπειδὴ στενὰ καὶ λεπτά εἰσι. μὴ φέροντα οὖν τὴν τάσιν ῥήγνυνται, καὶ ἐκχεῖται τὸ αἷμα καὶ ἐρυθρὰ γίνονται. ἐὰν οὖν ὀξέος νοσήματος ὑποκειμένου καὶ καυσώδους πυρετοῦ 1) ἔτι καὶ 2) ἢ φλεγμονὴ ἐν ταῖς μήνιγξιν ἢ πληθώρα ὑπόκειται, παγκάκιστόν ἐστι καὶ τοῦτο σημεῖον.

Ἢ πέλια ἢ μέλανα. —

Ταῦτα τὰ χρώματα τὸ πέλιον καὶ τὸ μέλαν ἐπὶ ἄκρᾳ καταψύξει γίνονται· ἐὰν οὖν πέλια γένωνται ἢ μέλανα τὰ ἐν τοῖς ὀφθαλμοῖς λευκὰ τουτέστιν ὁ ἐπιπεφυκώς, παγχάλεπόν ἐστι σημεῖον ἐπὶ ὀξέος νοσήματος.

Ἢ λῆμαι φαίνονται περὶ τὰς ὄψεις. —

Λῆμαι γίνονται ἐπὶ τοὺς ὀφθαλμοὺς ἢ διά τι πάθος περὶ αὐτοὺς συνιστάμενον, ὥσπερ ἐπὶ τῶν ὀφθαλμιώντων, ἢ ὑγρότητός τινος φερομένης καὶ ποιούσης λήμας. δεῖ γὰρ εἰδέναι ὅτι ἡ λήμη γίνεται ἐν τοῖς ὀφθαλμοῖς ἐπὶ ἀπεψίᾳ τῷ λόγῳ τροφῆς ἐν τοῖς ὀφθαλμοῖς 3) φερόμενον· ἐὰν οὖν ὀξέος ὑποκειμένου νοσήματος καὶ διακαοῦς πυρετοῦ καὶ ἀτροφίας καὶ ξηρότητος, λῆμαι γίνωνται παρὰ τοὺς ὀφθαλμούς, παγκάκιστόν ἐστι καὶ τοῦτο σημεῖον· δηλοῖ γὰρ ὅτι καὶ αὐτὸ τὸ ἐλάχιστον ὑγρὸν τῷ λόγῳ τροφῆς φερόμενον ἐκεῖσε, οὐκ ἰσχύει ἡ ἀλλοιωτικὴ δύναμις πέψαι καὶ ἀλλοιῶσαι, ἀλλ' ἀπεπτούμενα τὰς λήμας ποιεῖ.

Ἢ ἐναιωρούμενοι. —

Ἐναιωρούμενοί εἰσιν οἱ ὀφθαλμοὶ οἱ ἀστήρικτοι οἱ τῇδε κἀκεῖσε περιφερόμενοι ἀτάκτως καὶ ἀῤῥύθμως, ἐν τῷ μὴ ἑδράζεσθαι μηδὲ στηρίζεσθαι ὑπὸ τῶν μυῶν. ἀστήρικτοι δὲ καὶ ἐναιωρούμενοι γίνονται οἱ ὀφθαλμοὶ ἢ διὰ τρομώδη διάθεσιν ἐν αὐτοῖς τοῖς μυσὶ τῶν ὀφθαλμῶν συνισ-

---

1) ἔστι Codd. 2) ἡ Codd. 3) Fort. φερομένη.

ταμένην, ἢ διὰ παραφροσύνην. ὀξέος οὖν ὑποκειμένου νοσήματος καὶ διακαοῦς πυρετοῦ εἴτε διὰ τρόμον γένωνται οἱ ὀφθαλμοὶ ἀστήρικτοι, εἴτε διὰ παραφροσύνην, παγχάλεπόν ἐστι καὶ τοῦτο σημεῖον. —

Ἢ ἐξίσχοντες ἢ ἔγκοιλοι ἰσχυρῶς γινόμενοι. —

Καὶ ἔγκοιλοι μὲν γίγνονται οἱ ὀφθαλμοὶ δι' ἔνδειαν καὶ ἀτροφίαν καὶ ἄγαν ξηρότητα, ἐξίσχοντες δὲ τῷ λόγῳ τῆς ἀκρατείας τῶν μυῶν. διὰ τοῦτο προκύπτουσι καὶ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου ἠλλοιωμένον γίνεται τῷ λόγῳ τῆς νεκρώσεως, 1) τοῦ κακῶς διάκεισθαι τὸν ζωτικὸν τόνον.

Σκοπεῖν δὲ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν. ἢν γάρ τι ὑποφαίνηται, ξυμβαλλομένων τῶν βλεφάρων, τοῦ λευκοῦ. —

Τὸ λεγόμενον τοιοῦτόν ἐστιν, ὅτι ἐὰν ἐν τοῖς ὕπνοις μὴ συμβάλλωνται, μηδὲ ἀσφαλίζωνται τὰ βλέφαρα, ἀλλ' ὑποφαίνηταί τι μέρος τοῦ ἐπιπεφυκότος, λευκὸν γὰρ τὸν ἐπιπεφυ::ότα ἐκάλεσε, κάκιστόν ἐστι καὶ τοῦτο σημεῖον ἐν ὀξεῖ νοσήματι γινόμενον· δηλοῖ γὰρ ἢ σπασμὸν ἢ παράλυσιν τῶν ἀνοιγόντων καὶ κλειόντων τὰ βλέφαρα. ἑκάτερον δὲ κάκιστόν ἐστιν. ἡ μὲν γὰρ παράλυσις ἀσθένειαν καὶ ἀκράτειαν δηλοῖ τῶν ψυχικῶν δυνάμεων, ὁ δὲ σπασμὸς ἄκραν 2) ξηρότητα, ὅστις καὶ ἀνιατός ἐστιν ἐν ὀξεῖ νοσήματι. καὶ ἐπὶ τῶν ἐν τοῖς βλεφάροις μυῶν ἐμνημονεύσαμεν· φέρε 3) εἴπωμεν καὶ περὶ αὐτῶν. ἰστέον ὅτι τρεῖς εἰσι μύες οἱ ἀνοίγοντες καὶ κλείοντες τὰ ἄνω βλέφαρα· τὰ γὰρ κάτω ἀκίνητά εἰσι. καὶ εἷς μὲν ἔστιν ὁ ἀνοίγων 4) μῦς, δύο δὲ οἱ ἀσφαλίζοντες τὸ βλέφαρον. καὶ ὁ μὲν ἀνοίγων μῦς κατὰ τοῦ μεσαιτάτου βλεφάρου τέτακται πανσόφως ὑπὸ τῆς φύσεως τοῦτο μηχανευσάμενος. τὰ γὰρ βαρέα τῶν σωμάτων κατὰ τοῦ μεσαιτάτου ἑλκόμενα, ἥκει ἑτοίμως καὶ ἀνέλκεται. οὕτως οὖν καὶ ὁ ἀνοίγων μῦς κατὰ τοῦ μέσου βλεφάρου τέτακται, ἵνα πρὸς ἑαυτὸν 5) ἐπισπώμενος ἀνοίγῃ καὶ ἕλκῃ αὐτὸ, οἱ δὲ

---

1) Fort. διά. 2) ξηρότητος Codd. f. ἄκρον. 3) εἴπομεν Codd. 4) μῦς om. L. M. 5) ἐσπόμενος M.

ἀσφαλίζοντες δύο μύες καθ' ἑκάτερον μέρος τῶν βλεφάρων
εἰσὶ τεταγμένοι, εἷς μὲν πρὸς τὸν μέγαν κανθὸν, καὶ ὁ
εἷς πρὸς τὸν μικρόν. οὗτοι οὖν οἱ μύες. καὶ οὗτοι ὡς
πρὸς ἑαυτοὺς καὶ ἐπὶ τὰ ἔσω ἕλκοντες τὰ βλέφαρα, κλεί-
ουσιν αὐτά. συμβαίνει οὖν τοτηνικαῦτα ὁ μὲν σπασμὸς ἐν
τῷ ἄνω μυὶ, λέγω δὴ τὸν ἀνοίγοντα, συνίστασθαι· ἡ δὲ
παράλυσις ἐν τοῖς κλείουσι. σπωμένου οὖν τοῦ ἄνω μυὸς
τοῦ ἀνοίγοντος, ὡς πρὸς ἑαυτὸν ἐφέλκεται τὸ ἄνω βλέ-
φαρον, καὶ ἐπιφαίνεται μέρος τοῦ ἐπιπεφυκότος· ὁ γὰρ
σπασμὸς πρὸς τὴν οἰκείαν ἀρχὴν ἕλκει τὸ μόριον· ἀλλὰ
καὶ ἐπὶ τῶν ἀσφαλιζόντων τοῦτο γίνεται τὸ ὑποφαίνε-
σθαί τι μέρος τοῦ ἐπιπεφυκότος, ἀλλὰ τούτων οὐ σπω-
μένων, ἀλλὰ παραλυομένων. ἡ γὰρ παράλυσις ἐπὶ τὸ
ἐναντίον τοῦ κατὰ φύσιν ποιεῖται τὴν κίνησιν. παραλυο-
μένων οὖν τῶν κλειόντων μυῶν, οὐ συμβάλλονται τὰ βλέ-
φαρα, ἀλλ' ἀνεωγότας αὐτοὺς ἔχουσι. καὶ πάλιν φαίνεται
ὁ ἐπιπεφυκὼς, ὡς δοκεῖν κλεῖς ἀνοικτοὺς εἶναι τοὺς
ὀφθαλμούς. καὶ ταῦτα μὲν ἐπὶ ἀνθρώπων. ἐπὶ δέ τινων
ζώων οὐκ εἰσὶν οἱ ἀσφαλίζοντες μύες τὰ βλέφαρα, ἀλλὰ
μόνον τοὺς ἀνοίγοντας ἔχουσιν, ὅθεν ἐν τῷ ὑπνοῦν τὰ
τοιαῦτα τῶν ζώων ἐπὶ τὴν θαλάμην ἀντιστρέφειν 1) τοὺς
βολβοὺς, καὶ αὐτὴν τὴν κόρην ἐντὸς εἶναι τῆς θαλάμης,
ἵνα μὴ λυμαίνωνται ὑπὸ τῶν προσπιπτόντων. οὕτως ἐπὶ
δορκάδων καὶ λαγωῶν καὶ ἐπί τινων ἰχθύων ἐστίν. εἶτα
καὶ διὰ τοῦτο· εἷς μὲν ἔστι μῦς ὁ ἀνοίγων, ἐπειδὴ ὀλίγου
καιροῦ 2) δέεται ἀναβαστάζειν τὸ βλέφαρον, καὶ παραυτίκα
διαδέχονται αὐτὸν οἱ κλείοντες. δύο κλείοντες δὲ μύες
γεγόνασιν· οἱ κλείοντες διὰ δύο αἰτίας, διά τε τὸ ταχέως
ἀσφαλίζεσθαι τὰ βλέφαρα, 3) κλείουσιν αὐτά. συμβαίνει
οὖν τοτηνικαῦτα ὁ μὲν σπασμὸς ἐν τῷ ἄνω μυὶ, λέγω δὴ
τὸν ἀνοίγοντα, συνίστασθαι, ἡ δὲ παράλυσις ἐν τοῖς κλεί-
ουσι. σπωμένου οὖν τοῦ ἄνω μυὸς τοῦ ἀνοίγοντος, ὡς
πρὸς ἑαυτὸν ἐφέλκεται τὸ ἄνω βλέφαρον, καὶ ἐπιφαίνεται
μέρος τοῦ ἐπιπεφυκότος. ὁ γὰρ σπασμὸς, ἐπειδὴ ὁ ὀφθαλ-

1) Exciderit εἰώθασι sive εἰκός. 2) Ionicas aliquot formas Stephano oscitanti obtrusit Hippocrates. 3) κλείουσιν — ὁ γὰρ σπασμὸς om. A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 113 sur 382

μὸς εὐπαθής ἐστιν, εὐπαθὴς καθέστηκεν, ἵνα ἑτοίμως ἀντιλαμβάνωνται τά τε χρώματα καὶ τῶν μικρῶν καὶ τῶν μεγάλων σωμάτων. ἐν γὰρ τῷ πάσχειν ἀναλαμβάνονται οἱ ὀφθαλμοί. διὰ οὖν τὴν εὐπάθειαν ἐδεήθη ἡ φύσις τὸ τάχος ἀσφαλιζόντων δύο μυῶν τοὺς πλείονας εἶναι, ἵνα τάχιστα ποιῶνται τὴν μύσιν καὶ ἐκφύγωσι τὴν βλάβην ἀπὸ τῶν 1) προσπιπτόντων, κάρφους λέγω καὶ κονιορτοῦ, ἢ σμηγμάτων τινῶν ἢ ζωυφίων καὶ τῶν τοιούτων, καὶ διὰ τὸ μόνιμον. κατά τινα γὰρ καιρὸν καὶ μονῆς δεῖται πρὸς τὸ εἶναι ἠσφαλισμένα τὰ βλέφαρα, καὶ ἀναγκαίως τοῦτο κατεσκευάσθη, ὥσπερ ἐν τοῖς ὕπνοις πᾶσα ἀναχωρὴ καὶ ἀνάπαυλα τῆς τε φύσεως καὶ τῶν ψυχικῶν δυνάμεων γίνεται, διὰ τὸ ἐν τῷ ἐγρηγορέναι κάμνειν αὐτὰ καὶ κοπιᾷν. καὶ ταῦτα μὲν οὕτως. εἶτα καὶ ἀποροῦσί τινες, ὅτι διὰ τί 2) μὴ ἐν τῷ ἐγρηγορέναι ἐμνημόνευσε τοῦ τοιούτου σημείου, ἀλλ' ἐν τῷ καθεύδειν; καὶ λέγομεν ὅτι ἐν τῷ ἐγρηγορέναι οὐ διαφαίνεται τοῦτο τὸ σημεῖον, διὰ τὸ πλεῖστον φέρεσθαι εἰς τοὺς ὀφθαλμοὺς τὸ ὀπτικὸν πνεῦμα. εἰ δὲ καὶ ἴδωμεν ὅτι ὑποφαίνεται, ὑπόγυον δηλοῖ τὸν θάνατον, ὅπερ καὶ οἱ ἰδιῶται διαγινώσκουσι τοῦτο. καὶ ἡμᾶς οὖν ὁ Ἱπποκράτης οὐ περὶ ὄντος καὶ ἤδη ἐνισταμένου θανάτου βούλεται διδάξαι, ἀλλὰ περὶ μέλλοντος, ἵνα προγινώσκοντες πρὸ πολλοῦ χρόνου ἀνεγκλήτους καὶ ἑαυτοὺς καὶ τὴν τέχνην φυλάξωμεν. εἶτα καὶ προσδιορισμοῖς κέχρηται καὶ λέγει, ὅτι ἐὰν μὴ ἐκ διαῤῥοίας τινὸς ὑποφαίνηται ὁ ἐπιπεφυκὼς, ἢ καὶ εἴθιστο οὕτως καθεύδειν· ἐὰν γὰρ διά τι τούτων ὑποφαίνηται ὁ ἐπιπεφυκὼς, οὐκ ἔστι τοῦτο κινδυνῶδες ἐπειδὴ ἀνακτώμεθα τὴν τοιαύτην διάθεσιν. ἔστι δ' ὅτε ὑπὸ γαστροῤῥοίας φαίνεται τῇ κενώσει ξηρανθέντα τὰ βλέφαρα καὶ οὐ συμβάλλονται. καὶ τοῦτο ἀνακτώμεθα· πολλάκις δὲ εἴθιστο οὕτως καθεύδειν ὁ ἄνθρωπος καὶ πολλοί εἰσιν οὕτως ἐν τῷ κατὰ φύσιν ἐξ ἔθους κοιμώμενοι ἀνεῳγότας ἔχοντες τοὺς ὀφθαλμοὺς, οὕστινας οἱ ἰδιῶται λέγουσι τὸ 3) λαγωδάτον κοιμᾶσθαι. ἐὰν οὖν μὴ διὰ ταύτας τὰς αἰτίας φαίνηταί τι τοῦ ἐπιπεφυκότος ἐν τῷ καθεύδειν, θα-

---

1) προσπικάρφου Codd. 2) μὲν M. 3) In morem leporum.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 114 sur 382

νατῶδές ἐστι το σημεῖον, εἶτα ἐπιβεβαιῶν τὴν τοιαύτην σημείωσιν τοῦ ὀλέθρου καὶ ἕτερα σημεῖα παραδίδωσιν ἡμῖν λέγων οὕτως.

Ἢν μὲν ῥικνὸν καὶ καμπύλον γένηται ἢ πέλιον βλέφαρον ἢ χεῖλος ἢ ῥὶς μετά τινος τῶν ἄλλων σημείων. —

Καὶ τὸ μὲν ῥικνόν ἐστιν ἔνδεια καὶ ἀτροφία μετὰ 1) ῥυτίδος τουτέστι τὸ ἐῤῥυτιδωμένον μετὰ ἄκρας ξηρότητος. ἔστι γὰρ καὶ μετὰ ὑγρότητος 2) ἐῤῥυτίδωσις. ἐνταῦθα οὖν τὸ μετὰ ξηρότητος ἐῤῥυτιδωμένον ἐκάλεσε ῥικνόν. — Ἢ καμπύλον. —

Καμπύλον λέγει τὸ ἑτερόῤῥοπον. καὶ τοῦτο ὑπὸ ξηρότητος γίνεται ὡς ἐπίπαν. τὴν γὰρ διαστροφὴν λέγει τὸ καμπύλον, τυχὸν ἐὰν διαστραφῇ ἓν τούτων, ἢ ῥὶς τυχὸν ἢ χεῖλος ἢ βλέφαρα. διαστρέφονται δὲ εἴτε ἐπὶ σπασμῷ, τοῦ σπασμοῦ ἐπὶ ξηρότητι γινομένου, εἴτε διὰ παράλυσιν, ἥτις ἐπὶ ἄκρᾳ ψύξει γίνεται, καθ' ἣν καὶ τὸ πέλιον γίνεται χρῶμα. ἐπὶ γὰρ ἄκρᾳ ψύξει καὶ τοῦτο γίνεται. ἐὰν οὖν καὶ ταῦτα γίνωνται τὰ σημεῖα μετὰ τῶν ἤδη προειρημένων συνερχόμενα, 3) ὑπόγυον δηλοῦσι τὸν θάνατον. εἰ δὲ μόνα ταῦτα γένωνται, κακὰ μέν εἰσι, πλὴν οὐχ οὕτως κινδυνώδη.

Κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰατροῦ ἐπὶ τὸ πλευρὸν τὸ δεξιὸν ἢ τὸ ἀριστερόν.—

Ἐνταῦθα σημειοῦται τὴν κατὰ φύσιν ἀνάκλισιν καὶ λέγει τρία σημεῖα, ἤγουν τρία σχήματα τῆς κατὰ φύσιν κλίσεως. φησὶ γὰρ ὅτι σχῆμα κατακλίσεώς ἐστι τὸ ἐπὶ τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν πλευρὸν κατακεκλίσθαι. δεύτερον σχῆμά ἐστιν, ὅτι δὴ 4) ἐπικεκαμμένα ἔχειν ὀλίγον τὰ σκέλη καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον, ὅθεν καὶ τὸ ἐγγώνιον σχῆμα τῆς χειρὸς ἀποδεχόμεθα περὶ τὸ ἄγαν 5) ἐκτεταμένον καὶ συγκεκαμμένον, ἐπειδὴ ἐν τῷ ἐγγωνίῳ σχήματι 6) τῆς χειρὸς ἐν ἀνέσει τυγχάνουσιν οἱ μύες. λέγει καὶ τρίτον σχῆμα κατὰ φύσιν, ὅτι δεῖ ἀντιπροσώπως ἀνακεκλίσθαι καθ' ἣν ποι-

---

1) ἐῤῥυτίδος M. ἐῤῥύτιδος A. 2) Fort. ῥυτίδωσις. 3) ὑπόγγυον M. 4) ἐπικεκαυμένα Codd. 5) τεταμένον M. 6) τῆς χειρὸς om. A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 115 sur 382

εῖται τὰς εἰσόδους ὁ ἰατρός. τί γὰρ ὅτι δύναται καὶ πρὸς τὰ ἐρωτώμενα ὑπὸ τοῦ ἰατροῦ πρὸς ἔπος ἀποκρίνασθαι, καὶ δεόντως ἀπολογεῖσθαι, ἐφ᾽ οἷς καὶ τὴν αἰτίαν τῶν τοιούτων κατακλίσεων, ὅτι κατὰ φύσιν εἰσὶ, λέγει ὁ Ἱπποκράτης 1) τῷ ἐπιλογισμῷ χρώμενος ἐκ τοῦ φαινομένου, φησίν· οὕτως γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται.

Ἄρισται δέ εἰσι τῶν κατακλίσεων αἱ ὅμοιαι ταῖς τῶν ὑγιαινόντων. —

Ὁ δὲ Γαληνὸς τῷ λογισμῷ κεχρημένος καὶ ἐξ αὐτῆς τῆς φύσεως τῶν πραγμάτων ὁρμώμενος λέγει, ὅτι ταῦτα τὰ σχήματα τῆς κατακλίσεως κατὰ φύσιν εἰσὶ καί φησιν, ὅτι τὸ ἀντιπροσώπως τῷ ἰατρῷ κατακεκλίσθαι τὸν κάμνοντα, καθ᾽ ἣν ποιεῖται τὰς εἰσόδους, καὶ ἐκεῖσε ἀποβλέπειν καὶ ἀναμένειν τὴν παρουσίαν τοῦ ἰατροῦ, ἀγαθόν ἐστιν, ἐπειδὴ δηλοῖ ὅτι καλῶς διάκειται τὸν λογισμὸν, καὶ ἀγαθόν ἐστιν ὡς δηλοῖ τὸ τοῦ Ἱπποκράτους ἐν 2) ἀφορισμοῖς εἰρημένον· ἐν πάσῃ νούσῳ τὸ ἐῤῥῶσθαι τὴν διάνοιαν καὶ εὖ ἔχειν πρὸς τὰ πρόσφορα ἀγαθόν, τὸ δὲ ἐναντίον κακόν. ἀλλὰ καὶ τὸ ἐπικεκαμμένας ἔχειν ἐπ᾽ ὀλίγον τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλη κατὰ φύσιν ἐστὶν, ἐπειδὴ δηλοῖ ἐῤῥωμένην καὶ ἰσχυρὰν τὴν συνέχουσαν καὶ στηρίζουσαν καὶ συνδεσμοῦσαν τὴν συνεκτικὴν δύναμιν τοῦ ὅλου σώματος. τὸ δὲ τοιοῦτον σχῆμα, καὶ μεταξύ ἐστι τῶν ὑπερβολικῶν σχημάτων καὶ δηλοῖ ἐν ἀνέσει τυγχάνοντας τοὺς μύας καὶ τὰ νεῦρα. ὑπερβολικὰ δὲ σχήματά εἰσι, τὸ ἄγαν ἐκτεταμμένας ἔχειν τὰς χεῖρας καὶ τὰ σκέλη. ὑπερβολικὸν σχῆμά ἐστι καὶ κακόν. δηλοῖ γὰρ τάσιν τῶν νεύρων καὶ μυῶν, ὅθεν καὶ ὑγρὸν 3) ἐκάλεσε τὸ μεταξὺ σχῆμα· ἔφη γὰρ καὶ τὸ σύμπαν σῶμα ὑγρὸν ἔχοντα κείμενον. ὑγρὸν δὲ ἐκάλεσε τὸ σχῆμα τοῦτο, διὰ τὸ ὥσπερ τὰ ὑγρὰ οὐκ ἐκτείνονται καθάπερ τὸ ὕδωρ, οὕτως καὶ τὸ ἐπ᾽ ὀλίγον ἐπικεκαμμένον σχῆμα οὐκ ἔχειν ἐκτεταμμένα τὰ νεῦρα ἢ τοὺς μύας, ἀλλ᾽ ἐν ἀνέσει τυγχάνοντας. οὕτως σημειωσάμενος τὴν κατὰ φύσιν

---

1) τῶν ἐπιλογισμῶν Codd. 2) ἐν δευτέρῳ τῶν ἀφορ. in mg. 3) ἐκάλεσας A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 116 sur 382

κατάκλισιν τρέπεται καὶ ἐπὶ τὴν σημείωσιν τῆς παρὰ φύσιν κατακλίσεως, καὶ λέγει ἑπτὰ σχήματα. καὶ πρῶτον σχῆμα λέγει τοιοῦτον, ὅτι ἐὰν ὕπτιος κεῖται ὁ ἄῤῥωστος ἐκτεταμένας 1) ἔχων τὰς χεῖρας καὶ τὰ σκέλη, κακόν ἐστι. δηλοῖ γὰρ ἀκράτειαν καὶ ἀσθένειαν τῆς στηριζούσης καὶ κρατυνούσης τὸ σῶμα συνεκτικῆς δυνάμεως καὶ βλάβην τοῦ λογισμοῦ, εἰ μήτι ὅτι διὰ κακότητα ἢ τύφον ἢ ὑπερηφάνειαν τυραννικῶς φερόμενος καὶ μηδ' ὅλως προσποιούμενος τὴν παρουσίαν τοῦ ἰατροῦ. δεύτερον δὲ τὸ προπετῶς καταῤῥεῖν ἀπὸ τῆς κλίνης τὸν ἄῤῥωστον ἐπὶ πόδας· κακόν ἐστι καὶ τοῦτο σημεῖον. δηλοῖ γὰρ καὶ ἐνταῦθα ἀκράτειαν καὶ ἀσθένειαν τῆς κρατυνούσης καὶ στηριζούσης τὸ σῶμα συνεκτικῆς δυνάμεως, καὶ ὑπ' αὐτῆς μηδόλως κατέχεσθαι, ἀλλὰ τῷ οἰκείῳ βάρει τῷ φυσικῷ ἐπὶ πόδας καταῤῥεῖν, ὅπερ μέγιστον κακὸν σημεῖόν ἐστι. τρίτον σχῆμα τῆς παρὰ φύσιν κατακλίσεώς ἐστι, τὸ απογυμνοῦν τοὺς πόδας καὶ ἀσκεπάστους ἔχειν καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον, καὶ περιεῤῥιμμένους καὶ ἐκλελυμένους καὶ περιφερομένους τῇδε κἀκεῖσε. καὶ τοῦτο κακόν ἐστι τὸ σημεῖον ἐν ὀξεῖ νοσήματι· δηλοῖ γὰρ ἀλυσμὸν τουτέστι δυσφορίαν ἄκραν ἐν τῷ 2) στομάχῳ, καὶ δακνομένου τοῦ στομάχου καὶ ἀνιωμένου ὑπὸ τῆς κακοχυμίας οὕτως κατακέκλιται, εἰ μήτι ὅτι διὰ βλακείαν τινὰ ἢ δι' ὀξὺν καὶ διακαῆ πυρετὸν ταῦτα ποιεῖ· τότε γὰρ δήλη ἐστὶν ἡ αἰτία καθ' ἣν τοῦτο ποιεῖ τοῦ καταψυχθῆναι καὶ παραμυθίαν καὶ παρηγορίαν ἀναλαβεῖν, διὰ τὴν ζέσιν τοῦ πυρετοῦ. καὶ τοῦτο οὐκ ἔστι τοιοῦτον κακόν. εἰ δὲ μήτε διὰ τὸν πυρετὸν γυμνοῖ τοὺς πόδας, μήτε μὴν διὰ βλακότητα καὶ ἦθος τοιοῦτον, τότε κάκιστόν ἐστι καὶ τοῦτο σημεῖον. δηλοῖ γὰρ ἢ παραφροσύνην ἢ μεγίστην δυσκρασίαν ἐν τῷ στομάχῳ. τέταρτον σχῆμα 3) τῆς παρὰ φύσιν κατακλίσεως τὸ κεχηνότας καθεύδειν, ὅπερ δηλοῖ ἢ παράλυσιν τῶν κλειόντων μυῶν τὸ στόμα ἢ σπασμὸν τῶν ἀνοιγόντων, ὥσπερ καὶ ἐπὶ τῶν βλεφάρων ἐλέγομεν. ἀλλ' ἐπὶ τοῦ ὀφθαλμοῦ ἧττον ἦν κακὸν, ἐπειδὴ ἐν τοῖς

---

1) ἔχειν Codd. 2) Sic Gal. 1 de mot. musc. cap. ult. Mercurialis in mg. 3) σημεῖον add. M. glossam.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 117 sur 382

ὕπνοις αὐτὸ περιελάβομεν. ἐνταῦθα δὲ ἐν τῷ ἐγρηγορέναι αὐτὸ παραλαμβάνομεν· τὸ γὰρ καθεύδειν ἐνταῦθα τὸ ἀνακεκλίσθαι λέγει, οὐ τὸ ὑπνοῦν, ὅπερ κακόν ἐστι σημεῖον καὶ τοῦτο ἐν ὀξεῖ νοσήματι, εἴτε διὰ σπασμὸν γένηται, εἴτε διὰ παράλυσιν εἴτε διὰ τὰ συναμφότερα. πέμπτον δὲ, ἐὰν ὕπτιος ἀνακέκλιται καὶ 1) κεκαμμένα ἔχει τὰ γόνατα καὶ ἀπεῤῥιμμένα 2) ἀπ' ἀλλήλων ἤγουν συμπεπλεγμένα καὶ ἄγαν συγκεκαμμένα τουτέστι τοὺς μηροὺς καὶ τὰ γόνατα ἐναλλὰξ παραπεπλεγμένα ἔχει, καὶ ἐπὶ γαστέρα συγκεκαμμένα, κακόν ἐστι καὶ τοῦτο σημεῖον, διὰ τὸ μὴ πάντη οὕτως εἰθίσθαι ἀνακεκλίσθαι τοὺς ἀνθρώπους ἐν τῷ ὑγιαίνειν. δηλοῖ γὰρ ἢ παραφροσύνην ἢ μεγίστην ὀδύνην τῶν περὶ τὴν γαστέρα χωρίων, φυσικῶς τοῦτο ποιοῦντες. συγκάμπτοντες γὰρ ἐπὶ τὴν γαστέρα τοὺς μηροὺς ταὶ τὰ γόνατα τῇ προσψαύσει τοῦ ὁμοίου σώματος παρηγοροῦνται. οὕτως γὰρ καὶ ἡμεῖς ποιοῦμεν στροφούμενοι ἢ ὀδυνώμενοι πρός τι μόριον τὰς χεῖρας ἐπιτιθέμενοι, καὶ προσψαύοντες παρηγορούμεθα τῷ ὀδυνωμένῳ μορίῳ. ἕκτον δὲ τὸ ἐπὶ γαστέρα κεῖσθαι ἐν τῇ κλίνῃ. δηλοῖ γὰρ μεγάλην διάθεσιν τῶν περὶ τὴν γαστέρα χωρίων, ἐὰν μὴ οὕτως εἴθιστο κοιμᾶσθαι, καὶ μάλιστα εἰς τὰς πέψεις, δι' ἃς* συνεργεῖσθαι πρὸς τὴν πέψιν. εἰ δὲ μὴ ὦσιν εἰθισμένοι οὕτως καθεύδειν, κάκιστόν ἐστι. δηλοῖ γὰρ οὐ μόνον μεγίστην ὀδύνην τῶν περὶ τὴν γαστέρα χωρίων, ἀλλὰ καὶ παραφροσύνην. ἕβδομον δὲ ἐστι, τὸ ἄφνω ἀνακαθέζεσθαι καὶ ἐξανίστασθαι καὶ ζητεῖν ἀπὸ τόπου ἐπὶ τόπον μετελθεῖν. κάκιστον σημεῖον ἐν ὀξεῖ πυρετῷ, καὶ μάλιστα ἐπὶ τῶν περιπνευμονικῶν. ἡ γὰρ περιπνευμονία φλεγμονή ἐστι τοῦ πνεύμονος· 3) ἐν οὖν τῇ τοιαύτῃ φλεγμονῇ δηλονότι καὶ πυρετὸς διακαὴς σύνεστιν. 4) [ἐν οὖν τῇ τοιαύτῃ κατακλίσει δηλονότι καὶ πυρετὸς διακαὴς σύνεστιν]. ἐν οὖν τῇ κατακλίσει οὐκ ἀντεισάγεται ὁ ἀρκῶν ἀὴρ καὶ πνεῦμα πρὸς τὸ ἐμψύξαι, ἐπειδὴ συμπίπτει ὁ θώραξ ὡς ἐπὶ τὴν ῥάχιν καὶ ἀποστενοῦται· καὶ ἐκβιαζόμενοι ἀνακαθέζονται, ἵνα τῇ εὐρυχωρίᾳ καὶ τῷ τοιούτῳ

---

1) καυμένα M. 2) ἀπ' — συμπ. om. M. 3) ἐὰν M. 4) Om. M. A.

σχήματι δαψιλέστερον πνεῦμα 1) εἰσπνέωσιν, καὶ παραμυθοῦνται. ἐὰν οὖν ἐν ὀξεῖ νοσήματι αἰφνίδιον ἀνακαθέζωνται καὶ ἐξανίστανται, καὶ μάλιστα ἐν τῇ ἀκμῇ, ὅτε ὤφειλεν ἐν ἀνέσει τυγχάνειν· ἐν γὰρ τῇ ἀκμῇ ἀναπαύεται ἡ φύσις καὶ αἱ δυνάμεις, ἐπειδὴ 2) κάμνουσιν ἐν τῇ ἀρχῇ καὶ ἐν τῇ ἀναβάσει· ἐν τῇ ἀκμῇ ἐν ἀνέσει ὀφείλουσαι τυγχάνειν, ἐὰν ἐξανίστανται ἀθρόως, κάκιστόν ἐστι καὶ τοῦτο τὸ σημεῖον. δηλοῖ γὰρ μεγίστην 3) φλεγμονὴν καὶ ζέσιν καὶ σηπεδόνα ἐν τοῖς ἀναπνευστικοῖς μορίοις συνισταμένην. πρὸς τούτοις δὲ καὶ ἕτερον σημεῖον προστίθησι λέγων, ὅτι κάκιστόν ἐστι σημεῖον ἐν ὀξεῖ νοσήματι, τὸ τρίζειν τοὺς ὀδόντας. δηλοῖ γὰρ σπασμώδη διάθεσιν τῶν κροταφίτων καὶ σιαγονίτων μυῶν, καὶ παραφροσύνην 4) μεγίστην ἐν ὀξεῖ νοσήματι, χωρὶς εἰ μὴ εἴθιστο ἐκ παιδόθεν τρίζειν τοὺς ὀδόντας. πολλοὶ γὰρ οὕτως εἰσὶν εἰθισμένοι τρίζειν τοὺς ὀδόντας, διὰ φυσικὴν ἀσθένειαν οὕτως κατασκευασθέντων τῶν σιαγονίτων μυῶν. καὶ λοιπὸν διὰ τὴν ἀκράτειαν τρίζουσι τοὺς ὀδόντας, ὥσπερ οὖν καὶ τοὺς ὀφθαλμοὺς ὁρῶμεν τρομωδῶς καὶ ἀτάκτως τῇδε κἀκεῖσε περιφερομένους ἐπί τινων ἐξ ἀρχῆς τοῦτο πάσχοντας, ὅπερ καὶ τοῦτο διὰ φυσικὴν ἀσθένειαν τῶν στηριζόντων μυῶν οὕτως κατασκευασθέντων γίνεται. εἶτα 5) καὶ παρακατιὼν λέγει, ὅτι ἀλλὰ προλέγειν ἐπ' ἀμφοῖν τὸν κίνδυνον. ποῖον λέγει, 6) ὅτι δεῖ προλέγειν ἐπ' ἀμφοτέρων τὸν κίνδυνον. ἰδοὺ γὰρ εἴρηκεν ὅτι θανατῶδες, ὡς ἂν τοῦ κινδύνου πλέον θανατωδεστάτου ὄντος. καὶ λέγομεν ὅτι δυνατόν ἐστι καὶ πρὸς τὰ ἄνω αὐτὸν ἐξηγήσασθαι, καὶ πρὸς τὰ κάτω. καὶ πρὸς μὲν τὰ ἄνω οὕτως, ὅτι ἀμφοῖν ἔφη, ὅτι ἐὰν τρίζῃ τοὺς ὀδόντας καὶ ἀπειλᾷ καὶ μελετᾶται 7) μανία, ἐπὶ ἀμφοτέρων δεῖ προλέγειν τὸν κίνδυνον· τὸ γὰρ τοῦ θανάτου παρεκτείνεται καὶ ἐπὶ τοῦ κινδύνου. καὶ ἵνα μὴ ταυτολογήσῃ ἐν βραχεῖ χωρίῳ, διὰ τὸ θανατῶδες εἰπὼν ἐπήγαγε τὸν κίνδυνον, καὶ ἐπὶ ἀμφοτέρων παρεκτείνεται τὸ θανατῶδες. πρὸς δὲ τὰ

---

1) ἐκπνέωσιν L. 2) κάμνωσιν L. A. 3) φλόγωσιν M. A. 4) μεγίστην om. M. A. 5) καὶ om. M. 6) ὅτι — κίνδυνον om. L. 7) γενέσθαι add. M.

κάτω οὕτως δεῖ συνάψαι· ἐπειδὴ γὰρ παρακατιὼν λέγει· ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιέῃ, ὀλέθριον κάρτα ἤδη γίνεται 1) τουτέστι τὸ τρίζειν τοὺς ὀδόντας. καὶ ἴσως ἐρεῖ τις, ὅτι τί δήποτε καὶ ἄνω μανίαν εἶπε, καὶ πάλιν ἐνταῦθα, παραφρονέων τοῦτο ποιέει, ὡς ἂν τῆς μανίας οὐκ οὔσης παραφορᾶς; καίτοι ἐπιτεταμένη παραφορά ἐστιν ἡ 2) μανία. ταυτολογεῖ οὖν καὶ ἔλεγεν 3) ὅτι οὐ ταυτολογεῖ. ἀνωτέρω μὲν γὰρ μελετωμένην 4) ὑπέθετο τὴν μανίαν, οὔπω δὲ γενομένην. καὶ λέγομεν ὅτι ἐὰν τρίζῃ τοὺς ὀδόντας καὶ μανία μελετᾶται γενέσθαι, ἐπ' ἀμφοτέρων δεῖ προλέγειν τὸν κίνδυνον. ἐνταῦθα οὖν λέγει, ὅτι ἐὰν τρίζῃ τοὺς ὀδόντας, καὶ παραφρονῇ, κάρτα ἤδη γίνεται τουτέστιν ὅτι πλησίον ἐστὶν ὁ θάνατος.

*Κεκλιμένον δὲ τὸν νοσέοντα καὶ τὰ ἑξῆς.* —

Τινὲς λέγουσι νομοθετεῖν ἐνταῦθα τὸν Ἱπποκράτην τὸ ἀμηνυτὶ καὶ ἀπροόπτως καὶ ἀπὸ ταὐτομάτου εἰσιέναι τὸν ἰατρὸν εἰς τοὺς κάμνοντας, ὥστε μὴ γινώσκοντας ποιεῖσθαι τὰς ἐπισκέψεις, ὡς δηλοῖ τὸ εἰπεῖν αὐτὸν, κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰητροῦ, ὅτι τυχὸν 5) ἀμηνυτὶ καὶ μὴ γινώσκοντος τοῦ ἀῤῥώστου δεῖ ποιεῖσθαι τὴν ἐπίσκεψιν, καὶ οἷον καταλαμβάνειν αὐτὸν μὴ 6) γινώσκοντα, μήτε μεταχειρισάμενον αὐτόν. οὕτως γὰρ ἀμηνυτὶ εἰσερχομένου τοῦ ἰατροῦ, μεγάλην τιμὴν καὶ δόξαν 7) ἑαυτῷ καὶ τῇ τέχνῃ χαρίζεται. κακῶς δὲ λέγουσιν οὗτοι· τοὐναντίον γάρ· ὁ γὰρ Ἱπποκράτης οὐ παρακελεύεται τὸν ἰατρὸν ἵνα ἀμηνυτὶ ποιῆται τὴν ἐπίσκεψιν. τί γὰρ ὅτι πολλάκις πράγματά τινα μυστηριώδη ἔχουσι καὶ διαπράττονται καὶ οὐ θέλουσιν 8) [ἵνα γνῷ ὁ ἰατρὸς, καὶ τί λέγω ὁ ἰατρὸς, ἀλλ' οὐδὲ ἀναγκαῖον αὐτοῦ συγγενῆ ἢ φίλον θέλειν] ἵνα γνῶσι τὰ μυστήρια ἅπερ διαπράττεται ὁ νοσῶν. ἀμηνυτὶ γὰρ εἰσερχομένου τοῦ ἰατροῦ, ὡς οὗτοι ὑπέθεντο, ἀτιμίαν προσάγομεν καὶ τῇ τέχνῃ καὶ ἑαυτοῖς, καὶ φορτικοὶ γινόμεθα

---

1) τουτ. — ὀδόντας om. M. 2) παραφροσύνη L. 3) ὅτι om. L. A. 4) ὑπέσχετο M. A. 5) ἀμυνητὶ M. 6) γινώσκοντος M. 7) ἑαυτὸν κ. τὴν τέχνην L. 8) Uncinis inclusa verba om. M. A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 120 sur 382

τοῖς ἀῤῥώστοις καὶ μισούμεθα ὑπ᾽ αὐτῶν. ἀλλὰ τοὐναντίον δεῖ ποιεῖν, λέγει ὁ Ἱπποκράτης, ὅτι μετὰ εἰδήσεως καὶ γνώσεως τοῦ ἀῤῥώστου εἰσιέναι. Δεῖ τὸν ἰατρὸν καὶ ποιῆσαι τὴν ἐπίσκεψιν, ἐπειδὴ οὕτως ποιούντων ἡμῶν καὶ εἰσιόντων, μεγάλην τιμὴν καὶ ἑαυτοῖς καὶ τῇ τέχνῃ προσάγομεν, ὅτι προευτρεπίζεται δεόντως ὁ νοσῶν καὶ ἐκδέχεται μετὰ μεγάλης τιμῆς τὴν παρουσίαν τοῦ ἰατροῦ, 1) ὅπερ ὡς εἴρηται μεγάλην τιμὴν προσάγομεν τῇ τέχνῃ, τὸ μετὰ εἰδήσεως καὶ γνώσεως τῶν καμνόντων εἰσιέναι τὸν ἰατρὸν καὶ ποιεῖσθαι τὴν ἐπίσκεψιν. ἀλλὰ καὶ σημεῖον ἡμῖν καθίσταται τὸ πῶς διάκειται ὁ κάμνων περὶ τὴν ἔννοιαν καὶ τὸν λογισμόν. ἐὰν γὰρ μετὰ εἰδήσεως αὐτοῦ ποιήσηται ὁ ἰατρὸς τὴν ἐπίσκεψιν, σχηματίζει ἑαυτὸν δεόντως καὶ κατὰ φύσιν, ὅπερ σημεῖόν ἐστι τοῦ καλῶς ἐνεργεῖν τὸν λογισμόν. τὸ δὲ καταλαμβάνεσθαι ἀντὶ τοῦ εὑρίσκεσθαι 2) ἐν τῷ κατὰ φύσιν σχήματι τὸν κάμνοντα ὑπὸ τοῦ ἰατροῦ, ἔφη ὁ Ἱπποκράτης. διὰ τί δὲ ἔφη ἐπὶ τὸ πλευρὸν τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν, καὶ μόνου τοῦ ἑνὸς πλευροῦ οὐκ ἐμνημόνευσεν, ἀλλὰ τῶν δύο; καὶ λέγομεν τούτου δύο αἰτίας. πρῶτον μὲν τοιαύτην, 3) ἐπειδὴ κοπιῶδές ἐστι καὶ μοχθηρὸν τὸ ἐπὶ ἓν πλευρὸν ἀείσε 4) καὶ ἐπιμόνως κατακεκλίσθαι 5) οὐ μόνον ἐπὶ τῶν νοσούντων, ἀλλὰ καὶ ἐπὶ τῶν ὑγιαινόντων, ἀλλά ποτε μὲν ἐπὶ τὸ δεξιὸν, 6) ποτὲ δὲ ἐπὶ τὸ ἀριστερὸν ἀνακεκλίσθαι, ἄλλοτε ὕπτιοι· καὶ διὰ τοῦτο τῶν δύο σχημάτων ἐμνημόνευσε, λέγω δὴ τῶν δύο πλευρῶν. αὕτη πρώτη αἰτία. δευτέρα δὲ αἰτία ἐστὶν ὅτι οὐ πάντες ἐπὶ τῷ δεξιῷ πλευρῷ ἀείσε ἀνακεκλιμένοι οἱ κάμνοντες εὐαρμόστως ἔχουσιν, ὥστε ἀντιπροσώπως κεῖσθαι ἐν ᾧ τὴν ἐπίσκεψιν ποιεῖται ὁ ἰατρὸς, ἀλλά ποτε μὲν ἐπὶ τὸ δεξιὸν κείμενοι πλευρὸν ἀντιπροσώπως εὑρίσκονται τοῦ ἰατροῦ, ποτὲ δὲ ἐπὶ τὸ ἀριστερὸν, ἄλλοτε 7) δὲ ὕπτιοι. πολλάκις 8) οὖν ἀπέστραπται καὶ γινώσκων ὅτι ἐμήνυσεν ὁ ἰατρὸς, σχηματίζει ἑαυτὸν ἀντιπροσώπως ὥστε δεόντως τὰς ἐντεύ-

---

1) Fort. ᾧπερ — τῷ. 2) ἂν Codd. 3) ὅτε add. M. 4) καὶ ἐπιμόνως om. L. 5) οὐ — ὑγιαινόντων om. L. 6) ἀνακεκλίσθαι add. M. A. secundum omiserunt. 7) δὲ om. L. A. 8) δὲ M.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 121 sur 382

ξεις καὶ 1) ἀποκρίσεις ποιήσασθαι ὡς πρὸς τὰ ἐπερωτώμενα ὑπὸ τοῦ ἰατροῦ. καὶ διὰ τοῦτο τῶν δύο ἐμνημόνευσε πλευρῶν.

Ἕλκος δὲ ἤν τε καὶ προγεγονὸς τύχῃ ἔχων 2) ἤν τε καὶ ἐν τῇ νούσῳ γίνηται, καταμανθάνειν χρή. ἢν γὰρ μέλλῃ ἀπολεῖσθαι ὁ ἄνθρωπος, πρὸ τοῦ θανάτου ἢ πελιδνὸν καὶ ξηρὸν ἔσται, ἢ ὠχρόν τε καὶ ξηρὸν. —

Φησὶν ὅτι δεῖ σκοπεῖν, ἐὰν ἕλκος προγεγονὸς εἶχεν ὁ ἄῤῥωστος, ἢ ἐν αὐτῇ τῇ νόσῳ οὐ πρὸ πολλοῦ γέγονε. καὶ εἰ μὲν ἄνικμον πάντῃ ἐστὶ καὶ κατάξηρον τὸ ἕλκος, γίνωσκε 3) ὅσον οὔπω θνήσκει ὁ ἄνθρωπος. καὶ λέγουσί τινες, τί φής, ὦ Ἱππόκρατες, οὐκ αὐτὸς εἶπας ἕλκεα ξύμπαντα οὐ δεῖ ἐπιτέγγειν πλὴν οἴνου, τουτέστιν ὅτι δεῖ ξηρότερα εἶναι τὰ ἕλκη ὥστε ἀπουλωθῆναι αὐτά; πῶς οὖν ἐνταῦθα διαβάλλεις λέγων, ὅτι ἐὰν ἄνικμα καὶ ξηρά εἰσι τὰ ἕλκη, ἐγγὺς ὁ θάνατος; καὶ λέγομεν ὅτι ἐκεῖσε ξηρὰ ἔλεγεν, ἵνα ἄνευ περιττωματικῆς τινος ὑγρότητος καὶ ἐπιῤῥοῆς ἔσονται, ἐπειδὴ ἡ πλαδαρὰ σὰρξ ἑτοιμόφθαρτός ἐστι, καὶ οὐκ ἄγονται εἰς οὐλὴν τὰ ἕλκη. ἐπείτοι γε οὐ πάντῃ λέγει ἄνικμα εἶναι τὰ ἕλκη. ἐπεὶ πῶς ἔχουσι σαρκωθῆναι καὶ ἀπουλωθῆναι; ἀλλὰ δεῖ χρηστὴν ὑγρότητα ἔχειν τὰ ἕλκη. ἐνταῦθα δὲ τὰ 4) ἄνικμα πάνυ καὶ κατάξηρα διαβάλλει ἅτινα δηλοῦσι μεγίστην καταβολὴν καὶ ἀσθένειαν τῶν φυσικῶν δυνάμεων καὶ μεγάλην ἔνδειαν καὶ ἀτροφίαν, ὅπερ χαλεπόν ἐστιν ἐν ὀξεῖ νοσήματι καὶ θανατῶδες. ἀλλὰ δεῖ, φησὶ, καὶ τὸ χρῶμα τοῦ ἕλκους σκοπεῖν. δυνατὸν γὰρ ἐκ τοῦ χρώματος τοῦ ἐν τῷ ἕλκει διαγνῶναι τὸν πλεονάζοντα χυμὸν, ἐν ᾧ ὁ κίνδυνος ἐπακολουθεῖ. εἰ μὲν γὰρ χολή ἐστιν ἡ πλεονάζουσα, ὠχρὸν γίνεται τὸ ἕλκος, τουτέστιν ἰῶδες. τὸ δὲ πελιδνὸν καὶ μέλαν χρῶμα νεκρώσεώς εἰσι δηλωτικά. καὶ λέγουσί τινες, ὅτι τί δήποτε ἀπὸ τοῦ ἐν ὅλῳ τῷ σώματι χρώματος οὐκ ἐσημειώσατο, ἀλλ' ἀπὸ τοῦ ἐν τῷ ἕλκει; καὶ λέγομεν τούτου δύο αἰτίας, μίαν μὲν τοιαύτην, ὅτι αἱ

---

1) ἀνταποκρίσεις M. ποιήσεται M. 2) ἤν — ξηρόν om. M. A. 3) ὅτι add. M. 4) ἄγαν add. M. et πάνυ om.

σάρκες ἐρυθραί εἰσιν, ἐπὶ δὲ τοῦ ἕλκους γυμναὶ οὖσαι,
ἑτοίμως διαφαίνεται τὸ χρῶμα· δευτέρα δὲ αἰτία, ὅτι
ἔνθα τὸ ἕλκος ἐστὶ, πάντως ἀσθενέστερόν ἐστιν ἐκεῖνο τὸ
μόριον. ἐν οὖν τῷ ἀσθενεστέρῳ μορίῳ μᾶλλον γίνεται
ἐπιῤῥοὴ τοῦ πλεονάζοντος χυμοῦ καὶ ἐντεῦθεν ἐν τῷ ἕλ-
κει σαφῶς διαφαίνεται κατὰ τὸ χρῶμα, ὅπερ θανατῶδές
ἐστι σημεῖον καὶ διὰ τοῦτο 1) ἀπὸ τούτου ἀπὸ τοῦ ἐν
τῷ ἕλκει χρώματος τὴν σημείωσιν ἐποιήσατο.

Δεύτερον κεφάλαιον ἐν ᾧ περὶ χειρῶν φορᾶς καὶ κι-
νήσεως διαλέγεται, καί φησιν, ὅτι ἐὰν τὰς χεῖρας περι-
φέρωσιν ὡς ἐπὶ τὸν ἀέρα ἢ καὶ παρὰ τὸ πρόσωπον, καὶ
δοκοῦσι ζωύφιά τινα θηρᾷν ἢ καρφολογεῖν ἢ κροκύδας
ἀνασπᾷν ἀπὸ τῶν ἱματίων ἢ ἄχυρα ἐκ τοῦ τοίχου δοκοῦ-
σιν ἀφαιρεῖν, κάκιστόν ἐστιν ἐν ὀξεῖ πυρετῷ καὶ ἐν πε-
ριπνευμονίᾳ καὶ ἐν φρενίτιδι καὶ ἐν κεφαλαλγίᾳ. δηλοῖ
γὰρ τὴν ὁρατικὴν αἴσθησιν ἀπατωμένην περὶ αἰσθητά
τινα 2) νομιζόμενα εἶναι, οὐκ ὄντα δέ. τὴν δὲ αἰτίαν καθ'
ἣν ἀπατᾶται ἡ ὁρατικὴ δύναμις εἰς τὰ τοιαῦτα φαντά-
σματα, λέγει ὁ Γαληνὸς, ὅτι ἡ ἀπάτη γίνεται διὰ δύο
αἰτίας· ἢ γὰρ κατὰ πρωτοπάθειαν ἢ 3) ἰδιοπάθειαν αὐ-
τῶν τῶν ὀφθαλμῶν οὕτως ὡς ἐπὶ τῶν ὑποχεομένων· ἐπὶ
γὰρ τῶν ὑποχυμάτων πολλάκις δι' ἀτονίαν τῆς ὁρατικῆς
δυνάμεως ὑγρόν τι ἀθροίζεται μεταξὺ τῆς κόρης καὶ τοῦ
4) ᾠοειδοῦς ὑγροῦ. τὸ δὲ κρυσταλλοειδὲς οὐκέτι λαμπρὰν
καὶ ἀκραιφνῆ ποιεῖται τὴν ἐνέργειαν, ἀλλ' ἀμαυροῖ αὐτοῦ
τὴν ἐνέργειαν καὶ τὴν ὁρατικὴν δύναμιν μολύνει. καὶ τού-
των οὕτως γινομένων, ἀπατῶνται 5) περὶ τὴν ὅρασιν, καὶ
ὅπερ ἐντός ἐστι πάθος, δοκοῦσι κατὰ ἀπάτην ἔξω ὁρᾷν
αὐτό. τῆς γὰρ ὁρατικῆς δυνάμεως προσπιπτούσης τῷ
ὑγρῷ ἐκείνῳ, ἔνθα τὸ μὲν 6) ᾠοειδὲς ὡς εἴρηται ἐπαχύνθη,
7) τὸ δὲ κρυσταλλοειδὲς ἠμαυρώθη. λοιπὸν δὲ καὶ ἡ ὁρα-
τικὴ δύναμις ἐμολύνθη προσπίπτουσα ἐντὸς καὶ παρ'
αὐτῷ τῷ ὑγρῷ καὶ τῷ πάθει 8) τῷ ἐντὸς ἐνεργοῦσα
ἀπατωμένη δοκεῖ ἔξω ὁρᾷν αὐτὸ καὶ διὰ τοῦτο δοκοῦσι

---

1) ἀπὸ τούτου om. M. ἐν τῷ om. L. 2) νομιζομένην M. 3) συμπάθειαν M. superscr. habet. 4) ἀειδοῦς L. 5) παρὰ M. 6) ἀειδὲς M. Lens. 7) τὸ — ἠμαυρώθη om. M. 8) τὸ M. A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 123 sur 382

ζωύφιά τινα θηρᾷν ἢ καρφολογεῖν καὶ τὰ λοιπά. καὶ οὕτως μὲν κατὰ πρωτοπάθειαν, ἀλλὰ 1) καὶ κατὰ συμπάθειαν τοῦτο γίνεται, ἀλλὰ διχῶς· ἢ γὰρ ἐν ὅλῳ τῷ σώματι οὔσης τῆς κακοχυμίας, τοῦτο γίνεται, ἢ ἐν αὐτῷ τῷ ἐγκεφάλῳ. καὶ εἰ μὲν ἐν ὅλῳ τῷ σώματί ἐστιν ἡ κακοχυμία, ἀναπέμπονται παχέα πνεύματα ἀπὸ τῆς κακοχυμίας ἐπὶ τὴν κεφαλὴν, εἶτα φέρονται ἐπὶ τὰ ὀπτικὰ νεῦρα καὶ ἐπὶ αὐτοὺς τοὺς ὀφθαλμούς· εἶτα ταῦτα τὰ παχέα φερόμενα προσαναλύουσι, καὶ ἐντεῦθεν ὑγρά τινα 2) ἐρχόμενα προστίθενται τὸ ὠοειδὲς καὶ ἀμαυροῦσι τὸ κρυσταλλοειδὲς καὶ τὴν ὁρατικὴν 3) καὶ ὀπτικὴν δύναμιν 4) ἀμβλύνουσι καὶ γίνεται ταῦτα ἅπερ εἰρήκαμεν τὸ τόδε ὁρᾷν, ἢ τὸ τόδε κατὰ ἀπάτην, καθάπερ ἐπὶ τῶν περιπνευμονικῶν, καὶ τοῦ ὀξέος πυρετοῦ. εἰ δὲ ἐν αὐτῇ 5) τῇ κεφαλῇ ἔστιν ἡ κακοχυμία, πέμπεται εἰς τοὺς ὀφθαλμοὺς καὶ 6) τὰ αὐτὰ ποιεῖ 7) ἅπερ εἰρήκαμεν, παχύνεται τὸ ὠοειδὲς, ἀμαυροῦται τὸ κρυσταλλοειδὲς, μολύνεται ἡ ὁρατικὴ δύναμις, καὶ πάλιν κατὰ ἀπάτην ὁρῶσιν ἅπερ εἰρήκαμεν, καθάπερ ἐπὶ τῶν φρενιτικῶν. καὶ λέγουσί τινες, 8) καὶ πόθεν τὰ διάφορα εἴδη ταῦτα τῶν συμπτωμάτων ὁρῶσι; καὶ λέγομεν ὅτι διὰ τρεῖς αἰτίας ταῦτα ὁρῶσι διά τε τὸ ποσὸν τῆς ὕλης καὶ τὴν σύστασιν καὶ τὸ χρῶμα. ἢ γὰρ ὀλίγη ἐστὶν ἡ ὕλη ἢ πολλὴ καὶ ὁρῶσιν ἢ μικρὰ ἢ μεγάλα. ἀλλὰ καὶ κατὰ τὴν σύστασιν. εἰ μὲν γὰρ ἐπιμήκης ἐστὶν ἡ ὕλη, ὁρῶσι τριχοειδῆ καὶ κάρφη, καὶ ἄχυρα καὶ τὰ τοιαῦτα· εἰ δὲ στρογγυλώδης ἐστὶν, ὁρῶσι κροκύδας καὶ κέγχρους καὶ τὰ τοιαῦτα. ἀλλὰ καὶ κατὰ τὸ χρῶμα τῆς ὕλης ἢ ἐρυθρὰ ὁρῶσιν ἢ ὠχρὰ ἢ χλωρὰ ἢ πελιδνὰ ἢ μέλανα καὶ τὰ τοιαῦτα. πλὴν καὶ τοῦτο δεῖ εἰδέναι, ὅτι τὰ πάθη ταῦτα 9) τὰ κατὰ ἀπάτην γινόμενα πολλάκις ἐπὶ βλάβῃ μόνῃ τῆς ὁρατικῆς δυνάμεως γίνονται, καθ᾽ ἃς εἰρήκαμεν αἰτίας, τοῦ λογισμοῦ ὑγιῶς ἔχοντος, καὶ τοῦτο 10) ἧττόν ἐστι κακὸν, πλὴν οὐκ ἀκίνδυνον οὐδὲ τοῦτο.

---

1) ἀλλὰ — συμπάθ. om. L. 2) ἐρχόμενα om. M. A. 3) δύναμιν add. M. et postea om. 4) μολύνουσι M. λυχνοῦσι A. superscr. μολύνουσι. 5) τῇ om L. A. 6) ταῦτα L. 7) ὥσπερ M. 8) ὅτι M. 9) τὰ om. L. A. 10) ἔστι ἧττον M.

Πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει ἢ φλεγμονὴν ἐν τοῖς καὶ τὰ ἑξῆς. —

Ἰστέον ὅτι τὰ συμπτώματα τριττά 1) ἐστιν· ἢ γὰρ ἐν διαθέσει θεωροῦνται ἢ ἐν βλάβαις ἐνεργειῶν ἢ ἐν 2) κενουμένοις καὶ ἐπεχομένοις. λοιπὸν σημειωσάμενος τὸ ὀξὺ νόσημα ἀπὸ τῶν ἐν διαθέσει λέγει νῦν περὶ τῶν ἐν βλάβαις ἐνεργειῶν· καὶ λέγει περὶ βλάβης ἐνεργείας, οὐ τῆς τυχούσης δέ. περὶ γὰρ 3) βλαβείσης ἀναπνοῆς περὶ τὴν ἐνέργειαν διαλέγεται, ἥτις ἐστὶν ἀξιολογωτάτη, ἐπειδὴ 4) ζωογονεῖ καὶ ἀνακτᾶται τὸ ἔμφυτον θερμὸν, καὶ ὑγιῶς αὐτῆς ἐχούσης, εἰς τὸ ζῆν συμβάλλεται τοῖς ζώοις, βεβλαμμένως δὲ ἐχούσης, σφάλλει τὰ ζῶα καὶ φθείρει αὐτά. ἀλλ' ὥσπερ μέλλοντες εἰπεῖν περὶ σφυγμοῦ ἐζητήσαμεν τίνα καὶ πόσα εἰσὶ τὰ συνεκτικὰ αἴτια, καὶ εὕρομεν ὅτι τρία εἰσὶ, χρεία, δύναμις καὶ ὄργανον· ἄνευ γὰρ τούτων οὐ δύναται εἶναι σφυγμός· οὕτως οὖν καὶ ἐνταῦθα δεῖ ἡμᾶς ζητῆσαι τὰ γενεσιουργὰ αἴτια τῆς ἀναπνοῆς, καὶ χρή σε εἰδέναι, ὅτι εἰσὶ τέσσαρα, ποιητικὸν, 5) ὀργανικὸν, ὑλικὸν, τελικόν. καὶ ποιητικὸν μὲν αἴτιόν ἐστι τῆς ἀναπνοῆς αὐτὴ ἡ δύναμις ἡ κινοῦσα τοὺς μύας τοῦ θώρακος. ὑλικὸν δὲ αἴτιόν ἐστιν αὐτὸ τὸ εἰσπνεόμενον καὶ ἐκπνεόμενον πνεῦμα. τελικὸν δὲ 6) αἴτιόν ἐστιν ἡ χρεία· διττὴ δὲ αὕτη· διὰ μὲν τῆς εἰσπνοῆς εἰσάγει καθαρὸν ἀέρα καὶ ἐμψύχει τὸ ἔμφυτον θερμὸν, διὰ δὲ τῆς ἐκπνοῆς ἐξάγει τὰ λιγνυώδη περιττώματα. ὀργανικὸν δὲ αἴτιόν ἐστι τὸ διάφραγμα. τὸ γὰρ διάφραγμα τὴν κατὰ φύσιν 7) καὶ ἀβίαστον ἀναπνοὴν ἀπεργάζεται. εἰ δὲ συντεταμένη ἐστὶν ἡ ἀναπνοὴ, τότε καὶ οἱ μεσοπλεύριοι μύες ἐνεργοῦσιν. εἰ δὲ ἔτι πλέον ἐστὶν ἐπιτεταμένη ἡ ἀναπνοὴ, τότε καὶ οἱ 8) ὑψηλοὶ λεγόμενοι μύες ἐνεργοῦσι. καὶ ὥσπερ ἐν τῷ ἠρέμα ἡμᾶς βαδίζειν ἐνεργεῖ τὸ διάφραγμα τὴν κατὰ φύσιν ἀναπνοὴν, οὕτως τὴν ἐπιτεταμένην ἀναπνοὴν, ἐπειδὴ οὐκ ἐξαρκεῖ μόνον τὸ διάφραγμα ἀναπληρῶσαι τὴν χρείαν, ἐνεργοῦσι καὶ οἱ μεσο-

---

1) εἰσιν L. A. 2) κενουμένῳ A. καὶ ἐπεχ. om. M. 3) βλάβης καὶ ἀναπ. M. A. 4) ζωοποιεῖ M. 5) ὑλ. ὀργ. M. 6) ἔστιν αἴτ. M. 7) ἀναπν. καὶ ἀβ. M. 8) Scaleni musculi.

πλεύριοι μύες, ὥσπερ ἐπὶ τῶν ὀξέως βαδιζόντων. εἰ δὲ ἔτι πλέον ἐστὶν ἐπιτεταμένη καὶ βεβιασμένη ἡ ἀναπνοὴ, ἐπειδὴ οὐκ ἐξαρκοῦσι 1) τότε τὸ διάφραγμα καὶ οἱ μεσοπλεύριοι μύες ἀναπληρῶσαι τὴν χρείαν, τότε καὶ οἱ ὑψηλοὶ λεγόμενοι μύες ἐνεργοῦσιν, ὥσπερ ἐπὶ τῶν τρεχόντων καὶ ἐντεταμένως γυμναζομένων. δεύτερον δὲ ἔστιν εἰπεῖν, κατὰ πόσους τρόπους βλάπτεται ἡ ἀναπνοή. καὶ ἰστέον, ὅτι κατὰ τρεῖς, κατὰ μέγεθος, κατὰ ποιότητα καὶ κατὰ τὸν χρόνον τῶν διαλειμμάτων, καθὸ ἀραιὰ ἢ πυκνὴ γίνεται ἡ ἀναπνοή. καὶ εἰ μὲν πολὺν χρόνον κρατεῖ τὸ 2) διάλειμμα, γίνεται ἀραιά· εἰ δὲ ὀλίγον, πυκνή. κατὰ 3) δὲ τὸ μέγεθος, καθὸ μεγάλη ἢ μικρὰ γίνεται ἡ ἀναπνοὴ ἢ φαίνεται καὶ ἔστι μεγάλη κατὰ ἀλήθειαν, ἢ φαίνεται μὲν, οὐκ ἔστι δέ. καὶ φαίνεται μὲν μεγάλη καὶ ἔστι τοιαύτη κατὰ ἀλήθειαν, ὥσπερ ἐπὶ τῆς ἐπιτεταμένης ἀναπνοῆς, καθάπερ ἐπὶ τῶν κατὰ ἔντασιν γυμναζομένων ἢ τρεχόντων. καὶ φαίνεται μὲν μεγάλη ἡ ἀναπνοὴ, ἐπειδὴ 4) καὶ τὸ τρίτον γένος τῶν μυῶν ἐνήργησεν· ἀλλὰ καὶ ἔστι κατ᾽ ἀλήθειαν, ἐπειδὴ ἡ χρεία ἀνεπληρώθη. τὸ γὰρ φαίνεσθαι καὶ μὴ φαίνεσθαι κατὰ τὴν συστολὴν καὶ τὴν διαστολὴν τοῦ θώρακος 5) φέρεται, 6) τὸ δὲ ἔστι καὶ μὴ ἔστι, κατὰ τὴν ἐνέργειαν νοεῖται. φαινομένη δὲ μεγάλη ἀναπνοὴ, οὐκ οὖσα δὲ, αὕτη δὲ διττή ἐστιν· ἢ γὰρ κατὰ ἔμφραξιν φαίνεται καὶ οὐκ ἔστι καθάπερ ἐπὶ τῶν περιπνευμονικῶν. τί γὰρ ὅτι κινεῖται τὸ διάφραγμα, ὥστε τὴν ἀναπνοὴν ποιῆσαι, οὐκ ἐξαρκεῖ δὲ ὥστε τὴν χρείαν ἀναπληρωθῆναι· εἶτα κινοῦνται καὶ οἱ μεσοπλεύριοι μύες, οὐκ ἐξαρκοῦσιν οὐδ᾽ οὕτως ἀναπληρῶσαι τὴν χρείαν. τότε δὲ κινοῦνται καὶ οἱ ὑψηλοὶ μύες, καὶ οὐδ᾽ οὕτως ἀναπληροῦται ἡ χρεία· καὶ φαινομένη λέγεται μεγάλη ἀναπνοὴ, ἐπειδὴ τὸ τρίτον γένος τῶν μυῶν ἐκινήθη, οὐκ οὖσα δὲ κατὰ ἀλήθειαν, ἐπειδὴ ἡ χρεία 7) οὐκ ἀνεπληρώθη. τί γὰρ ὅτι ἔμφραξις ὑπόκειται τῶν 8) βρογχίων τοῦ πνεύμονος, ἔνθα ἡ πάροδος τοῦ πνεύματος γίνεται,

1) τότε om. M. 2) διάφραγμα L. 3) μὲν L. 4) καὶ om. L. 5) φαίνεται L. 6) τὸ δὲ — ἔμφρ. φαίνεται om. L. 7) οὐκ om. M. 8) βροχίων L.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 126 sur 382

καθ' ἣν ἐπὶ τὴν καρδίαν φέρεται. τούτων οὖν ἐμφραττομένων, οὐ γίνεται εἰσαγωγὴ τοῦ πνεύματος ἐπὶ τὴν καρδίαν, καὶ οὕτως γίνονται λιγνυώδη περιττώματα, ἐπειδὴ ἐναπειλημέναι εἰσὶ καὶ ἐμπεφραγμέναι 1) ὁδοὶ τοῦ πνεύματος, καὶ ἡ χρεία οὐκ ἀναπληροῦται. καὶ οὕτως διὰ τὴν ἔμφραξιν ἢ διὰ τὴν ἀσθένειαν τῶν μυῶν καὶ ἀτονίαν τῶν κινούντων τὸν θώρακα φαίνεται μεγάλη ἡ ἀναπνοὴ, οὐκ οὖσα δὲ, τρόπῳ τοιούτῳ. τί γὰρ ἔτι ἐνεργεῖ τὸ διάφραγμα, ἀλλ' ἀτόνως ἐνεργεῖ καὶ οὐκ ἀναπληροῦται ἡ χρεία· εἶτα κινοῦνται καὶ οἱ μεσοπλεύριοι μύες, καὶ αὐτοὶ ἀτόνως καὶ 2) οὐδ' οὕτως ἀναπληροῦται ἡ χρεία· εἶτα ἐξ ἀνάγκης τῆς χρείας κατεπειγούσης, κινοῦνται καὶ οἱ ὑψηλοὶ μύες καὶ αὐτοὶ ἀτόνως, καὶ οὐδ' οὕτως ἀναπληροῦται ἡ χρεία. καὶ ἐπειδὴ τὸ τρίτον γένος τῶν μυῶν ἐκινήθη, φαίνεται μὲν μεγάλη ἡ ἀναπνοὴ, οὐκ οὖσα δὲ, ἐπειδὴ οὐκ ἀνεπληρώθη ἡ χρεία διὰ τὸ 3) ἀτόνως καὶ ἀσθενῶς ἐνεργῆσαι τοὺς μύας. ὁ οὖν Ἱπποκράτης περὶ τοῦ κατὰ 4) τὸ μέγεθος καὶ περὶ τῶν κατὰ τὸν χρόνον διαλειμμάτων διαλέγεται τουτέστι περὶ τῆς μεγάλης καὶ μικρᾶς ἀναπνοῆς καὶ ἀραιᾶς καὶ πυκνῆς, παρῆκε δὲ τὴν κατὰ ποιότητα. τοῦτο δὲ ἐποίησε διὰ δύο αἰτίας, ἢ ὅτι συνεισάγεται ἡ κατὰ ποιότητα καὶ συνδιαφαίνεται τούτοις, λέγω δὴ τῇ μεγάλῃ καὶ τῇ πυκνῇ, συνεισάγεται δὲ καὶ τὸ τάχος. 5) τῇ δὲ μικρᾷ καὶ τῇ ἀραιᾷ συνεισάγεται καὶ ἡ βραδύτης, ἢ τὸ ἄλλο εἰπὲ ὅτι ἡ κατὰ ποιότητα διαφορὰ ποικιλοτέρα ἐστὶ καὶ ὡς ἂν οὔσης αὐτῆς ποικιλοτέρας, παρῆκεν αὐτὴν ἐνταῦθα, ὡς δεομένης αὐτῆς ἰδίας ἐπεξεργασίας διὰ τὸ ποικίλον. καὶ ἐπειδὴ τέσσαρες συμπλοκαὶ τῆς ἀναπνοῆς συνίστανται, ἥ τε μεγάλη καὶ πυκνὴ, καὶ ἡ μεγάλη καὶ ἀραιὰ, καὶ ἡ μικρὰ καὶ πυκνὴ, καὶ ἡ μικρὰ καὶ ἀραιά. αἱ γὰρ δύο οὐ συνίστανται, ἥ τε μεγάλη καὶ μικρὰ, καὶ ἡ πυκνὴ καὶ ἀραιά. δεῖ οὖν 6) εἰπεῖν ἡμᾶς πῶς γίνονται καὶ τί 7) σημαίνουσι. καὶ πρότερον εἴπωμεν περὶ τῆς μικρᾶς καὶ πυκνῆς, ἐπειδὴ ταύτην καὶ Ἱπποκράτης πρότερον μεταχειρίζεται.

---

1) ὁδοὶ om. L. 2) οὐδόλως L. 3) ἀπόνως L. 4) τὸ om. L. 5) τῇδε τῇ L. 6) ἡμᾶς εἰπεῖν M. 7) σημειούμεθα M. A.

Αὕτη οὖν ἡ μικρὰ καὶ πυκνὴ δύσπνοια 1) ὀδύνην σημαίνει ἐν τοῖς ἀναπνευστικοῖς μορίοις συνισταμένην διά τινα φλεγμονὴν ἢ δι' ἕλκωσιν ἢ διὰ ῥευματικὴν διάθεσιν. ἔγνωμεν οὖν τὸ τί σημαίνει ἡ μικρὰ καὶ ἡ πυκνὴ δύσπνοια. λοιπὸν δεῖ ἡμᾶς εἰπεῖν τὸ πῶς γίνεται καὶ ὅσον μὲν 2) ἐπὶ τῇ ὑποκειμένῃ διαθέσει ὤφειλε μεγάλη γίνεσθαι 3) ἡ ἀναπνοή. ἡ δὲ μεγάλη ἀναπνοὴ ἐπὶ μεγίστῃ κινήσει τοῦ θώρακος γίνεται. ἡ δὲ μεγίστη κίνησις τοῦ θώρακος χύσιν ποιεῖται τῶν ὑλῶν. 4) ἐπὶ δὲ τῇ χύσει ἐπιτείνονται οἱ ῥευματισμοί· ἐπιτεινομένων δὲ τῶν ῥευματισμῶν, ἐξ ἀνάγκης ἐπιτείνονται τὰ τῆς ὀδύνης. φειδόμενοι οὖν ἑαυτῶν οἱ οὕτως πάσχοντες, οὐκ ἀναπνέουσι μέγα διὰ τὸ μὴ ἐπιταθῆναι αὐτοῖς τὰ τῆς ὀδύνης, ἀλλὰ μικρὰν ποιοῦνται τὴν ἀναπνοήν, τῇ δὲ πυκνότητι κατεπείγουσι. καὶ ὅπερ τῇ μικρότητι πλημμελοῦσι τῇ ἀναπνοῇ, τῇ πυκνότητι ἀναπληροῦσι τὴν χρείαν. καὶ προηγεῖται μὲν ἡ μικρὰ ἀναπνοή, ἕπεται δὲ ἡ 5) πυκνή. καὶ ταῦτα μὲν περὶ τῆς πρώτης διαφορᾶς τῆς δυσπνοίας.

Δευτέρα δὲ ἔστι διαφορὰ δυσπνοίας, μεγάλη καὶ πυκνὴ ἥτις γίνεται ἐπὶ τῶν τρεχόντων καὶ κατὰ ἔντασιν γυμναζομένων, καὶ ἐπὶ τῶν ὀξέως πυρεττόντων. τί γὰρ ὅτι ἡ μεγάλη ἀναπνοὴ οὐκ ἐξαρκεῖ τὴν χρείαν ἀναπληρῶσαι, καὶ λοιπὸν γίνεται καὶ πυκνὴ καὶ κατεπείγει τῇ πυκνότητι, καὶ οὕτως ἀναπληροῦται ἡ χρεία. καὶ 6) προηγεῖται ἡ ἀναπνοή, ἕπεται δὲ ἡ πυκνή.

Τρίτη διαφορὰ δυσπνοίας, μεγάλη καὶ ἀραιά, ἥτις γίνεται ἐπὶ τῶν φρενιτικῶν, ὅτι τοῦ λογισμοῦ περί τινα φαντάσματα ἀπησχολημένου 7) ἐπὶ τῶν φρενιτικῶν ἐπιλανθάνεται τῶν οἰκείων ἔργων, καὶ οὐ κινεῖ τὸν θώρακα, ἵνα ἡ ἀναπνοὴ γένηται, ἀλλὰ 8) παρέρχεται καὶ μία καὶ δευτέρα καὶ τρίτη κίνησις, καὶ ἐν τῷ διαλείμματι τοῦ χρόνου ἐμβραδύνει καθ' ἣν καὶ ἀραιὰ γίνεται ἡ ἀναπνοή. ἐπειδὴ 9) δὲ περὶ τὸ εἶναι συμβάλλεται ἡμῖν ἡ ἀναπνοή, ἵνα μὴ ἐν ἡμῖν εἴη τὸ ζῆν, ἀναμνημονεύει τῶν οἰκείων

---

1) λοιπὸν M. A. f. λύπην. 2) ἐν M. 3) ἡ om. L. 4) ἐπεὶ L. 5) πυκνότης M. 6) πληροῦται M. 7) ἐπὶ τ. φρ. om. M. A. 8) περιέρχεται M. A. 9) δὲ om. M. A. παρὰ loco περὶ M. A.

ἔργων ἡ ψυχὴ, καὶ ὅπερ ἐν τῷ διαλείμματι ἐπλημμελήθη,
ὑφ' ἓν θέλουσα ἀναπληρῶσαι τὸ πλημμεληθὲν, 1) μεγά-
λην ποιεῖται τὴν ἀναπνοήν. οὕτως 2) γίνεται καὶ ἐπὶ τῶν
λυπουμένων διὰ τὰς αὐτὰς αἰτίας. τί γὰρ ὅτι καὶ ἐν-
ταῦθα τοῦ λογισμοῦ ἀπασχολουμένου περὶ τῶν λυπηρῶν,
ἐπιλανθάνεται τῶν οἰκείων ἔργων καὶ παρέρχεται καὶ
μιᾶς καὶ δύο, ἔστι δ' ὅτε καὶ τριῶν κινήσεων ἀναπνοῆς
χρόνος· εἶτα ὀψέ ποτε ἀναμνημονεύουσα ἡ ψυχὴ τῶν οἰ-
κείων ἔργων, θέλουσα ἐφάπαξ τὸ πλημμεληθὲν ἀναπλη-
ρῶσαι, μεγάλην ποιεῖται τὴν ἀναπνοὴν, ὅπερ καὶ στεναγ-
μὸς καλεῖται. ἐνταῦθα δὲ ἐπὶ τῶν λυπουμένων, ἡ μεγάλη
ἀναπνοὴ καὶ ἀραιὰ μετὰ στεναγμοῦ γίνεται. εἰκότως·
διά τε τὸ 3) τὸ πλημμεληθὲν ἀναπληρῶσαι, καὶ διὰ 4) τὸ
πολλὰ λιγνυώδη περιττώματα γεννᾶσθαι ἐπ' αὐτῶν. καὶ
χρεία ἐστὶ 5) καὶ ἐξαγωγῆς ὅπερ διὰ τοῦ 6) ἀναστεναγ-
μοῦ ἐξωθοῦσι καὶ πάλιν διὰ τῆς μεγάλης 7) εἰσπνοῆς
εἰσάγουσι καθαρὸν ἀέρα, καὶ ἔστιν ἡ ἀραιὰ ἀναπνοὴ τῆς
μεγάλης ἀναπνοῆς· προηγεῖται γὰρ ἡ ἀραιὰ 8) ἀναπνοὴ,
καὶ ἕπεται ἡ μεγάλη.

Τετάρτη διαφορὰ τῆς δυσπνοίας ἐστὶν, ἡ μικρὰ καὶ
ἀραιὰ ἀναπνοὴ, ὅπερ κάκιστόν ἐστι σημεῖον. σημαίνει
γὰρ αὐτὴ κατάπτωσιν 9) ἐσχάτην καὶ ἀσθένειαν τῆς κα-
θεκτικῆς δυνάμεως καὶ 10) κατάσβεσιν καὶ κατάψυξιν
καὶ νέκρωσιν τοῦ ἐμφύτου θερμοῦ. οὕτως σημειωσάμε-
νος τὴν παρὰ φύσιν 11) ἀναπνοὴν σημειοῦται καὶ τὴν
κατὰ φύσιν ἐξαίρων καὶ ἐγκωμιάζων αὐτὴν, λέγων οὕτως.

## Ἄλλως.

*Πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν καὶ τὰ ἑξῆς.* —

Δεῖ εἰδέναι ὅτι ὁ Ἱπποκράτης ἀπὸ τοῦ ὑλικοῦ αἰτίου
τὴν ἀναπνοὴν ἐδήλωσε· τὸ γὰρ πνεῦμα ὑλικόν αἴτιόν ἐστι
τῆς ἀναπνοῆς ὡς ἴσμεν κατὰ τὴν ἐνέργειαν, καὶ διὰ τοῦτο
καὶ τὴν προσηγορίαν οὕτως ἐποίησεν. καὶ ἰδοὺ αὐτὸς μὲν

---

1) μεγάλως M. 2) γὰρ κἀπὶ M. 3) τὸ om. M. 4) τὸ πολλὰ] τοῦτο τὰ M. A. 5) καὶ om. L. 6) στεναγμοῦ M. 7) ἀναπνοῆς M. 8) ἀναπνοὴ om. L. 9) μεγάλην L. 10) ἀπόσβεσιν M. 11) διάθεσιν τῆς αναπνοῆς καὶ L.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 129 sur 382

ὁ Ἱπποκράτης, ὡς καὶ ἐν τῇ θεωρίᾳ εἴρηκεν, ὅτι οὐ περὶ πασῶν τῶν δυσπνοιῶν διαλέγεται, οὐδὲ πάσαις ἐπεξέρχεται, ἀλλὰ μέμνηται τῆς πυκνῆς καὶ μεγάλης ἀναπνοῆς καὶ ἀραιᾶς. τὰς δὲ λοιπὰς παρῆκεν ἡμῖν, ὑπογράψας μέθοδον, ὥστε καὶ τῶν λοιπῶν δυσπνοιῶν τὴν ἐπεξεργασίαν ποιήσασθαι. καὶ ἤδη πεπράχαμεν, καθ' ὃν εἰρήκαμεν τρόπον. —

Εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίαν ἐν πᾶσι τοῖς ὀξέσι νοσήμασι.

Τὸ λεγόμενον τοιοῦτόν ἐστιν, ὅτι θαυμαστὴ καὶ σωτήριός ἐστιν ἡ κατὰ φύσιν ἀναπνοή. δηλοῖ γὰρ ὅτι καλῶς καὶ ἰσχυρῶς διάκεινται αἵ τε κινητικαὶ δυνάμεις τῶν ἀναπνευστικῶν, ἀλλὰ καὶ τὸ ἔμφυτον θερμὸν δεόντως ῥιπιζόμενον, καὶ οὐδεμία παρεκτροπὴ δυσκρασίας κακίστη σύνεστιν.

Ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ ἐκ τοῦ στόματος ὀλέθριον πάνυ. —

Ψυχρὰ ἀναπνοὴ γίνεται ἐπὶ ἄκρᾳ καταβολῇ τῆς ζωτικῆς δυνάμεως καὶ ἐπὶ ὀλιγοσιτίᾳ καὶ καταψύξει καὶ οἱονεὶ νεκρώσει τοῦ 1) ἐμφύτου θερμοῦ, ὅπερ ἐσχάτης ἀπωλείας ἐστὶ τεκμήριον. 2) οἷον γὰρ εἰσπνεῖται, τοιοῦτον καὶ ἐκπνεῖται. πολλάκις δὲ τελευταῖον μετὰ τὴν ψυχρὰν ἀναπνοὴν δοκεῖ θερμὸν ἐκπνεῖσθαι, ὅπερ καὶ τοῦτο ἐσχάτης ἀπωλείας ἐστὶ τεκμήριον. δηλοῖ γὰρ 3) καὶ αὐτὸ τὸ ἐγκαταλειφθὲν λείψανον τοῦ ἐμφύτου θερμοῦ 4) διαφορηθῆναι. οὕτως γὰρ καὶ ἐπὶ τῆς 5) κανδήλας ὁρῶμεν γινόμενον ἢ τελευταῖον, ὅταν μέλλῃ ἀποσβέννυσθαι, μεγάλην φλόγα ἐξαίφνης ἐκλάμπει καὶ οὕτως 6) ἀποσβέννυται.

Ὁκόσα σὺν πυρετοῖσίν ἐστι καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. —

Εἰπὼν ὅτι ἐν πᾶσι τοῖς ὀξέσι νοσήμασι τοῖς μετὰ πυρετοῦ ἀγαθὸν εἶναι τὴν εὔπνοιαν, οὐκ ἀντιδιέστειλε τοῖς χρονίοις νοσήμασιν; ὅτι τυχὸν ἐπεὶ ἐν τοῖς ὀξέσι

1) ἐμφύτου θερμοῦ] ἐμφυτευθέντος M. A. 2) οἷον — τεκμήριον om. L. 3) καὶ ὅτι add. M. 4) ἐδιεφορήθη M. A. 5) κανδείλας M. A. 6) σβέννυται L.

νοσήμασιν ἡ εὔπνοια σωτήριός ἐστιν, ἤδη ἐν τοῖς χρονίοις οὐκ ἔστιν ἀγαθὸν ἡ εὔπνοια. καὶ γὰρ ἐπὶ τῶν χρονίων σωτήριός ἐστιν ἡ εὔπνοια πολλῷ μᾶλλον, ἀλλ᾽ ἐπειδὴ 1) εὑρίσκει ἕτερα σημεῖα δηλωτικὰ ἐπὶ τῶν χρονίων νοσημάτων, 2) αὐτὸ τοῦτο τὸ τεταλαιπωρηκέναι τὴν δύναμιν τῷ μήκει, διὰ τοῦτο ἐπὶ τῶν χρονίων νοσημάτων οὐκ εἶπεν, ὅτι σωτήριός ἐστιν ἡ εὔπνοια, ἀλλὰ παρῆκεν. ἄλλως τε δὲ τὰ ὀξέα νοσήματα 3) προέθετο σημειώσασθαι. καὶ ἐπὶ τούτων ἔφη, ὅτι σωτήριός ἐστιν ἡ εὔπνοια. εἶτα καὶ ἀποροῦσί τινες, ὅτι τί δήποτε μνημονεύσας ὀξέων νοσημάτων, τῆς τεσσαρακοστῆς ἐμνημόνευσε, τῶν ὀξέων νοσημάτων ἐντὸς τῆς τεσσαρεσκαιδεκάτης περιγραφομένων, ὡς αὐτὸς Ἱπποκράτης ἐν ἀφορισμοῖς ἔφη, 4) ὅτι τὰ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι. καὶ λέγομεν ὅτι πλάτος ἐστὶν ἐν τοῖς ὀξέσι νοσήμασι. τῶν γὰρ ὀξέων νοσημάτων τὰ μὲν ἔστι κατόξεα, τὰ μέχρι τῆς τετάρτης περιγραφόμενα, τὰ δὲ ἁπλῶς ὀξέα, τὰ μέχρι τῆς ἑβδόμης ἀφικνούμενα, τὰ δὲ ὀξέα, ὁμωνύμως τῷ γένει, τὰ μέχρι τῆς τεσσαρεσκαιδεκάτης ἀφικνούμενα, τὰ δὲ μηκυνόμενα ὀξέα, τὰ μέχρι τῆς τεσσαρακοστῆς. καὶ τούτων τῶν μηκυνομένων ὀξέων πλείστη ἐστὶν ἡ διαφορά. τὰ μὲν γὰρ ἐκ μεταπτώσεως ὀξέα εἰσὶ, τὰ δὲ χρόνια, τὰ δὲ μηκυνόμενα, ἅτινα μέχρι τῆς τεσσαρακοστῆς ἀφικνοῦνται. τὰ δὲ ὑπερβαίνοντα τὴν τεσσαρακοστὴν ἡμέραν χρόνια κατατάσσονται. ὁ οὖν Ἱπποκράτης τῆς τεσσαρακοστῆς ἡμέρας ἐμνημόνευσεν, ἵνα ὑπογράψῃ πάντα τὰ ὀξέα χρόνια, ἐντὸς περιγραφόμενα τῆς τεσσαρακοστῆς ἡμέρας.

5) Οἱ δὲ ἱδρῶτες ἄριστοι μέν εἰσιν ἐν ἅπασι τοῖς ὀξέσι νοσήμασι. —

Νῦν τὴν σημείωσιν ποιεῖται ἀπὸ τῶν κενουμένων καὶ μεταχειρίζεται τοὺς ἱδρῶτας· καὶ ἐπειδὴ ἱδρώτων μνήμην ἐποιησάμεθα, δεῖ 6) ἡμᾶς εἰπεῖν τὰ τέσσαρα γενεσιουργὰ αἴτια τῶν ἱδρώτων, ποιητικὸν, ὑλικὸν, ὀργανικὸν,

1) εὑρίσκεται M. 2) αὐτὸ — νοσημάτων om. M. A. 3) παρέθετο L. 4) ὅτι om. L. 5) περὶ ἱδρώτων L. in mg. 6) ἡμᾶς om. M. γενεσιουργικὰ M. A.

τελικόν. καὶ ποιητικὸν μὲν αἴτιόν ἐστι τῶν ἱδρώτων οὐχ ἕν, ἀλλὰ πλείονα.

Ὧν πρῶτος τρόπος 1) ποιητικός ἐστι τῶν ἱδρώτων ὅτι δι' ἀσθένειαν καὶ ἀτονίαν καὶ καταβολὴν τῆς καθεκτικῆς δυνάμεως γίνονται οἱ ἱδρῶτες. τί γὰρ ὅτι τῷ λόγῳ τροφῆς φερόμενον ἐν ὅλῳ τῷ σώματι διὰ τὴν ἀσθένειαν οὐ κατέχεται, ὥστε ἀλλοιωθῆναι καὶ πεφθῆναι καὶ προστεθῆναι, καὶ ἐξομοιωθῆναι, καὶ λοιπὸν μὴ κατεχόμενον τὸ λόγῳ τροφῆς φερόμενον κενοῦται ἱδρωτοειδῶς δίκην ἀψύχου.

Δεύτερος τρόπος ποιητικοῦ αἰτίου ἱδρώτων ἐπὶ πλημμελεῖ βλάβῃ τῆς ἀποκριτικῆς δυνάμεως 2) γινομένων. τί γὰρ ὅτι τῆς ἀποκριτικῆς δυνάμεως πλημμελῶς βεβλαμμένης, οὐκ ἀναμένει τὴν ἀλλοίωσιν καὶ τὴν πέψιν, ἀλλὰ πρὸ ὥρας ἐπεγειρομένη καὶ πλημμελῶς ἐνεργοῦσα ἐπεγείρεται καὶ ἀποκρίνει τῷ λόγῳ τροφῆς, καὶ ποιεῖ τοὺς ἱδρῶτας.

Τρίτος τρόπος ποιητικοῦ αἰτίου τῶν ἱδρώτων ἐστὶν ὁ ἀπὸ τῶν ἔξωθεν βιαστικῶς προσομιλούντων καὶ προσπιπτόντων, ὥσπερ ἡλιοκαΐα· τῇ γὰρ προσομιλίᾳ τοῦ ἡλίου, ἐπισπᾶται βίᾳ τινὶ τῇ οἰκείᾳ θερμότητι, καὶ ποιεῖ τοὺς ἱδρῶτας. ἀλλὰ καὶ 3) ἀλοιφαὶ θερμότεραι ποιοῦσιν ἱδρῶτας, καὶ τὰ θερμὰ καὶ δριμέα φάρμακα ἐπιτιθέμενα ποιοῦσιν ἱδρῶτας. τούτων δὲ ἓν εἶδός ἐστι καὶ τὸ λουτρόν. καὶ γὰρ τὸ λουτρὸν βίᾳ τινὶ ἐπισπᾶται τῇ θερμότητι τοῦ ἀέρος, καὶ ποιεῖ τοὺς ἱδρῶτας.

Τέταρτος τρόπος ποιητικοῦ αἰτίου τῶν ἱδρώτων ὁ διὰ 4) σύντηξιν τῆς πιμελῆς γινόμενος. καὶ γὰρ ἐπὶ δαπάνῃ καὶ συντήξει τῆς πιμελῆς, γίνονται ἱδρῶτες, καθ' ἣν καὶ αἱ συγκοπαὶ ἐπακολουθοῦσι. γίνεται δὲ 5) τοῦτο ἐπὶ ὀξεῖ καὶ διακαεῖ πυρετῷ καὶ ἐπὶ κακοηθείᾳ νοσήματος, λέγω δὴ ἡ σύντηξις τῆς πιμελῆς, καθ' ἣν καὶ αἱ συγκοπαὶ γίνονται καὶ οἱ ἱδρῶτες οἱ συγκοπτικοὶ λεγόμενοι.

Ὀργανικὸν δὲ αἴτιόν ἐστι τῶν ἱδρώτων οἱ πόροι, δι' ὧν 6) παρεξέρχονται οἱ ἱδρῶτες.

---

1) ποιητικοῦ αἰτίου M. A. 2) γινομένης L. 3) ἀλφαὶ L. 4) σύνταξιν L. 5) καὶ add. M. 6) παρέρχονται M.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 132 sur 382

Ὑλικὸν δὲ αἴτιόν ἐστι πάντα τὰ ὑγρὰ ἤγουν πάντες οἱ χυμοὶ οἱ πλεονάζοντες, ὡς δηλοῦσιν 1) ἐν τοῖς βαλανείοις ἀποξεόμενοι οἱ ἱδρῶτες, κατά τε χρῶμα καὶ τὴν γεῦσιν καὶ τὴν ὄσφρησιν, ἀλλὰ καὶ τὰ ἱμάτια δηλοῦσι τὰ μετέχοντα τῶν ἱδρώτων, διάφορα χρώματα ἔχοντα, πῆ μὲν ξανθὸν χρῶμα, καὶ ἐνδείκνυται χολώδη τὴν ὕλην, πῆ δὲ πράσινα ἢ ὠχρὰ, τὰ δὲ ἰώδη ἔχοντα χρώματα, καὶ δὴ μελαγχολικὴν τὴν ὕλην ἐνδείκνυται, πῆ δὲ μέλανα, καὶ τοῦτο αὐτὸ ἐνδείκνυται· ἀλλὰ καὶ ἀπὸ τῆς γεύσεως, πῆ μὲν πικρά εἰσι, πῆ δὲ 2) ὀξώδη, πῆ δὲ ἁλμυρά· ἀλλὰ καὶ ἀπὸ τῆς ὀσφρήσεως, πῆ μὲν δυσώδη, πῆ δὲ βρομώδη, ἅτινα διαφόρων χυμῶν εἰσιν 3) ἔκγονα.

Τελικὸν δὲ αἴτιόν ἐστι τῶν ἱδρώτων, ἡ ἑπομένη εὐφορία καὶ δυσφορία. τούτων οὕτως εἰρημένων, ἔλθωμεν εἰς τὴν σημείωσιν. καὶ σημειοῦται τοὺς ἱδρῶτας λέγων, ὅτι σωτήριοι ἱδρῶτές εἰσιν, ἔνθα τὰ τέσσαρα ταῦτα συνέλθωσιν ἀλλήλοις καὶ συμπαρομαρτήσωσιν, 4) ἡνίκα ἐν κρισίμῳ ἡμέρᾳ γένηται ἱδρὼς, ἡνίκα καὶ κατὰ παντὸς τοῦ σώματος, ἡνίκα καὶ θερμοὶ ὦσιν, ἡνίκα καὶ εὐφορία 5) ἐπακολουθήσῃ. σπάνιος δὲ τούτοις καὶ ἡ εὐφορία ἐπακολουθεῖ. καὶ τὸ μὲν ἐν κρισίμῳ ἡμέρᾳ γίνεσθαι τοὺς ἱδρῶτας, ἀγαθόν ἐστι. δηλοῖ γὰρ τὴν φύσιν τακτικῶς καὶ ἀβιάστως καὶ μετὰ πέψιν τὴν ὕλην ἐπιλαβομένην δι᾽ ἱδρώτων ἐξωθῆσαι τὰ περιττώματα. τὸ δὲ κατὰ παντὸς τοῦ σώματος γίνεσθαι τοὺς ἱδρῶτας, ἀγαθόν ἐστιν, ἐπειδὴ ὀξὺ νόσημα ὑπόκειται καὶ πυρετός. καὶ πάντως τὸ λόγῳ τροφῆς φερόμενον ἀπεπτεῖται καὶ γίνονται περιττώματα κατὰ παντὸς τοῦ σώματος, ἅτινα δι᾽ ἱδρώτων δεῖ ἐκκριθῆναι, ὥστε ἀπαλλαγῆναι τὸν κάμνοντα τῆς νόσου. ἀλλὰ καὶ τὸ θερμοὺς εἶναι τοὺς ἱδρῶτας ἀγαθόν ἐστιν, 6) ἐπειδὴ ὁμόστοιχοι εὑρίσκονται τῇ ὕλῃ, ἐν ᾗ τίκτονται. πυρετὸς γὰρ ὑπόκειται καὶ ζέσις καὶ δηλονότι διὰ θερμῶν τόπων ποιοῦνται οἱ ἱδρῶτες τὴν πάροδον, καὶ διὰ τοῦτο δεῖ αὐτοὺς θερμοὺς εἶναι. ἐπὶ τούτοις δὲ πάντως καὶ

---

1) ἐν — δηλοῦσι om. L. 2) μέλανα καὶ ἁλμ. ἀλλαχοῦ L. 3) ἔγγονα M. 4) ἡνίκα — ἱδρὼς om. M. γένωται οἱ ἱδρῶτες A. 5) ἐπακολουθήσει M. σπάνιος — ἐπακολουθεῖ om. M. A. 6) ὥστε M.

εὐφορία ἕπεται. τὰ δ' ἐναντία τούτοις, ἐπικίνδυνά εἰσιν, ἡνίκα μὴ ἐν κρισίμῳ ἡμέρᾳ οἱ ἱδρῶτες γένωνται, μηδὲ κατὰ παντὸς τοῦ σώματος, ἀλλὰ μερικῶς καὶ ἐν τοῖς μορίοις γένωνται καὶ ψυχροί εἰσιν οἱ ἱδρῶτες ἐπὶ τούτοις, ἐὰν καὶ δυσφορία ἐπακολουθήσῃ, κάκιστοί εἰσι καὶ ἐπικίνδυνοι. τὸ γὰρ μὴ ἐν κρισίμῳ ἡμέρᾳ γίνεσθαι τοὺς ἱδρῶτας, δηλοῖ τὴν φύσιν πρὸ πέψεως τῶν ὑλῶν κινηθεῖσαν καὶ ἐρεθισθεῖσαν ἀπό τινων 1) καὶ πρὸ ὥρας ἐπαναστᾶσαν καὶ ποιήσασαν τοὺς ἱδρῶτας, ὅπερ κάκιστόν ἐστι. δηλοῖ γὰρ ὅτι ἡ φύσις κατεκρατήθη ὑπὸ τῶν αἰτίων, καθ' ὧν οἱ ἱδρῶτες γεγόνασιν. ἀλλὰ καὶ οἱ ἐν μέρει τοῦ σώματος γινόμενοι ἱδρῶτες κάκιστοί εἰσι, τυχὸν 2) οἱ περὶ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον καὶ τὸν τράχηλον καὶ τὸν αὐχένα, ἐπειδὴ δηλοῖ ἀνάῤῥοπον τὴν ὕλην. ὁ γὰρ πυρετὸς ἀναλύει μέρος τι τῆς ὕλης, καὶ ἀνάῤῥοπον γίνεται ἐπὶ τὰ κυριώτερα μόρια καὶ ἐπὶ τὴν πρωτίστην ἀρχὴν, λέγω δὴ τὸν ἐγκέφαλον, ὅπερ ὀλέθριόν ἐστιν. ἀλλὰ καὶ οἱ ψυχροὶ ἱδρῶτες κάκιστοί εἰσιν· ἀλλὰ δεῖ ἡμᾶς πρότερον εἰπεῖν πῶς γίνονται. δεῖ εἰδέναι ὅτι οἱ ψυχροὶ ἱδρῶτες γίνονται ἐπὶ ἄκρᾳ καταβολῇ καὶ ἀσθενείᾳ καὶ ἐνδείᾳ τοῦ 3) ἐμφύτου θερμοῦ. διὰ γὰρ οἰκείαν ἀσθένειαν καὶ διὰ τὴν ὀλιγότητα περὶ τὰ σπλάγχνα που καὶ περὶ τὸ βάθος 4) ἐνειλίσσεται. τὰ δὲ ἐκτὸς μόρια τὰ περὶ τὴν ἐπιφάνειαν ψύχονται, ἀμοιροῦντα τοῦ ἐμφύτου θερμοῦ. πυρετοῦ οὖν ὑποκειμένου, χύσις γίνεται πάντως τῆς ὕλης. εἶτα τῇ χύσει φέρεται ἐπὶ τὴν ἐπιφάνειαν καὶ ψυχρὸν διϊδροῦται κεγχροειδῶς, ὡς ἀπὸ ἀψύχου 5) ἐκκρινόμενον. καὶ οὕτως γίνονται οἱ ψυχροὶ ἱδρῶτες. κακὸν οὖν 6) ἐν ὀξεῖ νοσήματι, οἱ ψυχροὶ ἱδρῶτες. δηλοῖ γὰρ καταβεβλημένον τὸ ἔμφυτον θερμὸν, ἐφ' 7) ὧν ὁ κίνδυνος πάρεστιν. ἐπὶ τούτοις δὲ πάντως ἕπεται δυσφορία. πλὴν καὶ τοῦτο δεῖ εἰδέναι, ὅτι οὐ πάντες οἱ ψυχροὶ ἱδρῶτες ἐπικίνδυνοί εἰσιν. ἐνδέχεται γὰρ διὰ ψυχροτέραν ὕλην βληχρὸν εἶναι τὸν πυρετὸν καὶ 8) βληχροὺς γενέσθαι τοὺς ἱδρῶτας καὶ οὐκ ἔστιν ἐπι-

---

1) καὶ om. M. 2) εἰ L. 3) ἐμφυτευθέντος M. A. Ita saepius. 4) ἀνειλίσσεται A. 5) ἐκκρινομένου L. 6) οἱ ψ. ἱδ. ἐν ὀξ. νοσ. M. A. 7) ὃ M. 8) βληχρὰ L. γεν. τ. ἱδρ. om. L.

κίνδυνον κατὰ τὸ εἰρημένον, 1) οἱ ψυχροὶ ἱδρῶτες σὺν μὲν ὀξεῖ πυρετῷ θάνατον σημαίνουσι, σὺν δὲ πρηϋτέρῳ μῆκος νούσου.

Ὑποχόνδριον δὲ ἄριστον μὲν ἀνώδυνόν τε ἐὸν καὶ μαλθακὸν καὶ ἐπὶ δεξιὰ καὶ ἐπ᾽ ἀριστερά. —

Νῦν σημειοῦται ὁ συγγραφεὺς τὸ ὀξὺ νόσημα 2) ἀπὸ τῆς διαθέσεως τῆς ἐν τοῖς ὑποχονδρίοις συνισταμένης. καὶ εἰκότως μετὰ τοὺς ἱδρῶτας τὰ ὑποχόνδρια μετεχειρίσατο. οἱ γὰρ ἱδρῶτες τῆς τρίτης πέψεώς εἰσι περιττώματα, τὰ δὲ ὑποχόνδρια τὴν πέψιν τῶν χυμῶν ποιοῦνται. διαλέγεται οὖν περὶ ὑποχονδρίων, καὶ λέγει ὅτι κάλλιστόν ἐστιν ὑποχόνδριον ἐν ᾧ τὰ τέσσαρα ταῦτα συνέλθῃ, τὸ μαλθακὸν, τὸ ἀνώδυνον, τὸ ὁμαλὸν, τὸ 3) ἀφλέγμαντον, τουτέστι τὸ μὴ ἔχον ζέσιν καὶ φλόγωσιν· τὰ δὲ ἐναντία τούτων ἐὰν συνέλθῃ, κάκιστόν ἐστι, τυχὸν ἐὰν συντεταμένον ἐστὶ τὸ ὑποχόνδριον καὶ ὀδύνη σύνεστι καὶ ζέσις καὶ φλόγωσις καὶ ἀνωμαλία. εἰ δὲ τὰ μὲν ὦσι, τὰ δὲ οὐκ ὦσιν, ἧττόν ἐστι κακόν. ἐν τῷ μεταξὺ δὲ τοῦ ἀρίστου καὶ 4) τοῦ χειρίστου ἐστὶ τὸ τὰ ἀριστερὰ ὑπόκεισθαι βεβλαμμένα, τυχὸν ὁ σπλὴν, τὰ δὲ δεξιὰ ἀβλαβῶς, ἤγουν 5) τὸ ἧπαρ. δηλοῖ γὰρ τὴν πρώτην ἀρχὴν τῆς πέψεως καλῶς διάκεισθαι. εἶτα δεῖ ἡμᾶς εἰπεῖν καὶ τὴν αἰτίαν, καθ᾽ ἣν κάλλιστόν ἐστιν ὑποχόνδριον, ἐὰν συνέλθῃ τὰ προειρημένα τέσσαρα σημεῖα. καὶ τὸ μὲν μαλθακὸν σημαίνει τὸ ἀπηλλαγμένον παντὸς ὄγκου παρὰ φύσιν, τυχὸν μήτε φλεγμονὴν ἔχον, μήτε σκίῤῥον, μήτε οἴδημα καὶ τὰ τοιαῦτα. ἀλλ᾽ ἴσως ἐρεῖ τις, ὅτι 6) καὶ πόθεν δῆλον, ὅτι οἴδημα οὐκ ἔστι; καὶ γὰρ τὸ οἴδημα ὄγκος μέν ἐστιν, 7) εἴκει δὲ τῇ ἁφῇ, ὥσπερ καὶ τὸ μαλθακὸν 8) εἴκει τῇ ἁφῇ. τὸ γὰρ μαλθακὸν τῷ συντεταμένῳ ἀντίκειται. καὶ λέγομεν ὅτι οὐκ ἔστιν οἴδημα ὡς δηλοῖ ἐκ τοῦ ὀξὺ εἶναι τὸ ἐξεταζόμενον νόσημα. ἐν δὲ ὀξεῖ νοσήματι οὐδέποτε οἴδημα γίνεται ἐπὶ τὰ ὑποχόνδρια. ἀλλὰ καὶ τὸ

---

1) Hipp. Aph. IV. 37. 2) ὑπὸ M. 3) τοῦτο οὐχ Ἱπποκράτης φησί Mercur. in mg. M. 4) τοῦ om. M. βεβλαμμένος M. A. Fort. βεβλαμμένως. 5) τῷ ἥπατι L. 6) καὶ — καὶ γὰρ om. M. A. 7) ἥκει Codd. 8) ἥκει M.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 135 sur 382

ἀνώδυνον ἀγαθόν ἐστι. δηλοῖ γὰρ ὅτι οὐδεμία δριμύτης πλεονάζει ἐν αὐτοῖς, ἀλλ᾽ οὐδὲ πνεύματα ἐμφωλεύουσιν, ἀλλ᾽ οὐδὲ πλῆθος χυμῶν πλεονάζει ἐν αὐτοῖς 1) παρατεῖνον καὶ τῷ λόγῳ τούτῳ ἀνώδυνά εἰσιν. ἀλλὰ καὶ τὸ 2) ἀφλέγμαντα εἶναι δηλοῖ ὅτι οὐδεμία ζέσις ἢ φλόγωσίς ἐστιν ἐν αὐτοῖς. καὶ δεῖ αὐτὰ καὶ ὁμαλὰ εἶναι, τουτέστιν ὅμοια καὶ ἴσα 3) πάντη κατά τε ποιότητα καὶ 4) κράσιν. ἐνδέχεται γὰρ ὁμαλῶς διάκεισθαι κατὰ τὸν ὄγκον, καὶ μηδεὶς ὄγκος ὢν ἐν αὐτοῖς, ἀνωμάλως δὲ κεκράσθαι. καὶ ταῦτα μὲν περὶ τῶν κατὰ φύσιν ὑποχονδρίων. εἴπωμεν δὲ καὶ τὴν αἰτίαν τῶν ποιούντων παρὰ φύσιν τὰ ὑποχόνδρια. τὸ δὲ παρὰ φύσιν καὶ νοσῶδες καὶ ἄχρηστον ἐκ τῶν ἐναντίων τεσσάρων συνίσταται, ἐκ τοῦ σκίῤῥου, καὶ τῆς ὀδύνης καὶ τῆς ζέσεως καὶ τῆς ἀνωμαλίας. ταῦτα συνερχόμενα ἀλλήλοις καὶ ἐν τῷ ἅμα συνιστάμενα, κάκιστον καὶ νοσῶδες τὸ ὑποχόνδριον ἀπεργάζονται. καὶ τὸ μὲν σκληρὸν ὑποχόνδριον ἢ μεγίστην φλεγμονὴν σημαίνει ἢ ἔμφραξιν, ἅπερ ἐπὶ δαψιλεῖ ὕλῃ γίνονται, καὶ κάκιστά εἰσι ταῦτα ἐν ὀξεῖ νοσήματι. ἀλλὰ καὶ ἡ ὀδύνη κακίστη ἐστὶ διά γε τὴν ὀδυνηρὰν διάθεσιν· οὐ πᾶσα γὰρ διάθεσις ὀδύνην ἐργάζεται, ἀλλὰ 5) αἱ μέγισται διαθέσεις. ἄλλως τε δὲ κάκιστόν ἐστι τὸ ὀδυνᾶσθαι, ὅτι ἡ ὀδύνη ἐπιτείνει τὰ ῥεύματα· ἐπὶ δὲ τοῖς ῥευματισμοῖς αἱ δυνάμεις καταβάλλονται. ἀλλὰ καὶ ἡ φλόγωσις ἐν τοῖς ὑποχονδρίοις 6) κακόν ἐστι. δηλοῖ γὰρ μεγάλην ζέσιν καὶ καῦσιν, καὶ δραστήριον τὴν ποιήσασαν ὕλην καὶ ὑποκειμένην, ἐν ᾧ ταῦτα γίνεται. ἀλλὰ καὶ τὸ ἀνώμαλον κακόν ἐστιν, ἐὰν ὄγκος ἐστὶν ἐν τῷ ὑποχονδρίῳ, μάλιστα δὲ κακόν ἐστιν ἔνθα τὰ ἀμφότερα ὑποχόνδρια φλεγμαίνωσι. καὶ ἔστι τοῦτο ὁμαλὸν παρὰ φύσιν, ἐπειδὴ 7) ἀμφότερα ὁμοίως ἐφλέγμαναν. μέσον δὲ τοῦ ἀρίστου καὶ τοῦ χειρίστου ἐστὶν, ἐὰν τὰ μὲν μετέχωσι τοῦ πάθους, τὰ δὲ μὴ μετέχωσιν. εἶτα καὶ προσδιορίζεται, ὅτι τὰ τέσσαρα σημεῖα κακά ἐστι μετὰ τῶν λοιπῶν, ἐπειδὴ ἐνδείκνυται δαψίλειαν καὶ πλῆθος ὕλης, ἐφ᾽ ᾗ οὐ μόνον τὸν πυρετὸν

---

1) περὶ τείνοντα M. A. 2) ἀφλέγμαντον M. 3) κατὰ πάντα M. 4) κρίσιν M. 5) αἱ om. L. 6) κάκιστον M. 7) ὁμ. ἀμφ. M.

ἀνῆψεν, ἀλλ' ἀντήρκεσε καὶ τὰ πάθη ταῦτα ποιῆσαι,
ὅπερ κάκιστόν ἐστιν ἐν ὀξεῖ νοσήματι. κακὰ δὲ ἔστιν ἐν
ἀρχῇ τῆς νόσου ταῦτα γιγνόμενα. ἀρχὴν δὲ ἀκουστέον
ἐνταῦθα τὴν εἰκοστὴν ἡμέραν. ἡ γὰρ εἰκοστὴ ἡμέρα ἀκμή
ἐστι τῆς φλεγμονῆς, ἀρχὴ δὲ τῆς ἀποστάσεως καὶ πυο-
ποιήσεως. δεῖ γὰρ εἰδέναι, ὅτι ἐὰν ἔῤῥωται ἡ δύναμις,
καὶ ὡσαύτως 1) μένει ἡ ὀξύτης τοῦ πυρετοῦ μετὰ τὴν
εἰκοστὴν ἡμέραν, εἰς πυοποίησιν 2) τρέπεται τὸ ἀπό-
στημα. εἰ δέ γε ἀσθενής ἐστιν ἡ δύναμις καὶ ὑποχαλάσῃ
ὁ πυρετὸς καὶ βληχρότερος γένηται μετὰ τὴν εἰκοστὴν
ἡμέραν, ἢ θάνατον σημαίνει, ἢ 3) μῆκος νόσου, ὅπερ καὶ
αὐτὸ κάκιστόν ἐστι. πολλάκις δὲ πρὸ τῆς εἰκοστῆς ἡμέ-
ρας ἡ φύσις κριτικῶς κινουμένη, δι' αἱμοῤῥαγίας κινοῦσα
τὴν ὕλην, ἀπαλλάσσει τοῦ πάθους τὸ ὑποχόνδριον. προ-
γινώσκομεν δὲ τὴν μέλλουσαν κρίσιν δι' αἱμοῤῥαγίας γε-
νέσθαι ἀπὸ ἕξ τινων. οἱ τοιοῦτοι 4) κνῶνται τὴν ῥῖνα,
τὰ μῆλα τοῦ προσώπου αὐτῶν ἐρυθραίνονται, πυραυγῆ
καὶ ἐρυθρὰ φαντάσματα ὁρῶσιν, ἡλικία ἀκμαστική, κεφα-
λαλγία αὐτοῖς γίνεται 5) ἄλογος καὶ ἀμβλυώττουσιν.

Εἰ δὲ καὶ σφυγμὸς εἴη ἐν τῷ ὑποχονδρίῳ, θόρυβον ση-
μαίνει ἢ παραφροσύνην. —

Τινὰ τῶν ἀντιγράφων παλμὸν ἔχει. κακὸν δὲ ἔστι ση-
μεῖον. ὁ γὰρ παλμὸς ἐπὶ παχεῖ καὶ ψυχρώδει καὶ φυσώ-
δει πνεύματι γίνεται. κακὸν οὖν 6) ἐστι παλμὸν γίνεσθαι
ἐν ὀξεῖ νοσήματι, ἐπειδὴ ξένον καὶ ἀλλότριόν ἐστι τὸ
ἐπιγενόμενον σύμπτωμα. 7) τινὰ δὲ, εἰ δὲ καὶ σφυγμός
ἐστι, κακόν ἐστι καὶ τοῦτο σημεῖον. δηλοῖ γὰρ ἢ θόρυβον
τουτέστι δυσφορίαν τῷ κάμνοντι, ἀλλὰ καὶ τῷ τεχνίτῃ
ἀγῶνα περὶ τὰ πρακτέα διὰ τὸ μέγεθος τοῦ πάθους.
σφυγμὸν δὲ λέγει ἐνταῦθα τὴν σφυγματώδη ὀδύνην, θλι-
βομένου καὶ στενοχωρουμένου τοῦ μεγάλου σφυγμοῦ,
λέγω δὴ τῆς ἀρτηρίας. αὕτη γὰρ ἡ ἀρτηρία ἤγουν ἡ ἀορ-
τὴ πλησιάζει τῷ στομάχῳ καὶ τῷ διαφράγματι καὶ τῷ
ἥπατι. τούτων οὖν φλεγμαινόντων τῶν ὑποχονδρίων, ἐν

1) μένῃ M. 2) τρέπει M. A. 3) ὕπνος L. 4) κενοῦνται L.
5) ἄλγος M. 6) ἐπὶ Codd. ἐπὶ παλ. γίν. om. M. 7) τινὰ om L.
σφυγμὸν ἔχει M. A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 137 sur 382

τῷ σφύζειν οὐ δύναται ἀβιάστως ἐν τῷ κατὰ φύσιν διασταλῆναι, ἀλλ᾽ ἐν τῷ σφύζειν πλήττει τὸ φλεγμαῖνον μόριον καὶ ποιεῖ τὴν σφυγματώδη ὀδύνην, ὅπερ κάκιστόν ἐστιν ἐν ὀξεῖ νοσήματι. σημαίνει γὰρ παραφροσύνην, ἐπειδὴ ὁ ἐγκέφαλος συμπάσχει τοῖς νευρώδεσι μορίοις, ἔνθα ἢ πολλὰ 1) νεῦρα καταφύονται ἢ μέγιστα. ἐπειδὴ οὖν ἐνταῦθα ὁ στόμαχος 2) πολλὰ νεῦρα ὑποδέχεται, ἀλλὰ καὶ μέγιστα, ἐπὶ τῇ φλεγμονῇ τοῦ στομάχου ὁ ἐγκέφαλος ἄγεται εἰς συμπάθειαν διὰ τὴν συγγένειαν τῶν νεύρων, καὶ γίνεται ἡ παραφροσύνη. εἶτα ἐπειδὴ ἔφη ὅτι ἢ θόρυβον σημαίνει ἢ παραφροσύνην, καὶ προσδιορισμὸν τίθησι, πῶς ὀφείλομεν γνῶναι εἴτε παραφροσύνη μέλλει γενέσθαι εἴτε θόρυβος. καὶ λέγει ὅτι δεῖ τοὺς ὀφθαλμοὺς θεωρῆσαι, καὶ εἰ μὲν ἀστήρικτοί εἰσι καὶ τρομωδῶς κινοῦνται, γίνωσκε ὅτι παραφροσύνην σημαίνει. ἡ γὰρ τοιαύτη κίνησις τῶν ὀφθαλμῶν ἐπὶ βλάβῃ τῶν κινούντων μυῶν γίνεται. ἡ δὲ βλάβη τῶν κινούντων μυῶν δηλοῖ τὸ πρῶτον γένος τοῦ νευρώδους γένους κακῶς διακείμενον· τὸ δὲ νευρῶδες γένος δηλοῖ τὸν ἐγκέφαλον βεβλαμμένον, ἐφ᾽ 3) ᾧ ἡ παραφροσύνη ἕπεται. εἰ δὲ κατὰ φύσιν κινοῦνται οἱ ὀφθαλμοὶ, θόρυβον σημαίνει καὶ δυσφορίαν τοῦ κάμνοντος καὶ ἀγῶνα τῷ τεχνίτῃ περὶ τὰ πρακτέα διὰ τὸ μέγεθος τῆς διαθέσεως. δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι ἡ μανία 4) ἐπιτεταμένη ἐστὶ παραφροσύνη.

Ἢν γὰρ αἱ ὄψεις πυκνὰ κινέωνται, μανῆναι τούτους ἐλπίς. —

Ἐκ τούτου τοῦ ῥησιδίου κατασκευάζουσιν οἱ ἐξηγηταὶ ὅτι ἐν ἐγκεφάλῳ ἐστὶ τὸ ἡγεμονικόν. ἐὰν γὰρ 5) ἢ βλάβη τῶν ὀφθαλμῶν, δηλοῖ τὸν ἐγκέφαλον κακῶς διακείμενον, ἡ δὲ παραφροσύνη βλάβη ἐστὶ τοῦ ἡγεμονικοῦ· οὐκοῦν ἐν ἐγκεφάλῳ ἐστὶ τὸ ἡγεμονικόν. ὁ δὲ 6) νέος ἐξηγητὴς λέγει ὅτι, καὶ πόθεν δῆλον ὅτι ἐν καρδίᾳ οὐκ ἔστι τὸ ἡγεμονικόν; τὶ γὰρ ὅτι 7) ἡ βλάβη τῶν ὀφθαλμῶν τὴν καρδίαν ἐνδείκνυται 8) πεπονθέναι, καὶ οὐ τὸν ἐγκέφαλον τρόπῳ

1) τὰ add. M. 2) καὶ add. M. 3) ὧν L. 4) ἐστὶν ἐπιτ. M. 5) ἡ L. 6) Hinc patet, plurium interpretum commentarios Stephanum compilasse. 7) ἡ om. L. 8) βεβλαμμένην M. A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 138 sur 382

τοιούτῳ· πυρετὸς ὑπόκειται ὀξύς· ἐπὶ τῷ πυρετῷ βλά-
πτεται ἡ καρδία· ἐπὶ τῇ βλάβῃ τῆς καρδίας οὐ πέμπεται
ζωτικὸς τόνος 1) καὶ εὐκρασία ἐπὶ τὸν ἐγκέφαλον. ζωτι-
κοῦ δὲ τόνου μὴ πεμπομένου, οὐ τίκτεται 2) ζωτικὸν
πνεῦμα· τοῦ δὲ ζωτικοῦ πνεύματος μὴ τικτομένου, οὐ πέμ-
πεται δῆλον ἐπὶ τοὺς ὀφθαλμοὺς, ἐν ᾧ ἔχουσι τὸ διογ-
κοῦσθαι ἐν τῷ κατὰ φύσιν. καὶ ἰδοὺ 3) ἡ βλάβη τῶν
ὀφθαλμῶν δηλοῖ τὴν καρδίαν πεπονθυῖαν. βεβλαμμένης
δὲ οὔσης τῆς καρδίας, διὰ τῶν ἀρτηριῶν πέμπεται ἐπὶ
τὸν ἐγκέφαλον καὶ βλάπτεται ὁ ἐγκέφαλος καὶ ἐκ τοῦ
σύνεγγυς μεταδίδωσι 4) τὴν βλάβην καὶ τοῖς ὀφθαλμοῖς.
καὶ κατὰ μὲν πρῶπον λόγον διὰ τὴν καρδίαν γέγονεν ἡ
βλάβη καὶ τοῦ ἐγκεφάλου καὶ τῶν ὀφθαλμῶν. εἰ δὲ ταῦ-
τα οὕτως, ἐν καρδίᾳ ἐστὶ τὸ ἡγεμονικὸν, καὶ μέχρι τοῦ
νῦν ἐν 5) δισταγμῷ ἐστιν ἡ τοιαύτη ζήτησις, εἴτε ἐν
ἐγκεφάλῳ ἐστὶ τὸ ἡγεμονικὸν εἴτε ἐν καρδίᾳ.

Ἢν δὲ ὑπερβάλλῃ εἴκοσιν ἡμέρας ὅ τε πυρετὸς ἔχων καὶ
τὸ οἴδημα μὴ καθιστάμενον, ἐς διαπύησιν τρέπεται. —

Ὁ Ἱπποκράτης πάντα ὄγκον οἴδημα καλεῖν εἴωθεν,
καὶ δεῖ εἰδέναι ὅτι πάντες ὄγκοι ἢ διαφοροῦνται ἢ κατὰ
ποιότητα μεταβάλλονται. καὶ οἱ μὲν διαφορούμενοι πέρας
τὴν εἰκοστὴν ἡμέραν ἔχουσιν, οἱ δὲ κατὰ ποιότητα μετα-
βαλλόμενοι, εἰ μὲν ἔῤῥωται ἡ δύναμις καὶ ἡ σφοδρότης
τοῦ πυρετοῦ ὡσαύτως μένει, μετὰ τὴν εἰκοστὴν ἡμέραν
εἰς πυοποίησιν μεταβάλλει τοὺς ὄγκους. εἰ δὲ ἀσθενὴς
ἐστιν ἡ δύναμις καὶ ὁ πυρετὸς βληχρότερος γίνεται, μετα-
βάλλει μὲν τοὺς ὄγκους, ἀλλ' εἰς 6) νοσώδη καὶ δυσώδη
τινὰ ὑγρότητα.

Τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων καὶ ἀνώδυνα καὶ τῷ δα-
κτύλῳ ὑπείκοντα χρονιωτέρας καὶ τὰ ἑξῆς. —

Νῦν ὁ συγγραφεὺς περὶ τοῦ οἰδήματος τοῦ ἐν τοῖς ὑποχον-
δρίοις σημειοῦται, καὶ τὴν 7) ἑξηκοστὴν ἡμέραν ἀρχὴν τῆς
πυοποιήσωες τίθησιν, ἐπειδὴ 8) οὐ πέφυκε διαφορεῖσθαι

---

1) ἐπὶ τ. ἐγκ. καὶ εὐκρ. M. A. 2) ψυχικὸν Mercurialis in mg. M. et postea ψυχικοῦ loco ζωτικοῦ. 3) τῶν ὀφθ. ἡ βλάβη M. 4) τῆς βλάβης M. 5) διστασμοῖς M. 6) δυσ. καὶ νοσ. M. A. 7) εἰκοστὴν L. 8) τὰ οἰδ. οὐ πέφ. διαφ. M. A.

τὰ οἰδήματα διὰ τὴν ὕλην, ἀλλὰ πυοποιοῦνται. καὶ ἴσως ἀπορεῖ τις λέγων, ὅτι καὶ πόθεν δῆλον, ὅτι περὶ τοῦ κυρίου οἰδήματος διαλέγεται; καὶ λέγομεν ὅτι ἐξ ὧν εἴρηκε, δῆλον ὅτι περὶ τοῦ 1) κυρίου οἰδήματος διαλεγόμενος· ἔφη γὰρ τὰ μαλθακὰ τῶν οἰδημάτων καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ 2) πιεζόμενα καὶ ὑπείκοντα καὶ τὰ λοιπά. ταῦτα δὲ πάντα 3) οἰδήματός εἰσι χαρακτηριστικά. εἶτα καὶ ἀποροῦσι πάλιν, ὅτι καὶ τί δήποτε περὶ ὀξέων νοσημάτων προθέμενος διαλεχθῆναι ὁ Ἱπποκράτης 4) ἑξηκοστῆς ἡμέρας ἐμνημόνευσε, καίτοι τῶν ὀξέων νοσημάτων οὐδέποτε ἐν τῇ ἑξηκοστῇ ἡμέρᾳ περιγραφομένων, ἀλλὰ τῶν χρονίων ἐστὶν ἡ ἑξηκοστὴ ἡμέρα; καὶ λέγομεν τούτου δύο αἰτίας, μίαν μὲν ὅτι πολλάκις οἱ συγγραφεῖς κατὰ παρέκβασιν ὑπερβαίνουσι τὴν τάξιν διὰ τὸ μηδὲν παραλιπεῖν, ἢ τοῦτο εἰπὲ ὅτι τῇ ἀκολουθίᾳ καὶ τῇ ὁμοιότητι 5) παρακολουθοῦντες οἱ συγγραφεῖς παρεκβαίνουσι τοῦ οἰκείου σκοποῦ, ὅπερ νῦν πεποίηκεν ὁ Ἱπποκράτης. ἐπειδὴ γὰρ περὶ πυοποιήσεως φλεγμονῆς διελέγετο, ηὕρισκε καὶ τὸ οἴδημα πυοποιούμενον· διὰ τοῦτο τοῦ οἰκείου σκοποῦ μετῆλθε καὶ ἐπὶ τοῦτο μετήγαγε τὸν λόγον. δεῖ δὲ εἰδέναι ὅτι τὸ οἴδημα καὶ μακροχρόνιόν ἐστι διὰ τὴν ὕλην. 6) ψυχρὸν γάρ ἐστιν, ἀλλὰ καὶ ἀκίνδυνον, ἐπειδὴ 7) ἀνώδυνόν ἐστιν. οὐδὲν γὰρ οὕτως καταβάλλει τὰς δυνάμεις ὡς αἱ ὀδύναι. καὶ ἰστέον ὅτι πάντες οἱ ὄγκοι ἢ πρωιαίτερον ἢ ὀψιαίτερον πυοποιοῦνται διά τε τὴν ὕλην καὶ διὰ τὸ μόριον. καὶ διὰ μὲν τὴν ὕλην τριχῶς, παρά τε τὸ ποσὸν καὶ τὸ ποιὸν καὶ τὴν σύστασιν τῆς ὕλης. καὶ παρὰ μὲν τὴν σύστασιν ἡ λεπτὴ ὕλη πρωιαίτερον πυοποιΐσκεται, ἡ δὲ παχεῖα ὀψιαίτερον· παρὰ δὲ τὴν ποιότητα, ἡ θερμὴ ὕλη πρωιαίτερον, ἡ δὲ ψυχρὰ ὀψιαίτερον. παρὰ δὲ ποσότητα, ἡ ὀλίγη ὕλη πρωιαίτερον πυοποιΐσκεται, ἡ δὲ πολλὴ ὀψιαίτερον. τινὲς δὲ ἐκ τοῦ ἐναντίου λέγουσιν ὅτι ἡ πολλὴ ὕλη πρωιαίτερον πυοποιΐσκεται, ἐπειδὴ τῷ πλήθει κατεπείγεται ἡ φύσις, στενοχωρουμένη ὑπὸ τοῦ πλήθους καὶ

---

1) κυρίως L. 2) πιεζ. καὶ om. M. A. 3) οἰδήματα L. 4) Hippocrates vigesimum diem statuit. 5) κατακολ. M. 6) ψυχρὰ L. 7) ἄνωθεν ὑν. L.

κινουμένη συντόνως, πρωιαίτερον πυοποιεῖ αὐτήν. παρὰ δὲ τὸ πεπονθὸς διάφορον μόριον τετραχῶς, παρά τε τὸ ἀξίωμα τοῦ μορίου, καὶ παρὰ τὴν θέσιν καὶ παρὰ τὴν κράσιν. 1) καὶ παρὰ τὴν ἀξίαν γοῦν τῶν κυριωτέρων μορίων, μᾶλλον φροντίζουσα ἡ φύσις, ἐὰν ὑποστῇ ὄγκος τις ἐν κυρίῳ μορίῳ, κήδεται αὐτοῦ καὶ ἐπεγείρεται, ὥστε ἀπαλλάξαι αὐτὸ τῶν λυπέντων, καὶ πρωιαίτερον πυοποιεῖ 2) αὐτόν. εἰ δὲ ἀκυρότερόν ἐστι τὸ μόριον, οὐχ οὕτως φροντίζει αὐτοῦ καὶ ὀψιαίτερον πυοποιεῖ τὸν ὄγκον· διὸ μᾶλλον φροντίζει ἥπατος πάσχοντος ἤπερ γαστρὸς, καὶ μᾶλλον κήδεται γαστρὸς ἤπερ σπληνὸς, καὶ μᾶλλον σπληνὸς ἤπερ ἐντέρων. παρὰ δὲ τὴν θέσιν, ὅσα πλησιάζει κυρίοις μορίοις, πρωιαίτερον 3) πυοποιεῖ τοὺς ὄγκους τυχὸν τὰ παρακείμενα μόρια τῷ διαφράγματι καὶ ἥπατι καὶ καρδίᾳ καὶ τοῖς τοιούτοις. φροντίζει γὰρ ἡ φύσις, ἵνα μὴ ἐκ τοῦ σύνεγγυς μετασχῇ τῆς κακίας τὰ κύρια μόρια, καὶ πρωιαίτερον πυοποιεῖ αὐτά. εἰ δὲ ἀφεστήκασιν, ὀψιαίτερον πυοποιοῦνται. διὰ δὲ τὴν κράσιν, τὰ μὲν θερμότερα πρωιαίτερον πυοποιοῦνται, τὰ δὲ ψυχρότερα ὀψιαίτερον. καὶ τὰ μὲν μαλθακὰ καὶ μανὰ, πρωιαίτερον διὰ τὴν θερμότητα, τὰ δὲ σκληρὰ 4) καὶ πυκνὰ ὀψιαίτερον, διὰ τὴν ψυχρότητα, ὥσπερ νεῦρα καὶ μύες καὶ τὰ τοιαῦτα. τινὲς καὶ ἐνταῦθα ἐκ τοῦ ἐναντίου λέγουσιν, ὅτι τὰ πυκνὰ καὶ 5) στεγνὰ, ἐπειδὴ ἐναποκέκλειστα τὸ ἐν αὐτοῖς θερμὸν, πρωιαίτερον πυοποιοῦνται κατὰ τὸ εἰρημένον 6) ἐν ἄλλοις ὑπὸ τοῦ Ἱπποκράτους, ὁκόσα πεπαίνεσθαι χρὴ, ἐγκατακεκλεῖσθαι 7) χρή. οὕτως δὲ καὶ ἐν τῇ συνηθείᾳ ποιοῦμεν, τὰ δεόμενα πυοποιήσεως οὐ τοῖς διαφοροῦσι κεχρήμεθα, ἀλλὰ τοῖς πυκνοῦσιν. εἶτα καὶ προσδιορισμὸν τίθησιν· ἐπειδὴ γὰρ περὶ οἰδήματος αὐτῷ ὁ λόγος, λέγει καὶ ποία ἡ ἀρίστη ἐστὶ ῥῆξις ἐπὶ τῶν ἀποστημάτων. φησὶ γὰρ ὅτι ὁκόσα ἔσω ῥήγνυται, ἄριστά ἐστι. καὶ ἵνα σαφῶς τοῖς λεγομένοις παρακολουθήσωμεν, δεῖ εἰδέναι, ὅτι αἱ ῥήξεις τῶν ἀποστημάτων ἢ ἐντὸς γί-

---

1) καὶ παρὰ μὲν τὸ ἀξίωμα M. A. γοῦν om. M. 2) αὐτὴν M. 3) πυοποιεῖται L. 4) καὶ πυκνὰ om. L. πρωϊαίτερον L. 5) στεγανὰ L. 6) ἐν ἄλλοις om. L. Hipp. Epidem. VI. 7) δεῖ M. A.

νονται ἢ ἐκτὸς, ἢ κατὰ τὸ συναμφότερον καὶ ἐντὸς καὶ ἐκτός. καὶ ἡ μὲν ἐπὶ τὰ ἐκτὸς γινομένη ῥῆξις πασῶν ἀγαθωτέρα καὶ ἀκίνδυνός ἐστιν· ἡ δὲ κατὰ τὸ συναμφότερον χειρίστη πασῶν ἐστιν· ἡ δὲ ἐπὶ τὰ ἐντὸς μέσως πώς ἐστι τούτων· πρὸς μὲν τὴν ἐπὶ τὰ ἐκτὸς ῥῆξιν χεῖρόν ἐστι, πρὸς δὲ τὴν κατὰ τὸ συναμφότερον εὐϊατοτέρα ἐστὶ καὶ ἀκίνδυνος, ἐπειδὴ ἡ κατὰ τὸ συναμφότερον γινομένη ῥῆξις οὐ μόνον ἐπὶ τὰ ἐντὸς 1) μολύνει τὸ ἔμφυτον θερμὸν, ἀλλὰ καὶ ἐπὶ τὰ ἐκτὸς συριγγοῖ τοὺς τόπους ἐκείνους καὶ κατανέμεται. ὅταν οὖν ὁ Ἱπποκράτης ἐπαινῇ τὴν ἐπὶ τὰ ἐντὸς ῥῆξιν, ἀρίστην αὐτὴν ὑποτιθέμενος, οὐ πρὸς τὴν ἔξωθεν γινομένην ῥῆξιν παραβάλλων ταῦτα λέγει, ἀλλὰ τὴν πρὸς τὸ συναμφότερον γινομένην.

**Τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ ὑπείκοντα χρονιωτέρας τὰς κρίσιας ποιέεται. —**

Οὐ ταυτολογεῖ ἐνταῦθα ὁ Ἱπποκράτης, εἰπὼν μαλθακὰ καὶ πάλιν τῷ δακτύλῳ ὑπείκοντα, ἀλλ᾽ ἵνα ἐπίτασιν τῆς ὁμαλότητος δηλώσῃ, ἔφη καὶ τῷ δακτύλῳ ὑπείκοντα, ἐπειδὴ οὐ πᾶν μαλθακὸν ὑπείκει τῷ δακτύλῳ· τὸ δὲ εἰπεῖν τὰς κρίσιας ποιέεται, τὴν πυοποίησιν ἐδήλωσε τουτέστιν ὅτι χρονιωτέρας τὰς πυοποιήσεις ποιέεται ἐπὶ τῶν οἰδημάτων. καὶ σκόπησον, ὅτι τῷ τῆς κρίσεως ὀνόματι οἱ παλαιοὶ οὐ μόνον ἐπὶ τῶν ὀξέων νοσημάτων 2) τιθέασιν, ἀλλὰ καὶ ἐπὶ τῶν χρονίων, ὥσπερ ἐνταῦθα.

**Καὶ τοῦτο καὶ τὸ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τὸ αὐτό. —**

Ἰστέον ὅτι ὁ Ἱπποκράτης κοιλίαν οὐ μόνον τὴν γαστέρα καὶ τὰ ἔντερα καὶ τὸν θώρακα καλεῖ, ἀλλὰ καὶ τὸν σπλῆνα καὶ τὸ ἧπαρ κοιλίας καλεῖ 3) ἐνταῦθα. περὶ γὰρ τῶν ὑποχονδρίων αὐτῷ ὁ λόγος.

**Τὸ δὲ πῦον ἄριστον λευκόν τε καὶ λεῖον, καὶ ὁμαλὸν καὶ ὡς ἥκιστα δυσῶδες. —**

*Διαλεχθεὶς* ὁ Ἱπποκράτης περὶ τῶν πυοποιουμένων εἰς τὰ ὑποχόνδρια ἀποστημάτων νῦν σημειοῦται αὐτὰ,

---

1) μολύνει — ἐκτὸς om. L. 2) Fort. χρῶνται. 3) ὁ Ἱπποκράτης add. L.

καὶ ἀπὸ τοῦ κενουμένου τουτέστι τοῦ πύου, καὶ λέγει ποῖον ἄριστόν ἐστι, καί φησι, ὅτι τὸ ἄριστον πῦον λευκόν τε εἶναι καὶ λεῖον καὶ ὁμαλὸν καὶ ἥκιστα δυσῶδες, ὅπερ γίνεται καὶ ἐπὶ ἰσχύι δυνάμεως καὶ συμμετρίᾳ τοῦ ἐμφύτου θερμοῦ. λοιπὸν δεῖ ἡμᾶς καὶ τὰς αἰτίας εἰπεῖν, ἀλλ' ἵνα τοῦτο σαφῶς διαγνῶμεν, δεῖ ἡμᾶς ἐπιμνησθῆναι τίνων μεμαθήκαμεν ἐν φυσικοῖς, ὅτι τέσσαρές εἰσιν αἱ φυσικαὶ δυνάμεις καὶ ὅτι ἡ ἀλλοιωτικὴ δύναμίς ἐστιν ἡ ἀλλοιοῦσα καὶ πέττουσα καὶ ἐξομοιοῦσα τὴν τροφὴν ὁμοίαν τῷ τρεφομένῳ μορίῳ. ἀλλὰ καὶ τοῦτο ἴσμεν, ὅτι τὰ μόρια πρὸς ἑαυτὰ ἐξομοιοῦσι τὴν τροφὴν καὶ οὕτως τρέφονται. 1) οὐδὲν γὰρ ἄλλο ἐστὶ θρέψις ἢ ὁμοίωσις τοῦ τρέφοντος πρὸς τὸ τρεφόμενον. ἀλλὰ καὶ τοῦτο ἴσμεν ὅτι τὰ στερεὰ μόρια λευκά ἐστιν ὥσπερ χόνδροι καὶ νεῦρα, καὶ ὑμένες καὶ φλέβες καὶ ἀρτηρίαι καὶ τὰ τοιαῦτα, ὅτι ἐκ σπέρματος 2) ἔχοντα τὴν γένεσιν ἐκ σπέρματος καὶ τρέφονται. τὸ γὰρ λόγῳ τροφῆς φερόμενον ἐν αὐτοῖς αἷμα, ἐξομοιοῦσιν 3) αὐτὸ πρὸς τὴν οἰκείαν φύσιν καὶ ἐκσπερματοῦσι καὶ οὕτως τρέφονται. τούτων οὕτως εἰρημένων, σαφὴς καὶ δήλη γέγονεν ἡμῖν ἡ αἰτία, καθ' ἣν λευκὸν γίνεται τὸ πῦον. τοῦτο δὲ τὸ συῤῥεῦσαν αἷμα ἐν τοῖς ὑποχονδρίοις καὶ ποιῆσαν τὴν φλεγμονὴν ἢ σήπεται ἢ πέττεται. καὶ εἰ μὲν ἀσθενής ἐστιν ἡ δύναμις, καὶ τὸ 4) ἔμφυτον θερμὸν ἐξέστη τῶν οἰκείων ὅρων, τουτέστι τῆς εὐκρασίας, καὶ δύσκρατον γέγονε, τότε οἷον ὡς ἀπὸ ἀψύχου τινὸς ἀπρονόητον μένον σήπεται. εἰ μέντοι ἔῤῥωται ἡ δύναμις καὶ τὸ ἔμφυτον θερμὸν εὐκράτως διάκειται ὡς προνοούμενον, τότε τὸ αἷμα 5) πέττεται καὶ τὸ ἄριστον πῦον γίνεται. χαρακτηρίζεται δὲ ἀπὸ τῆς εὐκρασίας. ἐὰν γὰρ ἀσθενῶς διάκειται ἡ δύναμις καὶ τὸ ἔμφυτον θερμὸν τῆς οἰκείας κράσεως ἐξέστηκε, τότε πέττεται μὲν, ἀλλὰ τὸ χείριστον καὶ δυσῶδες γίνεται πῦον. εἰ μέντοι ἔῤῥωται ἡ δύναμις καὶ 6) εὐκράτως διάκειται τὸ ἔμφυτον θερμὸν, ὡς ἀνεπίμικτον ἔχον τὴν ποιητικὴν αἰτίαν, καὶ ἐπαμφοτερίζον, τότε τὸ ἄριστον πῦον γίνεται, ὅπερ

---

1) ὅρος θρέψεως in mg. L. Argumentum. 2) ἔχουσα M. 3) αὐτῷ M. A. 4) ἐμφυτευθὲν M. A. 5) σήπεται L. 6) ἀκράτου A.

1) αὐτὸς ἔφη, ἥκιστα δυσῶδες. ἐπειδὴ 2) δὲ τὸ συῤῥεῦσαν αἷμα ἔξω τῶν ἀγγείων γενόμενον παρὰ φύσιν λοιπόν ἐστι, καὶ οὐχ αἷμά ἐστι κυρίως, διὰ τοῦτο ἧττον μετέχει 3) τῆς δυσωδίας. λευκὸν οὖν τὸ πῦον γίνεται, ἐπειδὴ εἰς τὸ χρῶμα τῶν στερεῶν ἄγεται. ἡ γὰρ μεταβολὴ τοῦ συῤῥεύσαντος αἵματος ἐν τοῖς ὑποχονδρίοις, τοῦ τὴν φλεγμονὴν ἐργασαμένου, ἡνίκα εἰς πυοποίησιν τρέπεται, ἐν τοῖς στερεοῖς γίνεται, ὥσπερ καὶ το σπέρμα ἐν αὐτοῖς τοῖς στερεοῖς μεταβάλλεται. ἀλλὰ τὸ μὲν σπέρμα ὑπὸ τοῦ κατὰ φύσιν αἵματος γίνεται τοῦ λόγῳ τροφῆς φερομένου ἐν τοῖς στερεοῖς μορίοις, καὶ οὕτω μεταβαλλόμενον εἰς σπέρματος φύσιν ἀποσπερματοῦται. τὸ δὲ πῦον ἀπὸ ἀχρήστου 4) ὕλης καὶ ἀπρονοήτου γίνεται. ἄριστον δὲ πῦον λέγομεν, αὐτὸ παραβάλλοντες πρὸς τὸ 5) κάκιστον πάντη πῦον, διὰ τὴν ἐπικράτειαν τῆς τε δυνάμεως καὶ τῆς εὐκρασίας τοῦ ἐμφύτου θερμοῦ. ἐπειδὴ δὲ ἐξ ἀχρήστου ὕλης γίνεται, διὰ τοῦτο δυσῶδές ἐστιν ὀλίγον· διὰ τοῦτο καὶ δεύτερον πλοῦν 6) λέγομεν τὴν φύσιν ὁδεύειν ἐπὶ τῆς πυοποιήσεως διὰ τὸ ἀνεπιτηδείως ἔχειν τὴν ὕλην πρὸς τὸ τὴν ἀκριβῆ πέψιν καὶ ἀλλοίωσιν ἐπιδέξασθαι. καὶ ἴσως ἀπορεῖ τις λέγων, ὅτι ἐπειδὴ ἡ φλεγμονὴ μάλιστα ἐν ταῖς σαρξὶ συνίσταται, ἔδει ποτὲ καὶ ἐρυθρὸν γενέσθαι τὸ πῦον, ὀφειλουσῶν τῶν σαρκῶν πρὸς τὴν ἑαυτῶν φύσιν ἐξομοιῶσαι τὸ συῤῥεῦσαν αἷμα. καὶ λέγομεν ὅτι 7) τὸ αἷμα ἡνίκα πλεονάζει κατὰ ποσότητα, διηθεῖται ἐκ τῶν ἀγγείων, κατὰ ἀπολακτισμόν τινα, καὶ φέρεται εἰς τὰς κενὰς χώρας. 8) εἶτα ἐνεχθὲν ἐς τὰς κενὰς χώρας καὶ ἀπρονόητον μένει καὶ σήπεται καὶ σηπόμενον δαπανᾷ τὰς 9) παρακειμένας σάρκας. ἐπειδὴ δέ εἰσιν ἶνες ἐν αὐταῖς καὶ ὑμένες, ταῦτα δὲ ὡς δυσπαθῆ οὐ πάσχουσί τι, ἀλλὰ μένουσι καὶ πρὸς τὴν οἰκείαν φύσιν ἐξομοιοῦσι καὶ λευκὸν ἀπεργάζονται ἐκεῖνο τὸ αἷμα, τὸ τηνικαῦτα πῦον. ἀλλ' ἴσως ἀπορήσει τις λέγων, ὅτι ὅλη οὖν ἡ σὰρξ δαπανᾶται, καὶ μὴν ὁρῶμεν ἐπὶ τῶν ἑλκῶν,

---

1) αὐτὸ M. 2) καὶ M. 3) τῆς om. M. 4) καὶ ἀπρ. ὕλ. M. 5) πάντη κάκ. M. 6) ἐλέγομεν M. 7) ἡνίκα τὸ αἷμα M. 8) εἶτα — χώρας om. L. 9) παρειμένας L.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 144 sur 382

ὅτι πολλάκις αἱ σάρκες οὐδὲ φθείρονται, οὐδ᾽ ἶνες
1) πάντη διαφθείρονται· ἐπείτοι γε πῶς τὰ ἕλκη σαρ-
κοῦνται ἀπὸ τοῦ πάντη μὴ ὄντος; ἐὰν γὰρ μηδόλως ἐστὶ
σὰρξ περιλειφθεῖσα, οὐκοῦν οὐδὲ σαρκοῦνται, ἀλλὰ μὴν
σαρκοῦνται καὶ ἐμμένει σὰρξ, καθ᾽ ἣν ἀναπληροῦται ἡ
δαπανηθεῖσα σὰρξ ἐπὶ τῶν ἑλκῶν; καὶ λέγομεν ὅτι εἰ
καὶ μένουσι σάρκες τινὲς, ἀλλ᾽ οὖν αἱ σάρκες εὐπαθεῖς
εἰσι, καὶ ὡς εὐπαθεῖς οὐκ ἐξομοιοῦσιν ὡς πρὸς τὴν οἰ-
κείαν φύσιν καὶ ἐρυθρὸν ποιοῦσι τὸ πῦον, ἀλλ᾽ αἱ ἶνες
ἰσχυραὶ οὖσαι καὶ δυσπαθεῖς πρὸς τὴν οἰκείαν φύσιν ἐξο-
μοιοῦσι τὸ αἷμα ἐκεῖνο καὶ λευκὸν τὸ πῦον γίνεται. ὅθεν
ἐὰν ἐν ἥπατι ὑποσταίη φλεγμονὴ, 2) ἡ πυοποίησις οὐ γί-
νεται 3) ἀκριβῶς λευκὴ διὰ τὸ πλεῖστον τοῦ παρεγχύ-
ματος τοῦ ἥπατος σαρκῶδες εἶναι· ὀλίγας δὲ ἶνας ἡ φύ-
σις ἐν αὐτῷ ἐνέθηκε, καὶ διὰ τοῦτο οὐκ ἀκριβῶς λευκὸν
γίνεται τὸ πῦον διὰ τὴν ὀλιγότητα τῶν ἰνῶν. αὕτη οὖν
ἐστιν ἡ αἰτία, καθ᾽ ἣν λευκὸν γίνεται τὸ πῦον καὶ ἧττον
δυσῶδες καὶ λεῖον.

Τὸ λεῖον κατὰ τὸν χρόνον δεῖ νοῆσαι, ὅτι δεῖ λευκὸν
εἶναι τὸ πῦον ἀείσε καὶ μή ποτε μὲν λευκὸν, ποτὲ δὲ
φαιὸν ἢ τρυγῶδες καὶ τὰ τοιαῦτα.

Καὶ ὁμαλόν. —

Τὸ ὁμαλὸν, δεῖ 4) αὐτὸ κατὰ τὸ ὁμοιομερὲς ὑπολαβεῖν·
τοῦτο δὲ διττόν ἐστι κατὰ τὴν σύστασιν καὶ κατὰ τὸν χρόνον·
καὶ κατὰ μὲν τὴν σύστασιν, ἵνα μὴ τὸ μὲν αὐτοῦ μέρος ἐστὶ
παχὺ, τὸ δὲ λεπτὸν, ἀλλ᾽ ὅμοιον κατὰ πᾶν ἑαυτῷ. κατὰ δὲ
τὸν χρόνον, ἵνα μή ποτε μὲν φαιόν ἐστι, ποτὲ δὲ ἀμόργη,
καὶ τὰ τοιαῦτα, ἀλλὰ κατὰ πᾶν ἑαυτῷ λευκότατον δεῖ
εἶναι· τοῦτο ἔστι τὸ ἄριστον πῦον καὶ κατὰ φύσιν. τὸ δὲ
παρὰ φύσιν ἐστὶ τὸ μὴ ὂν λευκὸν μηδὲ λεῖον, ἀλλὰ σή-
μερον μὲν τρυγῶδες, αὔριον δὲ κυανοῦν, ποτὲ δὲ μελάν-
τερον καὶ τὰ τοιαῦτα. ἀλλὰ καὶ ἀνώμαλον αὐτὸ δεῖ εἶναι
5) κατά τε τὴν σύστασιν καὶ τὸν χρόνον· ποτὲ μὲν γὰρ
παχὺ, ποτὲ δὲ λεπτὸν, ποτὲ δὲ ἐκτετηκὸς καὶ τὰ τοιαῦτα.

---

1) πάντη om. M. 2) πυοποιηθῇ M. A. 3) ἀκριβὴς Codd.
4) αὐτῷ M. αὐτὸν A. 5) καὶ τὰ τοιαῦτα τὴν I.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 145 sur 382

ἔστι δὲ καὶ μέσον πῦον· τούτου δὲ πολλή ἐστιν ἡ διαφορὰ πρὸς τὴν κρᾶσιν τούτων ἢ ἐκείνων καὶ παρὰ τὸ μᾶλλον καὶ ἧττον γινόμενον πρὸς τὸ πλησιάζον.

*Καὶ ἥκιστα δυσῶδες.* —

Δεῖ εἰδέναι ὅτι τριττή ἐστιν ἡ πέψις, πρώτη μὲν ἡ κατὰ φύσιν, ὥσπερ ἡ χυλοποίησις καὶ ἡ ἐξαιμάτωσις, δευτέρα δὲ ἡ παρὰ φύσιν, ὥσπερ ἡ σῆψις, καὶ τριττὴ πέψις ἐστὶν ἡ μέση τούτων, καθ᾽ ἣν τὸ πῦον γίνεται. τοῦτο δὲ τὸ πῦον ἥκιστά ἐστι δυσῶδες διὰ τὴν ἐπικράτειαν τῆς τε δυνάμεως καὶ 1) τῆς εὐκρασίας τοῦ ἐμφύτου θερμοῦ. ἀλλ᾽ ἐπειδὴ ἐπίμικτός ἐστιν, καὶ ἐπαμφοτερίζει ἡ ποιητικὴ αἰτία, ἄχρηστός ἐστιν ἡ ὕλη· διὰ τοῦτο ἧττον μετέχει δυσωδίας. ἐπεὶ οὖν ταῦτα εἴρηται, ἐν οἷς σὺν θεῷ καὶ τὸ πρῶτον τμῆμα πληροῦται.

## ΑΡΧΗ ΣΥΝ ΘΕΩ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΜΗΜΑΤΟΣ.

**Οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων πάντες κακοί.** —

Ἀρχόμενος τοῦ δευτέρου τμήματος ὁ Ἱπποκράτης τὴν τῶν ὑδέρων μεταχειρίζεται διδασκαλίαν, ἵνα συνάφειαν χαρίσηται τὰ μέλλοντα πρὸς τὰ φθάσαντα, ἐπειδὴ καὶ ὁ ὕδερος πάθος ἐστὶν ἐν τοῖς ὑποχονδρίοις συνιστάμενον. καὶ μηδεὶς ὑπολάβῃ, ὅτι περὶ χρονίων νοσημάτων διαλέγεται ὁ Ἱπποκράτης, καίτοι προθέμενος περὶ ὀξέων διαλαβεῖν, ἀλλὰ περὶ τῶν ὀξέων 2) νοσημάτων διαλεγόμενος

1) τῆς εὐκρ. om. M. A. 2) τῶν ἐκ μεταπτώσεως διαλέγεται, διαλαμβάνει L.

διαλαμβάνει καὶ περὶ τῶν ἐκ μεταπτώσεως ὀξέων καθάπερ 1) καὶ τοῦτο νῦν δείκνυσιν αὐτοῦ ἡ ῥῆσις. ἔφη γὰρ, οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων πάντες κακοί. ἰδοὺ περὶ τῶν ἐκ μεταπτώσεως ὀξέων διαλέγεται, καὶ οὐ περὶ τῶν χρονίων.

Οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάσσουσιν, ἐπώδυνοί τέ εἰσι καὶ κάρτα θανατώδεες. —

Καὶ καλῶς ἐπώδυνοί εἰσι. τοῦ γὰρ ὑγροῦ ἀθροισθέντος ἀθρόως περὶ τὰ ὑποχόνδρια, τείνονται καὶ τῇ τάσει κινδυνεύοντα διαῤῥαγῆναι τῇ ὀδυνηρᾷ συναισθήσει ὀδυνῶνται.

Οὔτε τοῦ πυρὸς ἀπαλλάσσουσιν. —

Τοῦτό μοι δοκεῖ μὴ κυρίως ἀληθὲς εἶναι. ἐρεῖ γάρ τις ὅτι πῶς οὐκ ἀπαλλάσσονται τοῦ πυρετοῦ, εἴ γε τοσούτου ὑγροῦ ἐστιν ἄθροισις; τὸ γὰρ ὑγρὸν σβέννυσι τὴν δυσκρασίαν καὶ παύει τὸν πυρετόν. πρὸς ὅ τινες ἀπολογοῦνται, ὅτι διὰ τοῦτο οὐκ ἀπαλλάσσονται τοῦ πυρετοῦ οἱ ὑδεριῶντες, ἐπειδὴ ὁ πυρετὸς δι' ὅλου τοῦ σώματός ἐστιν ἐκτεταμένος, τὸ δὲ ὑγρὸν ἐν ἑνὶ μορίῳ ἐστὶ συναθροιζόμενον, καὶ οὐ δύναται ἡ μερικὴ συναγωγὴ τοῦ ὑγροῦ ἀπαλλάξαι τὴν δυσκρασίαν ὅλου τοῦ σώματος καὶ παῦσαι τὸν πυρετόν. ἐπιπόλαιος δέ ἐστιν ἡ ἀπολογία αὕτη. ἐρεῖ γάρ τις πρὸς αὐτοὺς, ὅτι κἂν ἐν ἑνὶ μορίῳ ἐστὶν ἡ συναγωγὴ τοῦ ὑγροῦ, ἀλλ' οὖν ἐν αὐτῇ τῇ 2) ἑστίᾳ, λέγω δὴ περὶ τὰ ὑποχόνδρια καὶ τὴν καρδίαν ἐστὶ, καὶ ἐὰν τὴν καρδίαν καθυγράνῃ καὶ ἀποσβέσῃ, κατὰ τὸ συμβεβηκὸς καὶ ἡ ἐν ὅλῳ τῷ σώματι δυσκρασία 3) ἀποπαύσεται. διὸ δεῖ τὴν ἀληθεστέραν εἰπεῖν αἰτίαν, ὅτι κἂν πολλοῦ ὑγροῦ ἐστι συνάθροισις ἐπὶ τῶν ὑδεριώντων, ἀλλὰ 4) λοιπὸν οὐ παύει τὸν πυρετὸν, ἐπειδὴ τῇ φαντασίᾳ καὶ μόνῃ φαίνεται ὑγρόν· ἐπείτοι γε τῇ δυνάμει κακόχυμον ὂν καὶ ἁλμυρὸν, θερμόν ἐστι καὶ ξηρὸν καθάπερ καὶ ἐπὶ τοῦ θαλασσίου ὕδατος ἔχει. καὶ διὰ τοῦτο δὴ καὶ τὸ ὑγρὸν τὸ ἀθροιζόμενον ἐπὶ τῶν ὑδεριώντων τῇ μὲν φαντασίᾳ ὑγρὸν φαίνεται, τῇ δὲ δυνάμει θερμαίνει καὶ ξηραίνει διὰ τὸ

---

1) νῦν καὶ τοῦτο M. 2) αἰτίᾳ M. A. 3) ἀποπαύεται M. 4) λοιπὸν om. M.

μετέχειν κακοχυμίας τινὸς καὶ ἁλμυρότητος καὶ σηπεδόνος. καὶ διὰ τοῦτο οὐ παύει τὸν πυρετὸν, ἀλλὰ καὶ δυψώδεις εἰσὶν οἱ ὑδεριῶντες. καὶ ἐπὶ τῇ δίψῃ πάλιν τὸ αὐτὸ ἄπορον δοκεῖ εἶναι καὶ ἡ αὐτὴ λύσις· εἶτα λοιπὸν λέγει, πῶς γίνονται οἱ ὕδρωπες καί φησιν, ὅτι·

Ἄρχονται δὲ οἱ πλεῖστοι ἐκ τῶν κενεώνων τε καὶ τῆς ὀσφύος, οἱ δὲ καὶ ἀπὸ τοῦ ἥπατος. —

Κενεῶνας δὲ καλεῖ ἐκεῖνα τὰ μόρια, τὰ ἀπὸ 1) τοῦ τελευταίου πλευροῦ μέχρι τοῦ ὀστοῦ τῆς λαγόνος. δοκεῖ γὰρ ταῦτα παρὰ πάντα τὰ μόρια, τά τε ὑπερκείμενα ἢ ὑποκείμενα τυχὸν θώρακα καὶ ὑποχόνδρια καὶ γαστέρα καὶ κύστιν, κενότερα εἶναι. ἐπείτοι γε καὶ ταῦτα οὐκ εἰσὶ κενὰ, ἀλλὰ περιέχουσι τὰ λεπτὰ ἔντερα καὶ τὰ μεσεντέρια. ἁπλῶς οὖν αὐτὸς λέγει ὅτι ἄρχονται ἢ ἀπὸ τοῦ ἥπατος, ἢ ἀπὸ τῶν κενεώνων. σὺ δὲ εἰπὲ, ὅτι 2) καὶ πᾶς ὕδερος ἐπὶ ἀσθενείᾳ τοῦ ἥπατος γίνεται καὶ ἐπὶ ἀποτυχίᾳ τῆς 3) αἱματοποιητικῆς δυνάμεως, ἀλλὰ καὶ τοῦτο ἢ κατὰ πρωτοπάθειαν ἢ καὶ κατὰ συμπάθειαν γίνεται· καὶ κατὰ συμπάθειαν διαφόρως· ἢ γὰρ διὰ γειτνίασιν 4) συμπάσχουσι τὰ μόρια, ἢ διὰ συγγένειαν μεγίστων ἀγγείων, λέγω δὴ ἀξιολόγων φλεβῶν ἢ ἀρτηριῶν ἢ νεύρων 5) ἢ τῶν τοιούτων. εἶτα λοιπὸν συνελόντες οἱ ἐξηγηταὶ τὸν περὶ τῶν ὑδέρων λόγον, εἰς τέσσαρα κεφάλαια τὴν πᾶσαν θεωρίαν 6) συνάγουσιν.

Καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου κεφαλαίου καὶ 7) λεκτέον· 8) τί ἐστιν ὕδερος; Ὑδερός ἐστι συναγωγὴ ὑγροῦ παρὰ φύσιν, μεταξὺ περιτοναίου καὶ ἐντέρων 9) πρὸς ἀντιδιαστολὴν τῆς ὑγροκήλης. καὶ γὰρ κἀκείνη συναγωγή ἐστιν ὑγροῦ, ἀλλ᾽ οὐχὶ μεταξὺ περιτοναίου καὶ ἐντέρων, ἀλλ᾽ ἐν ἄλλοις μορίοις. ἀλλὰ δοκεῖ ἀτελῶς ἔχειν τὸν ὁρισμὸν, ἐπειδὴ τὸν ἀνὰ σάρκα ὕδερον οὐ περιλαμβάνει. ὁ γὰρ ἀνασάρκα, ἐν τῷ παντὶ σώματι οὔσης τῆς βλάβης, γίνεται, οὐ μὴν μεταξὺ περιτοναίου καὶ ἐντέρων.

1) τοῦ πλ. τοῦ τελ. M. 2) καὶ om. M. 3) ἐξαιματ. L. 4) συμπάσχοντα L. A. συγγένειαν om. L. 5) καὶ M. 6) εἰσάγουσι L. 7) εἰπεῖν M. A. sc. χρή. 8) ὅρος ὑδέρου L. in mg. 9) πρὸς — ἐντέρων om. M. A.

διὸ δεῖ εἰπεῖν, ὅτι ὕδερός ἐστι συναγωγὴ ὑγροῦ παρὰ
φύσιν μεταξὺ περιτοναίου καὶ ἐντέρων ἢ ἐν τῷ σαρκώδει
μέρει τῶν μυῶν.

Δεύτερον κεφάλαιόν ἐστιν, ἐν ᾧ δεῖ ἡμᾶς 1) τὰ μό-
ρια εἰπεῖν, ἐν οἷς συνίσταται ὁ ὕδερος· ἢ γὰρ μεταξὺ
περιτοναίου καὶ ἐντέρων 2) ἢ ἐν τοῖς κενεῶσι καὶ ἐν τῇ
ὀσφύϊ. λοιπὸν δεῖ εἰπεῖν τὸν τρόπον τῆς γενέσεως τῶν
ὑδέρων. ἀλλὰ πρὸ τούτου δεῖ ἡμᾶς εἰπεῖν, 3) λῆμμά τι
προσλαβεῖν, ἔχον οὕτως· δεῖ εἰδέναι ὅτι μετὰ τὸ παρα-
σχεθῆναι τὴν τροφὴν ἐν τῇ γαστρὶ ἀλλοιοῦται καὶ πέτ-
τεται, εἶτα μετὰ τὸ πεφθῆναι 4) καὶ ἀλλοιωθῆναι καὶ
χυλοποιηθῆναι, τὸ μὲν λευκότερον καὶ λιπαρώτερον εἰς
τροφὴν κέχρηται ἡ γαστὴρ τῆς ἑαυτῆς οὐσίας. τὸ γὰρ ἔν-
δον τῆς γαστρὸς μέρος ἀπὸ τοῦ χυλοῦ τρέφεται, τὸ δὲ
λοιπὸν μέρος τοῦ χυλοῦ ὡς περίττωμα ἀποβάλλεται καὶ
φέρεται διὰ τῶν μεσαραίων καὶ ἕλκει τὸ ἧπαρ πρὸς ἑαυτὸ
καὶ ἀναφέρεται· εἶτα δευτέραν πέψιν ἀναδέχεται, καὶ
πρὸς τὴν οἰκείαν φύσιν 5) ἐξομοιοῖ αὐτὸ καὶ οὐσίαν·
εἶτα πάλιν τὸ ἧπαρ κρατεῖ τὸ ἀρκοῦν πρὸς τροφὴν αὐ-
τοῦ, καὶ τὸ λοιπὸν ὡς περίττωμα ἀπωθεῖ διὰ τῶν φλεβῶν
ἐπὶ τὸ πᾶν σῶμα, καὶ οὕτως τρέφονται πάντα τὰ μόρια.
ἐὰν οὖν συμβῇ τὴν ἀλλοιωτικὴν δύναμιν τοῦ ἥπατος κα-
κῶς διατεθῆναι· κακῶς δὲ διατίθεται κατὰ δύο τρόπους,
6) ὡς πρὸς τὰ νῦν λεγόμενα· ἢ γὰρ ὁμοιομερῶς βλάπτε-
ται ἢ ὀργανικῶς. καὶ ὁμοιομερῶς μὲν, κατὰ δυσκρασίαν
τινὰ, ὀργανικῶς δέ, ἢ δι' ἔμφραξιν ἢ δι' ὄγκον τινά. κα-
κῶς οὖν διατιθεμένης τῆς ἀλλοιωτικῆς δυνάμεως 7) τοῦ
ἥπατος, ἀποτυγχάνει ἡ ἐξαιμάτωσις καὶ ἀπεπτεῖται. καὶ
τὸ μὲν λεπτομερὲς αὐτοῦ διεξέρχεται τὸν ὑμένα τοῦ
ἥπατος, 8) ἐπειδὴ λεπτός ἐστι, καὶ φέρεται ἀτμοειδῶς ἐν
μέσῳ περιτοναίου καὶ ἐντέρων· εἶτα λοιπὸν οὗτος ὁ
ἀτμὸς λαμβάνων ἀείσε προσθήκην, στέγεται ὡς ἐπὶ τὸν

1) τὰ μόρια om. L. 2) συνίσταται add. M. 3) Addas καὶ. λήμματι Codd. 4) καὶ ἀλλοιωθῆναι om. M. A. 5) καὶ οὐσ. ἐξ. αὐτὸ M. A. 6) ὅσον M. 7) τοῦ ἥπατος om. M. A. 8) ἐπ. λεπ. ἐστι om. L. ὅρα τὸν διὰ δυσκρασίας ὕδερον τῆς ἀλλοιωτικῆς δυνάμεως L. in mg.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 149 sur 382

περιτόναιον, 1) ἐπειδὴ οὐ διεξέρχεται τὸν περιτόναιον, στεγανοῦ αὐτοῦ ὄντος, καὶ τῇ προσθήκῃ παχύνεται, καὶ δίκην ὑετοῦ ἀντικαταῤῥεῖ, καὶ οὕτως ἀθροίζεται καὶ ποιεῖ τὸν ὕδερον. οὕτω γὰρ καὶ ἐπὶ τῶν βαλανείων ἐστὶν ἰδεῖν. οἱ γὰρ ἀτμοὶ γινόμενοι περὶ τὴν ὀροφὴν παχύνονται, καὶ σταλαγμοὶ γινόμενοι ἀντικαταῤῥέουσι 2) δίκην ὑετοῦ, ὡς εἴρηται. εἷς οὖν τρόπος ὑδέρου οὗτος ὁ ἐπὶ ἀσθενείᾳ τῆς ἀλλοιωτικῆς δυνάμεως γινόμενος τοῦ ἥπατος. γίνεται ὕδερος καὶ κατὰ ἕτερον τρόπον ἐπὶ ἀσθενείᾳ τῆς καθεκτικῆς δυνάμεως. τί γὰρ ὅτι ἐὰν ἀσθενὴς ᾖ ἡ καθεκτικὴ δύναμις, 3) μετὰ τὸ ἄρξασθαι τὴν ἀλλοιωτικὴν ἀλλοιοῦν καὶ μεταβάλλειν τὸν χυλὸν καὶ ἐξαιματοῦν αὐτὸν, πρὸ ὥρας ἐπεγειρομένη ἡ καθεκτικὴ, * 4) ἐξαφῆ αὐτὸ καὶ φέρεται, δι' ὧνπερ ἀνῆλθεν ὁδῶν, ἐπὶ 5) γαστέρα λέγω καὶ ἔντερα, καὶ ποιεῖ ἡπατηρὰν δυσεντερίαν, ἰοικυῖαν πλύματι κρεῶν νεοσφαγῶν, ἐπειδὴ ἀρχὴν λαμβάνει πέψεως ἤγουν ἐξαιματώσεως ὑπὸ τῆς ἀλλοιωτικῆς, οὐ τελείως δὲ, διὰ τὸ τὴν καθεκτικὴν δύναμιν 6) ἐξῶσαι πρὸ ὥρας, ὅθεν τῷ χρόνῳ 7) ἀτροφοῦντα, ἐπὶ τῇ ἡπατηρᾷ δυσεντερίᾳ πάντως ὕδερος ἐπιγίνεται, καὶ οὕτως ἀπόλλυνται. καὶ ἀναλογεῖ ἡ μὲν διάῤῥοια τῆς γαστρὸς τῇ ἡπατηρᾷ δυσεντερίᾳ, ἡ δὲ ἐκχόλωσις τῷ ὑδέρῳ. 8) ὅ τι γάρ ἐστι διάῤῥοια γαστρὸς ἐπὶ τῇ ἀποτυχίᾳ τοῦ χυλοῦ, τοῦτο ἐπὶ τοῦ ἥπατος ἡ δυσεντερία. καὶ ὅτι ἐστὶν ἐκχόλωσις ἐπὶ τῇ γαστρὶ, τοῦτο ἐπὶ τοῦ ἥπατος ὕδερός ἐστιν. εἶτα καὶ ἀποροῦσιν ὅτι διὰ τί ἐπὶ τῇ ἀποτυχίᾳ τῆς γαστρὸς οὐ γίνεται ὕδερος, καίτοι δαψιλοῦς οὔσης τῆς ὕλης ἐπὶ τῆς γαστρὸς; καὶ λέγομεν ὅτι ἐπειδὴ στεγανός ἐστιν ὁ ὑμὴν ἤγουν ἡ οὐσία τῆς γαστρὸς, οὐκ ἰσχύει ἀτμοειδῶς διεξελθεῖν, ἀλλ' ἐκεῖσε στέγεται καὶ τῷ βάρει κενοῦται κάτωθεν, καὶ ποιεῖ διάῤῥοιαν, 9) οὐ μὴν ὕδερον.

Τρίτον ἐστὶ κεφάλαιον, ἐν ᾧ δεῖ ἡμᾶς τὰς διαφορὰς τῶν ὑδέρων ζητῆσαι, καὶ δεῖ εἰδέναι ὅτι 10) ὕδερος ἢ με-

1) ἐπειδὴ — περιτόν. om. M. A. 2) ὡς εἴρ. δίκ. ὑετοῦ M. A. 3) ὅρα τὸν δι' ἀσθένειαν τῆς καθεκτικῆς L. in mg. 4) Fort. pro ἐξαφίησιν. αὐτῷ M. A. 5) γαστρὶ — ἐντέροις M. 6) ἐξεῶσαι M. 7) ἀτροφοῦνται M. 8) εἴτι L. A. ὅρα ἐπὶ τῇ ἡπατηρᾷ δυσεντερίᾳ ὕδερος ἐπιγίνεται L. in mg. 9) οὐ μὴν ὕδερον om. M. A. 10) ὁ add. M.

ταξὺ περιτοναίου καὶ ἐντέρων συνίσταται, ἢ ἐν ὅλῳ τῷ σώματι. καὶ εἰ μὲν μεταξὺ περιτοναίου καὶ ἐντέρων συσταίη, ἢ ὑγρὸν μόνον ἐστὶ τὸ ἀθροιζόμενον, καὶ ποιεῖ τὸν ἁπλῶς ὕδερον, ἢ μετὰ τοῦ ὑγροῦ καὶ πνεῦμά τι, καὶ ἢ τὸ ὑγρὸν ἐπικρατεῖ καὶ ποιεῖ τὸν ἀσκίτην, ἢ τὸ πνεῦμα ἐπικρατεῖ καὶ ποιεῖ τὸν τυμπανίαν. εἰ δὲ ἐν ὅλῳ τῷ σώματί ἐστιν ἡ βλάβη, ἢ ὑγροῦ μόνον ἐστὶ συνάθροισις, καὶ ποιεῖ τὸν λεγόμενον λευκοφλεγματίαν· εἰ δὲ μετὰ τοῦ ὑγροῦ καὶ πνεύματά εἰσι συναναπεπλεγμένα, ποιεῖ τότε τὴν ὑδαλέαν λεγομένην ἕξιν. καὶ ἀποροῦσιν ὅτι ἐπὶ μὲν τῶν ἄλλων ὑδέρων οἱ μεταξὺ περιτοναίου καὶ ἐντέρων συνιστάμενοι οὐκ ἐπὶ ἀσθενείᾳ τῆς ἀλλοιωτικῆς δυνάμεως τοῦ ἥπατος γίνονται, ἀλλ' ἐπὶ βλάβῃ τῆς ἐν ἑκάστῳ μορίῳ ἀλλοιωτικῆς δυνάμεως. πῶς οὖν ὁ Ἱπποκράτης λέγει πάντα ὕδερον ἐπὶ ἀσθενείᾳ τῆς ἀλλοιωτικῆς δυνάμεως τοῦ ἥπατος γίνεσθαι; καὶ λέγομεν ὅτι ἐὰν καλῶς ἔχῃ ἡ ἀλλοιωτικὴ δύναμις τοῦ ἥπατος καὶ δεόντως γίνεται ἡ πέψις καὶ ἡ ἐξαιμάτωσις, ἔδει μὴ γενέσθαι ὕδερον, ἀλλ' ἄλλο τι πάθος· ἐὰν γὰρ ἐν ὅλῳ τῷ σώματί ἐστιν ἡ βλάβη, καὶ οὐχὶ ἐν ἥπατι, ἔδει τυχὸν σαπῆναι καὶ ἀνάψαι πυρετὸν, ἢ ἕτερον ποιῆσαι νόσημα. ἀλλὰ καὶ ὁ ἀνὰ σάρκα ὕδερος ἐπὶ ἀσθενείᾳ τῆς ἀλλοιωτικῆς δυνάμεως τοῦ ἥπατος γίνεται· ἐπὶ γὰρ τῇ ἀσθενείᾳ λεπτὸν καὶ ὑδαρὲς τὸ αἷμα γίνεται καὶ ὀλίγον, καὶ ἐντεῦθεν διὰ τὴν ὀλιγότητα ἀτροφοῦσι τὰ μόρια καὶ ἐπὶ τῇ ἀτροφίᾳ γίνεται ὁ ἀνὰ σάρκα ὕδερος, ἀτόνως καὶ αὐτὸν 1) διατιθέμενον. οὐκοῦν πᾶς ὕδερος ἐπὶ ἀσθενείᾳ τῆς ἀλλοιωτικῆς δυνάμεως γίνεται.

Τέταρτόν ἐστι κεφάλαιον, ἐν ᾧ δεῖ ἡμᾶς τὰ αἴτια εἰπεῖν τοῦ ὑδέρου. δεῖ εἰδέναι ὅτι δύο εἰσὶν 2) αἴτια τὰ ποιητικὰ τοῦ ὑδέρου, ψύξις καὶ ἡ παρὰ φύσιν θερμότης. καὶ πῶς γίνεται ὕδερος ἐπὶ καταψύξει, εἴρηται ἡμῖν ὅτι ἐπὶ ἀσθενείᾳ τῆς ἀλλοιωτικῆς δυνάμεως τοῦ ἥπατος γίνεται. ἡ δὲ θερμότης ποιεῖ ὕδερον τρόπῳ τοιούτῳ· ἡ 3) θερμότης ἢ κατὰ φύσιν ἐστὶν ἢ παρὰ φύσιν. καὶ ἡ μὲν κατὰ φύ-

1) διατιθεμένου M. A. 2) τὰ ποι. αἴτ. M. A. 3) ὅτι ἡ θερμότης διττὴ L. in mg.

σιν θερμότης ζωοποιητική ἐστι τοῦ ἡμετέρου σώματος, ἡ δὲ παρὰ φύσιν φθαρτική ἐστι καὶ ἀναστοιχειωτική. αὕτη οὖν ἡ παρὰ φύσιν θερμότης διαφορητική ἐστι τοῦ κατὰ φύσιν θερμοῦ, καθ' ἣν καὶ ἀπεψίαι τὸ τηνικαῦτα γίνονται. οὕτως γοῦν συμβαίνει ἡμᾶς ἐν τῷ θέρει ἐκλύτους καὶ χαύνους εἶναι ὑπὸ τῆς παρὰ φύσιν, λέγω δὴ τῆς ἐκτὸς θερμότητος, δραστηρίου τυγχανούσης, καὶ διαφορεῖσθαι τὸ κατὰ φύσιν ἡμῖν θερμόν· ἀλλὰ καὶ οἱ πυρέσσοντες διὰ τοῦτο ἁδροτέρας τροφὰς πέψαι οὐ δύνανται, ἐπειδὴ διαφορεῖται ἡ κατὰ φύσιν θερμότης, καθ' ἣν αἱ πέψεις γίνονται, καὶ τῷ λόγῳ τούτῳ λεπτῇ τροφῇ 1) τρέφομεν αὐτούς. ἐὰν οὖν συμβῇ δυσκρασίαν γενέσθαι ἐν τῷ ἥπατι, διαφορεῖ τὸ κατὰ φύσιν θερμὸν τὸ ἐν τῷ ἥπατι. τούτου διαφορουμένου, ψύχεται καὶ ἀποτυχία γίνεται τῆς ἐξαιματώσεως, καὶ γίνεται ὁ ὕδερος, ὡς ἐντεῦθεν πάλιν τὸν ὕδερον ἐπὶ ψύξει κατὰ πρῶτον λόγον γίνεσθαι.

Οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων γινόμενοι πάντες κακοί. οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάσσουσιν ἐπώδυνοί τέ εἰσι κάρτα καὶ θανατώδεις. —

Ἐντεῦθεν ἀπορία ἀναφαίνεται τοιαύτη, ὅτι πῶς τὰ ἐναντία ἐν τῷ αὐτῷ 2) συνίσταται; ὁ γὰρ πυρετὸς θερμόν τι χρῆμά ἐστι καὶ ξηρόν· ὁ δὲ ὕδερος ψυχρόν ἐστι πάθος καὶ ὑγρόν. πρὸς ὅ τινες λέγουσιν, ὅτι ἡ χολὴ θερμή ἐστι καὶ ξηρὰ καὶ δριμεῖα· ἀλλὰ καὶ ὁ πυρετὸς ὑπὸ τοιαύτης ὕλης ἀνάπτεται, καὶ κατὰ πρωτοπάθειαν ἡ χολὴ τὸν πυρετὸν 3) ἐξάπτει. τὸν δὲ ὕδερον ποιεῖ ἡ χολὴ κατὰ συμπάθειαν. θερμὴ γὰρ οὖσα διαφορεῖ τὸ κατὰ φύσιν 4) θερμὸν τοῦ ἥπατος, καὶ ἐντεῦθεν καταψύχεται καὶ ἀποτυγχάνει ἡ ἐξαιμάτωσις, καὶ λεπτὸν καὶ δίυγρον γίνεται τὸ αἷμα, καὶ ἀτμοειδῶς φέρεται μεταξὺ περιτοναίου καὶ ἐντέρων καὶ ποιεῖ τὸν ὕδερον. ἀνατρέπουσι δὲ αὐτούς τινες λέγοντες, ὅτι ἐὰν δραστήριος τοσοῦτόν ἐστιν ἡ θερμότης τῆς χολῆς, ὥστε τὸ κατὰ φύσιν θερμὸν διαφορῆσαι καὶ καταψύξαι τὸ ἧπαρ, ἔδει τῇ

---

1) τρεφόμενα L. 2) συνίστανται M. A. χρῆμα om. M. 3) ἀνάπτει M. 4) τοῦ ἥπ. θερ. M. A.

1) δραστηρίῳ δυνάμει καὶ αὐτὸ τὸ ὑγρὸν ἐκδαπανῆσαι
καὶ ξηρὸν ποιῆσαι νόσημα, οὐ μὴν ὑγρόν, λέγω δὴ ὕδε-
ρον. διὸ δεῖ εἰπεῖν αἰτίαν τοιαύτην ὅτι κατὰ διαφέροντα
μόρια τἀναντία συνίστανται, ἡ μὲν δυσκρασία ἤγουν ὁ
πυρετὸς ἐν τῇ καρδίᾳ καὶ ἐν τῷ ἀρτηριώδει γένει καὶ
κατὰ σχέσιν τινὰ καὶ τὸ πᾶν σῶμα μετέχει τῆς θερμα-
σίας, τὸν δὲ ὕδερον μεταξὺ περιτοναίου καὶ ἐντέρων συ-
στῆναι. πῶς δὲ ὅλως γίνονται τὰ ἐναντία, δεῖ εἰπεῖν. ἡ
χολὴ κατὰ μὲν τὴν ποιότητα τὸν πυρετὸν ἀνάπτει, τῇ δὲ
ποσότητι βαρύνει τὰς ἐν ἥπατι δυνάμεις καὶ καταπνίγει
καὶ καταβάλλει, καὶ ἐπὶ τῇ καταβολῇ ἀποτυγχάνει ἡ ἐξ-
αιμάτωσις καὶ γίνεται ὕδερος.

Ἄρχονται δὲ οἱ πλεῖστοι ἐκ τῶν κενεώνων τε καὶ τῆς
ὀσφύος, οἱ δὲ καὶ ἀπὸ τοῦ ἥπατος. —

2) Εἰρηκὼς ὁ Ἱπποκράτης ὅτι ἄρχονται οἱ πλεῖστοι
ἐκ τῶν κενεώνων τε καὶ τῆς ὀσφύος, τὸ κατὰ συμπάθειαν
ἐδήλωσεν· εἰρηκὼς δέ, οἱ δὲ καὶ ἀπὸ τοῦ ἥπατος, τὸ κατὰ
πρωτοπάθειαν. πᾶς γὰρ ὕδερος ἢ κατὰ συμπάθειάν
ἐστιν ἢ κατὰ πρωτοπάθειαν 3) τοῦ ἥπατος.

Ὁκόσοισι μὲν οὖν αἱ ἀρχαὶ ἐκ τῶν κενεώνων τε καὶ τῆς
ὀσφύος γίνονται. —

Μεμαθήκαμεν ἀνωτέρω, ὅτι ὁ κατὰ πρωτοπάθειαν
4) τοῦ ἥπατος γίνεται, ἡνίκα ἐν αὐτῷ συσταίη τῷ ἥπατι
τὸ πάθος, φλεγμονὴ τυχὸν ἢ σκίῤῥος ἢ οἴδημα ἢ ἔμφρα-
ξις ἢ ἕτερος ὄγκος ἢ δυσκρασία θερμὴ ἢ ψυχρά. τότε
γὰρ καταβάλλονται αἱ φυσικαὶ δυνάμεις τοῦ ἥπατος, μά-
λιστα δὲ ἡ ἀλλοιωτικὴ αὐτοῦ δύναμις, καὶ ἀποτυγχάνει
ἡ ἐξαιμάτωσις καὶ ἀπεπτεῖ καὶ γίνεται 5) τὸ αἷμα λε-
πτὸν καὶ ὑδαρές, καὶ ἀτμοειδῶς διηθεῖται καὶ φέρεται
μεταξὺ περιτοναίου καὶ ἐντέρων, καὶ γίνεται ὕδερος ὁ
κατὰ πρωτοπάθειαν τοῦ ἥπατος. Ὁ δὲ ὕδερος ὁ κατὰ
πρωτοπάθειαν τῶν κενεώνων γινόμενος ἤγουν ὁ κατὰ
συμπάθειαν τοῦ ἥπατος γίνεται, ἡνίκα ἐν τοῖς μορίοις
ἐκείνοις ἐστὶ τὸ πάθος τουτέστιν ἐν τοῖς κενεῶσι καὶ ἐν

1) δραστηρίοις L. 2) Hoc scholion om. A. 3) γίνεται add. M.
4) ὕδερος add. M. 5) τὸ αἷμα om. L.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 153 sur 382

τῇ ὀσφύϊ. καὶ ποῖά εἰσι τὰ μόρια, ἐγὼ λέγω, ἡνίκα ὁ ἐν τοῖς μεσαραϊκοῖς ὄγκος ἢ φλεγμονὴ ἢ ἔμφραξις ἢ δυσκρασία ἐν τοῖς νεφροῖς ἢ ἐν τῷ σπληνὶ ἢ ἐν τῇ γαστρὶ ἢ ἐν τοῖς ἐντέροις· τότε γὰρ πάντως συμπάσχει τὸ ἧπαρ, ἢ διὰ τὴν γειτνίασιν ὥσπερ γαστὴρ καὶ τὰ 1) μεσάραια ἢ διὰ τὸ τῶν ἀγγείων μέγεθος· ἀξιολόγους γὰρ φλέβας πέμπει ἐπὶ τὰ προειρημένα μόρια καὶ ἐντεῦθεν ἄγεται εἰς συμπάθειαν τούτοις τὸ ἧπαρ. 2) τί γὰρ ὅτι μεταλαμβάνει τῆς δυσκρασίας τὸ ἧπαρ· καὶ καταβάλλονται αὐτοῦ αἱ φυσικαὶ δυνάμεις, καὶ μάλιστα ἡ ἀλλοιωτικὴ, καὶ ἀπεπτεῖται τὸ αἷμα, καὶ λεπτὸν καὶ ὑδαρὲς γίνεται, καὶ ἀτμοειδῶς φέρεται μεταξὺ περιτοναίου καὶ ἐντέρων, καὶ γίνεται ὕδερος ὁ κατὰ συμπάθειαν τοῦ ἥπατος. λοιπὸν σημείωσιν ἡμῖν παραδίδωσι, πόθεν ἔχομεν γνῶναι, εἴτε κατὰ πρωτοπάθειαν εἴτε κατὰ συμπάθειαν τοῦ ἥπατος ἐγένετο ὁ ὕδερος. καί φησιν ὅτι ὁκόσοι μὲν τῶν ὑδέρων ἐκ τῶν κενεώνων τε καὶ τῆς ὀσφύος ἄρχονται, οἵ τε πόδες οἰδαίνουσι. καὶ οἱ πόδες οἰδαίνουσι τρόπῳ τοιούτῳ· οἱ πόδες πολὺ ἀφεστήκασι τῆς καρδίας καὶ ἄσαρκοι σχεδόν εἰσιν· ὀστώδεις γάρ εἰσι καὶ δῆλον καὶ ψυχροί. ἀλλὰ καὶ αὐτοῦ τοῦ ἐμφύτου θερμοῦ στερίσκονται. περὶ γὰρ τὰ πεπονθότα μόρια ἐναπασχολεῖται πρὸς ἄμυναν τοῦ λυποῦντος. κἀντεῦθεν στερισκόμενα τῆς ἀκτινοειδοῦς ἐλλάμψεως τοῦ ἐμφύτου θερμοῦ, καταβάλλονται ἐν αὐτοῖς φυσικαὶ δυνάμεις, καὶ τὸ τηνικαῦτα τὸ λόγῳ τροφῆς φερόμενον ἐν αὐτοῖς ἀπεπτεῖται, καὶ εἰς ἀτμοὺς καὶ εἰς παχέα πνεύματα ἀναλύεται, καὶ οὕτως οἰδαίνουσιν οἱ πόδες· ἢ καὶ ἄλλως· 3) πολλάκις ἰχῶρές τινες ἀποῤῥέουσιν ἐκ τῆς φλεγμονῆς καὶ παχέα πνεύματα, καὶ ὡς 4) κατωφερῆ φέρονται ἐπὶ τοὺς πόδας, καὶ τῷ λόγῳ τούτῳ οἰδαίνουσιν οἱ πόδες. αἱ δὲ χεῖρες οὐκ οἰδαίνουσι, καίτοι καὶ αὐτῶν πόῤῥω 5) ἀφεστηκυιῶν, καὶ ὀστώδεις εἰσίν. ἀλλὰ καὶ τοῦ ἐμφύτου θερμοῦ ὡσαύτως ἐστέρηνται διά τε τὴν ὕλην καὶ διὰ τὴν θέσιν· καὶ διὰ μὲν τὴν ὕλην, ἐπειδὴ παχέα εἰσὶ τὰ πνεύματα. λοιπὸν δὲ καὶ

1) μεσάρεα L. 2) τί — ἧπαρ om. L. 3) πολλάκις om. M. 4) καταφερῆ L. 5) ἀφεστηκότων M. A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 154 sur 382

1) ἰχῶρες ἐπὶ τὰ κάτω βρίθουσιν, ἀλλὰ καὶ διὰ τὴν θέ-
σιν, ὅτι ὑψηλοτέραν θέσιν ἔχουσιν αἱ χεῖρες. ἀλλ' ἴσως
2) ἀπορήσει τις λέγων, ὅτι καὶ ἐπὶ τῇ πρωτοπαθείᾳ τοῦ
ἥπατος οἰδαίνουσιν οἱ πόδες, 3) καὶ οὐ μόνον ἐπὶ τῶν
κενεώνων πασχόντων· καὶ λέγομεν ὅτι κἂν καὶ ἐν τῇ
πρωτοπαθείᾳ τοῦ ἥπατος οἰδαίνωσιν οἱ πόδες, τελευ-
ταῖον καὶ μετὰ πολὺν χρόνον ἐπὶ τῇ πρωτοπαθείᾳ. ἐπὶ
δὲ τῶν κενεώνων, εὐθὺς ἐξ ἀρχῆς οἰδαίνουσιν οἱ πόδες
ἐπὶ τῇ πρωτοπαθείᾳ τῶν κενεώνων, ἐπειδὴ ἔγγιστά εἰσιν
οἱ πεπονθότες τόποι, καὶ διὰ τοῦτο ἑτοίμως μεταλαμβά-
νουσιν οἱ πόδες καὶ εὐθέως οἰδαίνουσιν. ἐπὶ δὲ τῇ πρω-
τοπαθείᾳ τοῦ ἥπατος μετὰ χρόνον τινὰ οἰδαίνουσι, διὰ
τὸ πόῤῥω ἀφεστάναι τὸ ἧπαρ ἀπὸ τῶν ποδῶν. λέγει καὶ
δεύτερον σημεῖον καί φησιν, ὅτι καὶ διάῤῥοιαι πολυχρό-
νιοι γίνονται αὐτοῖς. καί ἡ διάῤῥοια γίνεται αὐτοῖς, ἡνίκα
ἡ φλεγμονὴ ἢ ὄγκος τις, ἢ ἔμφραξίς ἐστιν ἐν τοῖς μεσα-
ραίοις ἢ ἐν τῇ νήστει ἢ ἐν τοῖς 4) μεσεντερίοις. τοτηνι-
καῦτα γὰρ οὐκ ἀνάγεται ὁ χυλὸς εἰς ἧπαρ, καὶ βλάπτε-
ται ἡ ἑλκτικὴ δύναμις, ἀλλὰ δι' ὧν διοδεύει τόπων ἐμ-
πεφραγμένων ὄντων, ἀνοίγεται ὁ πυλωρὸς, καὶ ἄγεται ὁ
χυλὸς ἐπὶ τὰ ἔντερα, καὶ καθυγραίνει τὴν κόπρον, καὶ
γίνεται διάῤῥοια. ἢ καὶ ἄλλως διάῤῥοια ἐπιγίνεται αὐ-
τοῖς. ἐξ αὐτῆς πολλάκις τῆς δυσκρασίας φέρονται ἰχῶρές
τινες ἐπὶ τὰ ἔντερα καὶ δάκνουσι καὶ ἀνιῶσι, καὶ πρὸ
ὥρας ἐπεγειρομένη ἡ ἀποκριτικὴ δύναμις ποιεῖ τὴν δι-
άῤῥοιαν. ἢ καὶ ἄλλως γίνεται αὐτοῖς διάῤῥοια· ἐξ αὐτῆς
τῆς δυσκρασίας πολλάκις μεταλαμβάνουσι τὰ ἔντερα, καὶ
τὸ τηνικαῦτα κακῶς διατίθενται αἱ ἐν αὐτοῖς φυσικαὶ
δυνάμεις, καὶ ἀπεπτεῖται τὸ λόγῳ τροφῆς φερόμενον ἐν
αὐτοῖς, καὶ φέρεται ἄπεπτον, καὶ ποιεῖ τὴν διάῤῥοιαν.
αὕτη δὲ ἡ διάῤῥοια εἰς οὐδὲν λυσιτελεῖ τοῖς ὑδεριῶσιν,
ὅθεν ἐπιφέρει λέγων, ὅτι οὔτε τὰς ὀδύνας λύουσιν οὔτε
τὴν γαστέρα λαπάσσουσι τυχὸν συμπέττουσι. ποίῳ δὲ
λόγῳ αἱ ὀδύναι γίνονται, φανερόν ἐστι τῇ δήξει τῆς κα-
κοχυμίας καὶ τῇ τάσει. τὸ γὰρ ὑγρὸν τὸ παρὰ φύσιν

---

1) οἱ add. M. 2) ἀπορεῖ M. 3) καὶ — πόδες om. M. A. 4) με-
σεντέροις L.

περίτασιν ποιεῖ. ἡ οὖν διάῤῥοια οὐ παύει τὰς ὀδύνας, ἀλλ' οὐδὲ τὴν γαστέρα λαπάττει, ἐπειδὴ οὐ κενοῦται ἐκεῖνο τὸ ὑγρὸν τὸ παρὰ φύσιν, τὸ ὂν μεταξὺ περιτοναίου καὶ ἐντέρων καὶ γαστρὸς, ἀλλ' ἐκεῖνο κενοῦται τὸ χρηστὸν, λέγω δὴ ὁ χυλὸς, ὅθεν σὺν τούτῳ καὶ ὁ ζωτικὸς τόνος συνεκκρίνεται, τὸ δὲ παρὰ φύσιν μένει, ἐν οἷς τόποις 1) ἠθροίσθη.

Εἶτα λέγει καὶ τρίτον σημεῖον ὅτι βὴξ αὐτοῖς πρόσεστιν· ἀλλὰ τοῦτο τὸ σημεῖον κοινόν ἐστιν, ἐπειδὴ καὶ 2) ἐν τῇ πρωτοπαθείᾳ τοῦ ἥπατος βὴξ προσγίνεται. ἀλλὰ διαφέρουσιν ὅτι ἐπὶ τῷ κατὰ πρωτοπάθειαν τοῦ ἥπατος εὐθέως ἐξ ἀρχῆς ἡ βὴξ προσγίνεται αὐτοῖς. τί γὰρ ὅτι ἐπὶ τοῦ ὄγκου καὶ τῆς φλεγμονῆς τοῦ ἐν ἥπατι ὠθεῖται τὸ διάφραγμα καὶ ἀποστενοῦται ὁ θώραξ, ὡς νομίζειν τοὺς οὕτω πάσχοντας, ὅτι περιουσία ὕλης ἐστὶ καὶ ὑπ' αὐτῆς ἐνδελεχοῦνται καὶ βήττουσι, προσδοκοῦντες ἀπαλλαγῆναι τῆς τοιαύτης ἐνδελεχείας. καὶ οὐδὲν ὠφελοῦσι, μηδὲν ἀναπτύοντες ἀξιόλογον, ὡς αὐτὸς παρακατιὼν 3) φησιν. ἐπὶ δὲ τῇ πρωτοπαθείᾳ τῶν κενεώνων 4) τελευταῖον ἐπιγίνεται αὐτοῖς ἡ βὴξ, ὅπερ κάκιστόν ἐστι σημεῖον ἐσχάτης ἀπογνώσεως. δηλοῖ γὰρ ὅτι τοσοῦτον ἐπλημμύρησεν ἡ παρὰ φύσιν ὑγρότης κατὰ ποσότητα, ὅτι οὐκ ἀρκεῖται 5) στεχθῆναι μεταξὺ περιτοναίου καὶ ἐντέρων καὶ γαστρὸς, ἀλλὰ λοιπὸν καὶ ἐπὶ τὰ ἀναπνευστικὰ ἐχώρησε, κἀκείνων λοιπὸν ἐπιλαμβάνεται, ὅπερ ἐσχάτης ἐστὶν ἀπογνώσεως τὸ σημεῖον τοῦτο. Οὕτως σημειωσάμενος τὸν κατὰ πρωτοπάθειαν τῶν κενεώνων γινόμενον ὕδερον, νῦν σημειοῦται καὶ τὸν ἐπὶ πρωτοπαθείᾳ τοῦ ἥπατος γινόμενον ὕδερον καί φησιν, ὅτι βὴξ ἐξ ἀρχῆς αὐτοῖς προσγίνεται, τῷ λόγῳ τῆς φλεγμονῆς τοῦ ἥπατος. ὑπὸ γὰρ τῆς φλεγμονῆς καὶ τοῦ ὄγκου τοῦ ὄντος ἐν ἥπατι ὠθεῖται τὸ διάφραγμα καὶ κατασπᾶται καὶ ἀποστενοῦται ὁ θώραξ καὶ ὁ πνεύμων, καὶ ἡ τραχεῖα ἀρτηρία 6) καὶ ὡς ἐν στενοχωρίᾳ τυγχάνοντα, προσκρούει

---

1) συνηθροίσθη M. 2) ἐπὶ M. 3) ἐρεῖ M. A. 4) τελευταία M. 5) τεχθῆναι L. 6) καὶ om. L.

τὸ πνεῦμα καὶ ποιεῖ ἦχον καὶ οὕτως 1) βήττουσι. διὰ τοῦτο οὖν βήττουσιν εὐθέως καταρχὰς μὴ ἀναφέροντες ἀξιόλογόν τι, εἰ μή τι τῶν εὑρισκομένων σιέλων, καὶ διὰ τοῦτο οὐκ ἀναφέρουσιν, ἐπειδὴ οὐκ ἔστιν ἐν τοῖς ἀναπνευστικοῖς ἡ ὕλη, ἀλλ' ἐν τοῖς θρεπτικοῖς.

Δεύτερον σημεῖον, ἡ κοιλία αὐτῶν ξηραίνεται διὰ τὴν ζέσιν τῆς φλεγμονῆς τῆς ἐν ἥπατι ἐξαναλισκούσης τὴν ἰκμάδα τὴν ἐν τῇ γαστρὶ, καὶ ἐξ ἀνάγκης ξηραίνεται ἡ κόπρος καὶ οὐκ 2) ἀποπατοῦται. κἂν γὰρ περιουσία ὑγροῦ ἐστιν, οὐκ ἐν 3) τῷ κύτει τῆς γαστρὸς περιέχεται, ἀλλ' ἐν τοῖς μεταξὺ χωρίοις περιτοναίου καὶ ἐντέρων.

Τρίτον σημεῖον, ὅτι καὶ ἐπὶ τούτων οἱ πόδες 4) οἰδίσκουσι. καὶ κατὰ τὸν αὐτὸν τρόπον καὶ ἐνταῦθα οἰδαίνουσι, καθ' ὃν τρόπον καὶ ἐπὶ τῇ πρωτοπαθείᾳ τῶν κενεώνων, ὡς ἤδη εἴρηται. πλὴν ἐπὶ τούτων καὶ αἱ χεῖρες καὶ τὸ δέρμα τοῦ παντὸς σώματος οἰδαίνουσι. καὶ τίνι λόγῳ ταῦτα οἰδαίνουσιν; ἐπεὶ ἀποτυχία ἐστὶ τῆς ἐξαιματώσεως, λεπτὸν καὶ ὑδαρές ἐστι τὸ αἷμα, ἐξ ὧν τρέφονται, καὶ ἐντεῦθεν οἰδαίνουσιν.

Τέταρτον σημεῖόν ἐστιν ὅτι ἐπάρματά τινα γίνονται αὐτοῖς ἐν τοῖς δεξιοῖς καὶ ἐν τοῖς ἀριστεροῖς, γινόμενα καὶ πάλιν παυόμενα. τελευταῖον μέντοι γίνονται μὲν, οὐ παύονται δὲ, ἀλλὰ μένουσι. γίνονται δὲ τὰ ἐπάρματα ὑπὸ ὑγρότητός 5) τινος, καὶ 6) ὑπὸ πνευμάτων πολλῶν. καὶ τίνι λόγῳ καταρχὰς μὲν γίνονται καὶ παύονται, τελευταῖον δὲ γίνονται μὲν, οὐ παύονται δέ; τοῦτο πρὸς τὸ ἔμφυτον θερμὸν, καταρχὰς ἐῤῥωμενέστερόν ἐστι, κἂν ἔπαθέ τι. καὶ ἡνίκα γένωνται τὰ ἐπάρματα ταῦτα, τὸ ἔμφυτον θερμὸν 7) διαφορεῖ αὐτά. τελευταῖον μέντοι ἐπειδὴ ἀδρανέστερον τὸ ἔμφυτον θερμὸν, σχεδὸν καὶ κίνδυνός ἐστιν ἀποσβεσθῆναι αὐτό. καὶ γίνονται μὲν τὰ ἐπάρματα, οὐ παύονται δὲ, ἐπειδὴ οὐκ ἰσχύει τὸ ἔμφυτον θερμὸν αὐτὰ διαφορῆσαι. πλὴν καὶ ἐπὶ τῶν κατὰ πρωτοπάθειαν τῶν κενεώνων γίνονται τὰ ἐπάρματα ταῦτα, 8) ἀλλ' οὐ παύονται. ἀλλὰ

---

1) ἀναβήττουσι M. 2) ἀποπατοῦσιν L. 3) τῇ κύστει M. 4) οἰδίσκουσι om. L. 5) πολλῆς M. A. 6) ἀπὸ M. 7) διαφορεῖται L. 8) καὶ M. A.

καὶ ἄλλως διαφέρουσιν, ὅτι καὶ ἐπὶ τῶν κατὰ πρωτοπάθειαν τοῦ ἥπατος εἴκουσι τῇ ἁφῇ, καὶ κοιλαίνονται, ἐπὶ δὲ τῶν κατὰ πρωτοπάθειαν τῶν κενεώνων τὰ ἐπάρματα οὐκ εἴκουσι τῇ ἁφῇ, ἀλλ' ἀντίτυπα μένουσιν ὡς ἐπὶ λίθου. καὶ τίνι λόγῳ ταῦτα γίνονται, λέγομεν. 1) ἐν μὲν τῇ πρωτοπαθείᾳ τοῦ ἥπατος τὰ ἐπάρματα ὑπὸ φλεγματικωτέρας ὕλης γίνονται, ἡ δὲ τοιαύτη ὕλη μαλακή ἐστι, καὶ διὰ τοῦτο εἴκουσι τῇ ἁφῇ καὶ κοιλαίνονται, ἐπὶ δὲ τῇ πρωτοπαθείᾳ τῶν κενεώνων οὐκ εἴκουσι τὰ ἐπάρματα τῇ ἁφῇ, ἐπειδὴ ὑπὸ παχέων πνευμάτων γίνονται. τὰ δὲ παχέα πνεύματα τὰ ἐνισχόμενα οὐκ εἴκουσι τῇ ἁφῇ, δίκην ἀσκοῦ ἀκριβῶς πεφυσημένου.

*Δεύτερόν* ἐστι κεφάλαιον, ἐν ᾧ καὶ ἕτερα σημεῖα ἡμῖν παραδίδωσι, μὴ μόνον ἐπὶ τῶν ὑδεριώντων θεωρούμενα, ἀλλὰ καὶ ἐπὶ 2) ἑτέρων ὀξέων νοσημάτων, ὧν πρῶτόν γε σημεῖον λέγει τοιοῦτον ὅτι κάκιστόν ἐστιν ἐπὶ τῶν ὀξέων νοσημάτων, τὸ κατεψυγμένα ἔχειν τὰ ἄκρα, κεφαλὴν λέγω καὶ χεῖρας καὶ πόδας, τὴν δὲ κοιλίαν καὶ τὰς πλευρὰς καὶ τὰ σπλάγχνα καὶ τὸν θώρακα θερμὰ ἔχειν καὶ διακαίεσθαι· δηλοῖ γὰρ ἢ μεγάλην φλεγμονὴν ἢ ἐπιτεταμένην ὀδύνην ἢ καὶ ἀμφότερα. ἐπὶ γὰρ τῇ φλεγμονῇ καὶ τῇ ὀδύνῃ τῶν σπλάγχνων, ὀλίγον αἷμα φέρεται ἐπὶ τὸ πᾶν σῶμα πρὸς ἀποτροφὴν τῶν μορίων. τὸ δὲ πλεῖστον τοῦ αἵματος φέρεται ἔνθα ἡ φλεγμονὴ καὶ ἡ ὀδύνη, καὶ ἐκεῖσε συῤῥεῖ. καὶ διὰ τοῦτο τὰ μὲν ἄκρα ψύχονται· ἔνθα δέ ἐστιν ἡ φλεγμονὴ τυχὸν ἐν τοῖς σπλάγχνοις, διὰ τοῦτο διακαίονται. ἀγαθὸν δέ ἐστι σημεῖον καὶ ἄριστον, τὸ ὁμαλῶς καὶ ὁμοτίμως θερμὸν εἶναι τὸ πᾶν σῶμα καὶ μαλθακόν. δηλοῖ γὰρ ὅτι οὐκ ἔστι φλεγμονὴ ἢ ὀδύνη, ἀλλ' οὐδὲ ὀξὺς πυρετός. ἐπὶ γὰρ τοῦ ὀξέος πυρετοῦ κἂν ὁμοτίμως θερμὸν γίνηται τὸ πᾶν σῶμα, ἀλλ' ὅμως ἐκείνη ἡ θερμότης οὐκ ἔστι μαλθακὴ, ἀλλὰ κατάξηρος καὶ ἐπιτεταμένη.

*Δεύτερον* σημεῖον κακόν ἐστιν ἐπὶ τῶν ὀξέων νοσημάτων, τὸ δυσκινήτως ἔχειν ἐν τῷ στρέφεσθαι καὶ συστέλ-

---

1) ὅτι ἐπὶ M. A. 2) ἕτερα ὀξέα νοσήμ. L.

λειν τὰ μόρια, πόδας λέγω καὶ χεῖρας, καὶ ἐν τῷ μετεωρίζεσθαι τυχὸν ἐν τῷ ἀνακαθέζεσθαι. δηλοῖ γὰρ ἐσχάτην ἀσθένειαν τῆς συνεκτικῆς δυνάμεως τῆς ἐν ἑκάστῳ μορίῳ συνεχούσης καὶ στηριζούσης τὸ σῶμα. ταύτης γὰρ ἀσθενούσης, 1) οὐκ ἀντέχεται τὸ σῶμα, ἀλλὰ τῷ βάρει δυσκινητεῖ· ἢ τοῦτο, ὅτι ἡ δυσκινησία γίνεται, ἀσθενούσης τῆς ψυχικῆς δυνάμεως, ἐν ᾧ κατὰ προαίρεσιν κινοῦνται τὰ μόρια. ταύτης γὰρ ἀσθενούσης, οὐ κινοῦνται κατὰ προαίρεσιν, ὅπερ κάκιστόν ἐστιν, ἐπειδὴ μεγάλην βλάβην ἐνδείκνυται τῆς ἀρχῆς τῶν νεύρων, λέγω δὴ τοῦ ἐγκεφάλου καὶ αὐτῶν τῶν νεύρων.

Τρίτον σημεῖον κακόν ἐστι τὸ πελιδνοῦσθαι ἢ μελαίνεσθαι τὰ ἄκρα ἐπὶ τῶν ὀξέων νοσημάτων. δηλοῖ γὰρ ἢ μεγίστην ὀδύνην ἢ θάνατον. ἐπὶ γὰρ τοῦ θανάτου ἐλάχιστος πυρετὸς 2) περὶ τὰ σπλάγχνα τὸ τέως ἐμφωλεύει ἐκ τοῦ ἐμφύτου θερμοῦ, καὶ ὡς ἐπὶ τὰ ἐκεῖ λοιπὸν καὶ τὰ μόρια συντρέχουσι καὶ δοκοῦσιν ἀνασπᾶσθαι, προσδοκοῦντα τυχεῖν τῆς ἑαυτῶν σωτηρίας. 3) ἀλλὰ καὶ ἐπὶ τῶν ὀδυνῶν τῶν ἐπιτεταμένων ὡς ἐπὶ κωλικῆς διαθέσεως καὶ τῶν νεφριτικῶν καὶ τῶν τοιούτων τὰ μόρια συντρέχουσιν ὡς ἐπὶ τὸ ὀδυνώμενον μόριον, διὰ τὸ καὶ τὴν φύσιν ἐκεῖσε συννεύειν καὶ συντρέχειν.

Ὁκόσοι μὲν οὖν τῶν ὑδρώπων ἐκ τῶν κενεώνων τε καὶ τῆς ὀσφύος καὶ τὰ ἑξῆς. —

Κενεῶνας εἴωθε καλεῖν ὁ Ἱπποκράτης ἐκεῖνο τὸ χωρίον τὸ ἀπὸ τῆς ἐσχάτης πλευρᾶς μέχρι τοῦ ὀστοῦ τῆς λαγόνος, ἐπειδὴ κενότερον δοκεῖ εἶναι, ὡς πρὸς τὰ ὑπερκείμενά τε καὶ ὑποκείμενα. ὡς δὲ τῷ Γαληνῷ δοκεῖ, ἐν τούτοις τοῖς κενεῶσι περιέχεται ἡ νῆστις, αἱ μεσαραϊκαὶ φλέβες καὶ οἱ νεφροί. τούτων οὖν φλεγμαινόντων ἢ καὶ ἑνὸς ἢ καὶ δύο, ἔστιν ὅτε δὲ καὶ ὅλων, μεταλαμβάνει τῆς κακίας τὸ ἧπαρ, καὶ βλάπτεται ἡ ἀλλοιωτικὴ δύναμις αὐτοῦ. καὶ ἐντεῦθεν ἀποτυγχάνει ἡ ἐξαιμάτωσις καὶ γίνεται ὕδερος ὁ κατὰ πρωτοπάθειαν μὲν τῶν κενεώνων, κατὰ συμπάθειαν δὲ τοῦ ἥπατος.

1) οὐ κατέχεται M. A. 2) ἐπὶ M. 3) ἀλλὰ — συντρέχειν om. L.

**Βῆξαί τε θυμὸς γίνεται αὐτέοισι, καὶ ἀποπτύουσιν οὐδὲν ἄξιον λόγου. —**

Θυμὸν ἐνταῦθα ἀκουστέον τὴν ἐπιθυμίαν. τί γὰρ ὅτι οἱ κατὰ πρωτοπάθειαν τοῦ ἥπατος ὑδεριῶντες, ὠθούμενον τὸ διάφραγμα ὑπὸ τῆς φλεγμονῆς τοῦ ἥπατος στενοχωρεῖται ὁ πνεύμων, καὶ ἐπιθυμοῦσι βήττειν, οὐδὲν 1) δὲ ἀναφέρουσι βήττοντες, ἐπειδὴ οὐκ ἔστιν ἡ ὕλη ἐν τοῖς ἀναπνευστικοῖς, ἀλλ' ἐν ἄλλοις μορίοις, λέγω δὴ καὶ ἐν τοῖς 2) θρεπτικοῖς καὶ ἐν τῷ ὑμένι τῷ περικειμένῳ τῷ ἥπατι, καὶ ἐκεῖσε σφηνοῦται, καὶ βήττοντες οὐδὲν ἀναπτύουσιν ἄξιον λόγου, ὀλίγιστον δὲ ὑγρὸν ἀναφέρουσιν· οὐδὲ γὰρ πάντη ἀμοιροῦσιν ὑγρότητος τὰ ἀναπνευστικὰ μόρια, ἀλλὰ περιγράφεται λεπτὸν πάντως ὑγρὸν καὶ ἐν τῷ θώρακι καὶ ἐν τῷ πνεύμονι καὶ ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ. βήττοντες οὖν ἐκ τούτων τῶν μορίων, ὑγρὸν λεπτὸν μεθίεται καὶ ὀλίγιστον, καὶ τοῦτο ἀποπτύουσιν, οὐ μὴν ἐκ τῆς ὕλης, ἐπειδὴ ἐν ἄλλοις 3) μορίοις ἐστὶν ἐσφηνωμένη.

**Κεφαλὴ δὲ καὶ χεῖρες καὶ πόδες ψυχρὰ ἐόντα κακὸν τῆς τε κοιλίης καὶ τῶν πλευρῶν καὶ τὰ ἑξῆς. —**

Ἀποροῦσιν ὅτι οὐκ ἔστι τοῦτο ἀληθές, οὐδὲ πάντως κακόν ἐστι τὸ τὰ ἄκρα ψύχεσθαι. ἐνδέχεται γὰρ ψύχεσθαι τὰ ἄκρα καὶ ἐν χειμῶνι καὶ ἐν γεροντικῇ ἡλικίᾳ, ἀλλὰ καὶ ἐν ταῖς εἰσβολαῖς τῶν παροξυσμῶν. εἰ δὲ χρόνιον νόσημα, λειφαιμοῦντα τὰ ἄκρα καταψύχονται καὶ οὐκ ἔστι κακὸν ἢ ἐπικίνδυνον. πῶς οὖν ἔφη ὁ Ἱπποκράτης, ὅτι κακόν ἐστι τὸ ψύχεσθαι τὰ ἄκρα; πρὸς ὃ 4) λέγομεν ὅτι ὁ Ἱπποκράτης ἐνταῦθα περὶ ὀξέος νοσήματος ἐξετάζων ἐκάκισε τὸ τὰ ἄκρα ψύχεσθαι. τί γὰρ ὅτι ὀξὺ νόσημα ὑπέθετο καὶ διακαῆ πυρετὸν καὶ φλογώδη ζέσιν. καὶ ἐὰν τούτων ὑποκειμένων ψυχρὰ ἔσονται τὰ ἄκρα, πῶς οὐκ ἔσται κακόν; δηλοῖ γὰρ ἀσθένειαν καὶ καταβολὴν τοῦ ἐμφύτου θερμοῦ καὶ ἧτταν τῆς φύσεως. καὶ πῶς οὐκ ἔστι κακὸν τὸ τοιοῦτον;

---

1) γὰρ M. A. 2) ἀναπνευστικοῖς L. 3) ἐστὶ μορ. M. 4) ἀπολογούμεθα M. A.

*Στρέφεσθαι δὲ χρὴ τὸν νοσοῦντα καὶ ἐν τοῖς μετεωρισμοῖσιν ἐλαφρὸν εἶναι.* —

Μετεωρισμὸν καλεῖ ὁ Ἱπποκράτης τὴν ἀβίαστον κίνησιν, ἵνα ἀβιάστως ἀνακαθέζηται ὁ νοσέων καὶ στρέφηται. τί γὰρ δηλοῖ 1) ῥώμην καὶ ἰσχὺν τῆς κινητικῆς δυνάμεως καὶ αὐτῆς τῆς ἀρχῆς, λέγω δὴ τοῦ ἐγκεφάλου. οἱ γὰρ περὶ 2) Διοκλέα, ἡ κίνησις διττή ἐστιν, ἐκ φέροντος καὶ φερομένου. καὶ φέρον μὲν ἐκάλουν τὴν δύναμιν τὴν κινητικὴν, φερόμενον δὲ τὸ σῶμα. ὑπὸ γὰρ τῆς δυνάμεως φέρεται τὸ σῶμα, ἐπείτοι γε ὅσον πρὸς ἑαυτὸ τὸ σῶμα βαρύ ἐστι καὶ βρῖθον.

*Καὶ τὸ ὅλον σῶμα καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, ἐπικινδυνότερον.* —

Ἀποροῦσιν ὅτι εἰπὼν καὶ τὸ ὅλον σῶμα, τί δήποτε ἐπήγαγε καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, καὶ ἰδίᾳ καὶ χωρὶς εἰπεῖν. τί γὰρ 3) ὅτι οὐκ ἠδύνατο εἰπεῖν καὶ τὸ ὅλον σῶμα, ἀλλ' ἰδίᾳ καὶ χωρὶς ἔφη αὐτά; πρὸς οὓς λέγομεν ὅτι κατ' ἐξοχὴν τοῦτο πεποίηκεν. ἐπειδὴ γὰρ μάλιστα ἐν τούτοις τοῖς μορίοις, χεῖρας λέγω καὶ πόδας, διαφαίνεται τὸ ἐπικινδυνότερον σημεῖον, καὶ ἡ κακία τοῦ πάθους ἐν αὐτοῖς θεωρεῖται, καὶ διὰ τοῦτο κατ' ἐξοχὴν ἐμνημόνευσεν αὐτῶν.

*Μελαινόμενοι δὲ παντελῶς οἱ δάκτυλοι ἢ οἱ πόδες, ἧσσον ὀλέθριοι τῶν πελιδνῶν.* —

Ἡ μέλανσις ἐπίτασίς ἐστι τῆς πελιδνώσεως. πρότερον πελιδνοῦνται καὶ οὕτως μελαίνονται. καὶ ἀποροῦσί τινες ὅτι ἐὰν ἡ μέλανσις ἐπίτασίς ἐστι τῆς πελιδνώσεως, πῶς ἔφη ὁ Ἱπποκράτης, καὶ οἱ δάκτυλοι πελιδνούμενοι, προσδόκιμος ὁ θάνατος, μελαινόμενοι δὲ παντελῶς οἱ δάκτυλοι καὶ οἱ πόδες, ἧσσον ὀλέθριοι τῶν πελιδνῶν; καὶ λέγομεν ὅτι ἡ μέλανσις διττή ἐστιν, ἡ μὲν κατὰ ἐπίτασιν τῆς πελιδνώσεως γίνεται, ἡ δὲ οὐχί. καὶ εἰ μὲν κατ' ἐπίτασιν, ἐνδείκνυται μεγίστην σηπεδόνα, ἥτις κακίστη ἐστί. γίνεται μέλανσις καὶ κριτικῶς, ἡνίκα, ὀξέος ὑποκειμένου νοσή-

---

1) ἰσχ. κ. ῥώμ. M. 2) Διοκλέαν L. 3) ὅτι om. M.

ματος, ἐπεγερθῇ ἡ φύσις κριτικῶς καὶ ἀποῤῥίψῃ τὴν ὕλην ἐπὶ τὰ ἄκρα, καὶ ἐκεῖνα μὲν μελαίνονται. ἔστι δ' ὅτε καὶ ἀποπίπτουσιν ὑπὸ τῆς ἐκριφείσης κακοχυμίας. ὁ δὲ ἄνθρωπος περισώζεται τοῦ κινδύνου 1) καὶ ἐλευθεροῦται. ὁ οὖν Ἱπποκράτης ταύτην τὴν μέλανσιν ἐνταῦθα ἐκάλεσεν, ἧσσον ὀλέθριον τῶν πελιδνῶν, ἐπείτοι γε ἐνδέχεται αὐτὴν τὴν ἐκριφεῖσαν ὕλην κριτικῶς ἧττον μετέχειν κακίας, καὶ πελιδνοῦσθαι τὰς χεῖρας καὶ τοὺς πόδας, οὐ μὴν μελανθῆναι.

Περὶ δὲ ὕπνου, ὥσπερ καὶ κατὰ φύσιν ἡμῖν σύνηθές ἐστι, τὴν μὲν ἡμέρην καὶ τὰ ἑξῆς. —

Ἐντεῦθεν ἐπὶ τὴν ἀρχὴν τῶν νεύρων ἐπάνεισιν ὁ Ἱπποκράτης, φημὶ δὴ τὸν ἐγκέφαλον, καὶ τοῦτον σημειοῦται ἀπὸ τῆς βλάβης τῆς ἐνεργείας. περὶ γὰρ ὕπνου διαλέγεται. ὁ δὲ παρὰ φύσιν ὕπνος ἐν βλάβαις ταῖς τῶν ψυχικῶν ἐνεργειῶν θεωρεῖται, φημὶ δὴ τῆς κοινῆς αἰσθήσεως ἤγουν τῶν κατὰ μέρος συναισθήσεων, εἴ 2) γε ἐδείχθη ἐν ἑτέροις πάσαις ταῖς κατὰ μέρος αἰσθήσεσι συνεργοῦσα καὶ ἡ κοινὴ αἴσθησις,, ὧν ἠρεμία τὸν ὕπνον ἐργάζεται. τριττὸς δὲ ὁ ὕπνος ἢ κατὰ φύσιν ἢ παρὰ φύσιν ἢ μεταξὺ ἀμφοτέρων.

Ἀλλ' ἐπειδὴ περὶ ὕπνου ὁ λόγος, φέρε τὰ τέσσαρα 3) γενεσιουργὰ αἴτια τῶν ὕπνων 4) διασκεψώμεθα. καὶ ποιητικὸν μὲν αἴτιόν ἐστιν ἡ ἠρεμία τῶν κατὰ μέρος αἰσθήσεων καὶ τῆς κοινῆς αἰσθήσεως. καὶ ὅτι ποιητικὸν μὲν αἴτιόν ἐστι 5) τοῦ ὕπνου ἡ ἠρεμία τῶν κατὰ μέρος αἰσθήσεων καὶ τῆς κοινῆς αἰσθήσεως, πάντες ὡμοφώνησαν. περὶ δὲ ἕτερόν τι ἀμφιβάλλουσιν οἱ ἰατροὶ καὶ οἱ φιλόσοφοι, περὶ τῆς ἐνεργείας καὶ τῆς ἠρεμίας, εἰ 6) ἔστιν ἀμφότερα ὑπὸ φύσεως, 7) καὶ κατὰ πρῶτον λόγον ἐπιτελοῦνται. καὶ οἱ μὲν ἰατροὶ ἀμφότερα ὑπὸ φύσεως λέγουσιν ἐπιτελεῖσθαι καὶ κατὰ πρῶτον λόγον δεικνύντες τὸν τρόπον τοῦτον. ἡ φύσις πολλὴν πρόνοιαν καὶ φροντίδα περὶ τῶν ὑπ' αὐτῆς γινομένων ποιεῖται, καὶ ποιήσασα

---

1) καὶ ἐλευθ. om. M. A. 2) δὲ M. A. 3) γενεσιουργικὰ M. A. 4) προσδιασ. M. προδιασ. A. 5) τοῦ ὕπνου om. L. 6) γε M. A 7) λέγουσιν ἐπιτελεῖσθαι add. M. A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 162 sur 382

τὴν ἐνέργειαν ἐπετήδευσε καὶ τὴν ἠρεμίαν, ἵνα μὴ τῇ ἀεννάῳ κινήσει καὶ ἐνεργείᾳ φθείρωνται τὰ μόρια καὶ ἐν αὐτοῖς καταβληθῶσιν αἱ δυνάμεις. 1) διὸ ὡς εἴρηται καὶ τὴν ἐνέργειαν καὶ τὴν ἠρεμίαν κατὰ πρῶτον λόγον ἐποίησεν ἡ πάνσοφος φύσις, ἵνα μετὰ τὴν ἐνέργειαν 2) ἠρεμοῦντα ἀνάπαυλαν καὶ ἀνακωχὴν 3) λαμβάνοντα ἐν 4) αὐτοῖς αἱ δυνάμεις, πάλιν πρὸς ὁρμὴν τῆς ἐνεργείας ἀκόπως ἐπιβαίνωσιν. ἢ οὐχ ὁρῶμεν τὰ ἀγαθὰ τὰ γινόμενα ἐν τοῖς ὕπνοις, τὴν διάφορον πέψιν καὶ τὴν διάκρισιν τῶν χυμῶν, καὶ τὰ τοιαῦτα; ὅθεν τινὲς τὸν ὕπνον οὐκ ἠθέλησαν ἠρεμίαν καλέσαι, ἀλλ' ἐπιτεταμένην κίνησιν τῶν φυσικῶν δυνάμεων. Οἱ δὲ φιλόσοφοι λέγουσι, κατὰ πρῶτον λόγον τὴν ἐνέργειαν ἀποτελεῖσθαι ὑπὸ τῆς φύσεως, τὴν δὲ ἠρεμίαν παρακολούθημά τι εἶναι, κατασκευάζοντες οὕτως, ὅτι ἡ φύσις διὰ τοῦτο ἐποίησε καὶ τὴν διάφορον ποικιλίαν τῶν μορίων κατεσκεύασε, διὰ τὴν ἐνέργειαν, ἵνα ἀμέμπτως καὶ κατὰ πρῶτον λόγον ἐπιτελῆται ἡ ἐνέργεια, ἡ δὲ ἠρεμία παρακολουθῇ, ἵνα μετὰ τὴν ἐνέργειαν καὶ ἠρεμοῦσι τά τε μόρια καὶ αἱ δυνάμεις. καὶ ἐπειδὴ δὲ φύσεως ἐμνημονεύσαμεν, τριττὴ δέ ἐστιν αὕτη, εἴπωμεν, ὑπὸ ποίας φύσεως προνοίᾳ ἐπιτελεῖται ἡ ἠρεμία, ἤγουν ὁ ὕπνος. ἔστι γὰρ ἡ φυτικὴ ψυχὴ, ἔστιν ἡ λογικὴ ψυχὴ, ἔστι καὶ ἡ ἄλογος ψυχή. ὑπὸ ποίας ἄρα τούτων ἐπιτελεῖται ὁ ὕπνος; καὶ ὑπὸ μὲν τῆς 5) φυτικῆς οὐδαμῶς, ἐπεὶ ὤφειλον καὶ τὰ φυτὰ ὑπνοῦν. ἀλλ' ἐπὶ τῆς λογικῆς οὐδαμῶς, ἐπεὶ ὤφειλε μόνος ὁ ἄνθρωπος ὑπνοῦν. οὐκοῦν προνοίᾳ τῆς ἀλόγου ψυχῆς· διάφοροί εἰσιν ἐν αὐτῷ δυνάμεις κινητικαί. ἔστι γὰρ ζωτικὴ, ἔστι καὶ κινητική. ὑπὸ ποίας 6) ἄρα τούτων ἐπιτελεῖται ὁ ὕπνος; ὑπὸ μὲν τῆς ζωτικῆς οὐδαμῶς. αὐτὴ γὰρ ἀεὶ ἐνεργεῖ κατά τε τὴν σφυγμικὴν καὶ τὴν ἀναπνευστικήν. ἀλλ' ἴσως ἀπορεῖ τις λέγων, καὶ πῶς οὐ φθείρονται τῇ ἀεννάῳ κινήσει καὶ 7) ἐνεργείᾳ; καὶ λέγομεν, ὅτι οὐκ ἔστι μία καὶ ἡ αὐτὴ κίνησις, ἀλλὰ

---

1) ὕπνος ἐστὶν ἠρεμία τῶν κατὰ μέρος αἰσθήσεων καὶ τῆς κοινῆς αἰσθήσεως, καὶ κίνησις ἐπιτεταμένη τῶν φυσικῶν δυνάμεων. L. in mg. 2) Fort. ἠρεμοῦσαι — λαμβάνουσαι. 3) λαμβάνωνται M. A. 4) αὐτοῖς sc. ὕπνοις. 5) φυσικῆς M. 6) ὅτι τοῦτο M. 7) συνεργείᾳ M. A.

δύο ἐναντίαι. μεταξὺ δὲ δύο ἐναντίων κινήσεων, πάντως μεταξὺ 1) λαβεῖται ἠρεμία. ἐπὶ μὲν τῆς σφυγμικῆς ἐστι συστολὴ καὶ διαστολὴ. καὶ ἐν τῷ μέσῳ, ἐν ᾧ ἀλλήλας διαδέχονται, ἔστιν ἡ ἠρεμία. ἀλλὰ καὶ ἐπὶ τῆς ἀναπνοῆς, ἔστιν εἰσπνοὴ καὶ ἐκπνοὴ, καὶ μεταξὺ λαβεῖται ἠρεμία. ἐν ταύταις οὖν ταῖς εἰρημέναις ἀνακωχὴν λαμβάνουσαι αἱ ζωτικαὶ δυνάμεις, ἀποτελοῦσι τὴν οἰκείαν ἐνέργειαν. ἀλλ' οὐδὲ ὑπὸ τῆς 2) ζωτικῆς δυνάμεως ἀποτελεῖται ὁ ὕπνος, ἐπειδὴ αἱ καθ' ὁρμὴν κινήσεις προαιρέσει δουλεύουσιν, ὁ δὲ ὕπνος προαιρέσει οὐ δουλεύει. 3) λείπεται οὖν προνοίᾳ ὑπὸ τῆς ἀλόγου ψυχῆς καὶ τῆς κατὰ μέρος αἰσθήσεως καὶ τῆς κοινῆς αἰσθήσεως ἐπιτελεῖσθαι τὸν ὕπνον· κατὰ συμβεβηκὸς δὲ καὶ ὑπὸ τῆς ἠρεμίας τῆς φαντασίας καὶ τῆς μνήμης ἐπιτελεῖται ὁ ὕπνος. τί γὰρ ἠρεμουσῶν τῶν αἰσθήσεων, οὐκ ἀναπέμπονται τύποι ἐπὶ τῇ φαντασίᾳ, ἐν ᾧ ὤφειλε φαντασθῆναι, καὶ ἐντεῦθεν ἠρεμεῖ; καὶ ἰδοὺ κατὰ μὲν πρῶτον λόγον ὑπὸ τῶν αἰσθήσεων ἐπιτελεῖται ὁ ὕπνος· κατὰ συμβεβηκὸς δὲ καὶ ὑπὸ τῆς ἠρεμίας τῆς φαντασίας καὶ τῆς μνήμης. ἀλλ' ἴσως ἀπορεῖ τις λέγων, ὅτι εἰ οὖν ἡ φαντασία ἐν τοῖς ὕπνοις ἠρεμεῖ, πῶς ὀνειρώττομεν ἐν τοῖς ὕπνοις, εἰ μὴ ὅτι τῆς φαντασίας ἐνεργούσης; καὶ λέγομεν, ὅτι ἐν τῷ κατὰ φύσιν ὕπνῳ ἡ φαντασία πάντως ἠρεμεῖ, ὅθεν οὐδὲ ὀνειρώττομεν ἐν τῷ κατὰ φύσιν ὕπνῳ. εἰ μὴ γὰρ αἱ αἰσθήσεις πέμπουσι τοὺς 4) τύπους τῇ φαντασίᾳ, οὐκ ἐνεργεῖ. τούτων δὲ ἠρεμουσῶν ἐν τῷ ὕπνῳ, καὶ ἡ φαντασία ἠρεμεῖ καὶ ἡ μνήμη ἐν τῷ κατὰ φύσιν ὕπνῳ. οὐδὲν γάρ ἐστι φαντασία, ἢ μονὴ καὶ στάσις τῶν φαντασθέντων.

Ὑλικὸν δὲ αἴτιόν ἐστι τοῦ ὕπνου, ἡ ἀναπεμπομένη χρηστὴ ὑγρότης, ἥτις φερομένη ἐπὶ τοὺς πόρους τῶν νεύρων καὶ περὶ τὰς ῥίζας αὐτῶν, παρεμποδίζει καὶ παρακωλύει διεξελθεῖν τὸ ψυχικὸν πνεῦμα. τούτου γὰρ κωλυομένου, οὐ διοδεύει καὶ διαλάμπεται ἀκτινοειδῶς ταῖς αἰσθήσεσιν, ἀλλ' ἠρεμίαν ἔχουσιν, ὅπερ ὁ κατὰ φύσιν ἐστὶν ὕπνος. καλῶς δὲ εἴπομεν ὅτι παρακωλύει διεξελ-

---

1) deprehendetur. 2) λογικῆς Merc. in mg. 3) λοιπὸν M. A. 4) ὕπνους L.

θεῖν τὸ ψυχικὸν πνεῦμα. οὐδὲ γὰρ πάντη ἐμφράττει τας ῥίζας τῶν νεύρων καὶ τοὺς πόρους ἡ χρηστὴ ὑγρότης, ἀλλ' 1) ἐπιπολαίως, ὥστε μοῖρά τις τοῦ ψυχικοῦ πνεύματος διεξέρχεται. οὕτως γὰρ καὶ ἐπὶ τῶν ἐκτὸς ὁρῶμεν ἐπὶ τοῦ ἡλίου, ἡνίκα καθαρὸν νέφος ὑποδράμῃ τῷ ἡλίῳ, τὴν μὲν ἀκτῖνα αὐτοῦ κωλύει διεξελθεῖν. τὸ δὲ φῶς διεξέρχεται καὶ ποιεῖ τὴν ἡμέραν. 2) οὕτως οὖν καὶ ἐνταῦθα διεξέρχεται μοῖρά τις ψυχικὴ τοῦ ψυχικοῦ πνεύματος, ὡς δηλοῖ τὸ ἐν τῷ ὑπνώττειν ἡμᾶς συγγινώσκειν πολλάκις τὰ λεγόμενα, καὶ τὰ γινόμενα ἀκούομεν, ἐν οἱφδήποτε ὑπνοῦντες οἴκῳ. εἰ δὲ ἀχλυωδέστερον καὶ παχύτερόν ἐστι τὸ ὑγρὸν, καὶ μείζων ἡ ἔμφραξις γένηται, τότε οὐχ ὕπνος ἐστὶ σχεδὸν, ἀλλ' ἀποπληξία ἢ κῶμα καὶ τὰ τοιαῦτα. ὥσπερ πάλιν ἐπὶ τοῦ ἡλίου ἐὰν νέφος ζοφῶδες καὶ παχὺ ὑποδράμῃ αὐτὸν, ποτὲ οὐ μόνον τὴν ἀκτῖνα κωλύει, ἀλλὰ καὶ τὸ φῶς, ὡς δοκεῖν ἡμᾶς ὁρᾷν πολλάκις τοῦτο γινόμενον ἐν ἡμέρᾳ, ὡς ἑσπέραν εἶναι. εἰ δὲ γεωδέστερόν ἐστι τὸ ὑγρὸν, παντελῆ ποιεῖται τὴν ἔμφραξιν καὶ θάνατον ἐπιφέρει, οὐ μὴν ὕπνον. οὕτως καὶ γὰρ ὁ ἥλιος 3) ὑπόγειος γινόμενος καὶ σκεπόμενος ὑπὸ τοῦ πάχους τῆς γῆς 4) στερεῖται ὁ ἀὴρ οὗτος τοῦ φωτίζοντος καὶ γίνεται ἡ νύξ. τοῦτο οὖν καὶ τὸ ὑλικόν ἐστιν αἴτιον, ἡ χρηστὴ ὑγρότης.

Ὀργανικὸν δὲ αἴτιόν ἐστιν αὐτὸς ὁ ἐγκέφαλος ἐν ᾧ χορηγεῖται ἡ ὑγρότης.

Τελικὸν δὲ αἴτιόν ἐστι, δι' οὗ ἐγένετο αὐτὸς ὁ ὕπνος, λέγω δὴ διὰ τὴν ἀνάπαυλαν τῶν δυνάμεων.

Δεύτερόν ἐστι κεφάλαιον, ἐν ᾧ δεῖ ἡμᾶς τέσσαρό τινα περὶ τοῦ ὕπνου εἰπεῖν καὶ ζητῆσαι, τὸ ποσὸν τοῦ ὕπνου, τὸ ποιὸν, τὸν καιρὸν, τὸν τρόπον τῆς χρήσεως. καὶ ἀρκτέον ἀπὸ τοῦ ποσοῦ.

Τὸ ποσὸν τοῦ ὕπνου μήτε πολὺ δεῖ 5) εἶναι, μήτε βραχύ· ὁ γὰρ πολὺς ὕπνος περιττωματικὸν τὸ σῶμα δη-

1) ἐπιπόλως L. 2) Pulchre probatum, quo in somno interdum phantasiae oriuntur, interdum non. 3) ὑπόϋλος M. A. 4) ἐστέρηται M. A. 5) εἰδέναι L.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 165 sur 382

λοῖ καὶ αὐτὴν τὴν ἀναπεμπομένην ὑγρότητα. ὁ δὲ βραχὺς ὕπνος δηλοῖ ἔνδειαν ὑγρότητος, καὶ λεπτοῦ καὶ ἀερώδους φύσιν τοῦ ὑγροῦ. τοτηνικαῦτα γὰρ ἑτοίμως διαφορεῖται, καὶ διὰ τοῦτο βραχὺς γίνεται ὁ ὕπνος. ἀλλὰ δεῖ μέσον αὐτὸν εἶναι μήτε πολὺν μήτε βραχύν.

Κατὰ δὲ ποιότητα, οὐ δεῖ τὸν ὕπνον βαθὺν εἶναι καὶ καταφορικόν. κακὸν γάρ ἐστι. δηλοῖ 1) γὰρ παχεῖαν τὴν ὑγρότητα. ἀλλ' οὔτε ἐπιπόλαιον δεῖ εἶναι τὸν ὕπνον καὶ 2) ἑτοιμοεγρήγορον· δηλοῖ γὰρ λεπτὴν τὴν ὑγρότητα καὶ εὐδιαφόρητον. ἀλλὰ δεῖ αὐτὸν μέσως πως εἶναι.

Κατὰ δὲ τὸν καιρὸν, δεῖ ἐν τῇ νυκτερινῇ ὥρᾳ ἐπιτελεῖσθαι τοὺς ὕπνους. τότε γὰρ ἐπιτηδειότης ἐστὶ τῆς ἠρεμίας ἐπὶ παντὸς ζώου. ἀλλ' ἴσως ἐρεῖ τις ὅτι καὶ πῶς τινας ὁρῶμεν τῶν τεχνιτῶν ἐν μὲν τῇ νυκτὶ κάμνοντας, ἐν δὲ τῇ ἡμέρᾳ ὑπνοῦντας, καὶ ὑγιεινῶς διάγοντας, ὥσπερ 3) μάγκυπες καὶ χαλκεῖς; πρὸς ὅ φαμεν ὅτι ἐν τοῖς χρόνοις τοῦ Ἱπποκράτους 4) πάντες εὐτάκτως ἐβίουν, καὶ οὐκ ἦν τοιαύτη κατάστασις, ἀλλὰ κοσμίως ἔζων. οὕτως γὰρ καὶ ἐπὶ τῶν ἐκτὸς ὁρῶμεν, ὅτι ἀνίσχοντος τοῦ ἡλίου καὶ ἡμέρας γινομένης, πάντα τὰ ζῶα 5) ἐπὶ τὰ πλεῖστα ὁρμῶσι πρὸς τὴν ἐνέργειαν. ὑπὸ γῆν δὲ γινομένου τοῦ ἡλίου, πάλιν ἐν ἡσυχίᾳ διάγουσι τὰ ζῶα· οὕτως καὶ οἱ τότε ἄνθρωποι κοσμικὴν τάξιν ἐφρόντιζον, καὶ ἐν μὲν τῇ νυκτὶ ὕπνουν, ἐν δὲ τῇ ἡμέρᾳ ἐνήργουν. δεῖ γὰρ εἰδέναι, ὅτι ἐν τῇ νυκτί ἐστιν ὁ κατὰ φύσιν ὕπνος, ἐπειδὴ τοῦ ἡλίου ὑπὸ γῆν γινομένου στερεῖται ὁ ἀὴρ τοῦ φωτίζειν, καὶ πρὸς ἐνέργειαν 6) οὐ ποιεῖ τὰς αἰσθήσεις κινεῖσθαι. τί γὰρ ὅτι ἀπόντος τοῦ φωτίζοντος, οὐκ ἀντιλαμβάνονται αἱ αἰσθήσεις περὶ τὰ αἰσθητὰ, καὶ λοιπὸν ἠρεμοῦσι, καὶ διὰ τοῦτο ἐν νυκτὶ μάλιστα ἐπιτελεῖται ὁ κατα φύσιν ὕπνος. ἢ καὶ ἄλλως· ἑκάστη νὺξ πρὸς τὴν οἰκείαν ἡμέραν ψυχροτέρα ἐστίν. ἐν γοῦν τῇ νυκτὶ ὑπὸ τῆς ψύξεως στεγνοῦται ἡ ἐπιφάνεια τοῦ δέρματος, καὶ τῇ στεγνώσει περιστέλλεται τὸ ἔμφυτον θερμὸν, καὶ συννεύει

---

1) δὲ M. 2) ἑτοιμοεγρήγορτον A. 3) μάγγιπες L. μάγκυπες M. A. Alibi μάγκιπες, pistores. Vide Du Cang. 4) πάντως L. 5) ἔλειτοι Codd. 6) ποιοῦντος M. A.

ἐπὶ τὸ βάθος, δηλονότι καὶ ἡ φύσις συννεύει ἐπὶ τὸ βάθος, καὶ λοιπὸν οὐκ ἐλλάμπεται ταῖς αἰσθήσεσι. καὶ τοτηνικαῦτα 1) ὁ κατὰ φύσιν ὕπνος ἕπεται τῇ νυκτί. ἵνα δὲ ἐπὶ τὸ τελειότερον ἀγάγωμεν τὸν λόγον, δεῖ ἡμᾶς ἐκ 2) διαιρέσεως προελθεῖν καὶ εἰπεῖν οὕτως, ὅτι ὁ ὕπνος, εἰ καὶ ἐν τῇ νυκτὶ καὶ ἐν τῇ ἡμέρᾳ ἐπιτελεῖται καί ἐστι κακός. δηλοῖ γὰρ ἢ ἀποπληξίαν ἢ κάρον ἢ κῶμα ἢ ἕτερόν τι τοιοῦτον. ἔστι δ᾽ ὅτε καὶ θάνατον ἐπιφέρει. ἢ οὐδὲ ἐν τῇ νυκτὶ, οὐδὲ ἐν τῇ ἡμέρᾳ. οὗτος δὲ οὐκ ἔστιν ὕπνος, ἀλλ᾽ ἀγρυπνία, ὅπερ καὶ τοῦτο κακόν ἐστι. δηλοῖ γὰρ ἐπιτεταμένην ξηρότητα, καὶ ἐλαχίστην ὑγρότητα, ἥτις καὶ αὐτὴ λεπτὴ οὖσα, διαφορεῖται καὶ διὰ τοῦτο οὐχ ὑπνοῦσιν· ἢ ἐν τῇ νυκτὶ ἐπιτελεῖται, καί ἐστιν οὗτος ἀγαθὸς ὕπνος καὶ κατὰ φύσιν, ὡς ἤδη ἡ αἰτία εἴρηται πρόσθεν· ἢ ἐν τῇ ἡμέρᾳ ἐπιτελεῖται μόνον· οὗτος δὲ ἧττόν ἐστιν ἀγαθὸς, ὡς πρὸς τὸν ἐν νυκτὶ ἐπιτελούμενον. τῶν δὲ ἄλλων καλλίων ἐστὶν οὗτος. τί γὰρ ὅτι πολλάκις διά τινα ἐπιτεταμένην ὀδύνην ἢ φροντίδα τινὰ οὐκ 3) ἐκοιμήθησαν ἐν τῇ νυκτὶ, καὶ ὅπερ ἐν τῇ νυκτὶ σφάλμα γέγονε, δέον ἐν τῇ ἡμέρᾳ ἀναπληρωθῆναι τὸ 4) σφάλμα, καὶ ἀνάπαυλαν καὶ ἄνεσιν γενέσθαι τῶν δυνάμεων· πλὴν καὶ τοῦτο δεῖ σε εἰδέναι, ὅτι καὶ τῆς ἡμέρας κάλλιόν ἐστιν ἐν τῷ ἑωθινῷ ὑπνῶσαι, ἐπειδὴ τὸ ψυχρότερόν ἐστι τὸ ἑωθινὸν τῆς ἡμέρας.

Ὁ δὲ τρόπος τῆς χρήσεως τοῦ ὕπνου ἐστὶν, ἵνα εἱρμῷ τινι καὶ ἀκολουθίᾳ καὶ συνέχεια φυλάττηται ἐν τῷ ὕπνῳ, καὶ μὴ διακόπτεσθαι τὸν ὕπνον. ὁ γὰρ εἱρμῷ τινι καὶ ἀκολουθίᾳ γινόμενος ὕπνος χρηστὴν ὑγρότητα ἐνδείκνυται. ὁ δὲ διακοπτόμενος ὕπνος δηλοῖ λεπτὴν τὴν ὑγρότητα καὶ εὐδιαφόρητον. καὶ καθ᾽ ἣν διεφορήθη, διακόπτεται ὁ ὕπνος καὶ διϋπνίζονται· ἢ πολλάκις διακόπτεται ὁ ὕπνος ὑπὸ φροντίδος πολλῆς. τί γάρ; κοιμᾶται καὶ αὐτὴ ἡ φροντὶς διϋπνίζει αὐτὸν, καὶ πάλιν κοιμᾶται, καὶ πάλιν ἡ φροντὶς διϋπνίζει αὐτὸν καὶ οὕτως διακόπτεται ὁ ὕπνος 5) αὐτῶν.

---

1) καὶ L. 2) προαιρέσ. L. 3) ἐκοιμήθη M. 4) σφαλὲν M. A.
5) αὐτῶν om. M. A.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 167 sur 382

Διαχώρημα δὲ ἄριστόν ἐστι μαλθακόν τε καὶ συνεστηκὸς καὶ τὴν ὥραν ἥνπερ καὶ ὑγιαίνοντι διεχώρει· πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων. —

1) Μεμαθήκαμεν ὅτι τριττή ἐστιν ἡ 2) πέψις· ἔστι γὰρ πρώτη ἡ χυλοποίησις, ἧς 3) περίττωμά ἐστιν ἡ κόπρος, δευτέρα δὲ πέψις ἡ ἐν ἥπατι γινομένη, ἡ ἐξαιμάτωσις, ἧς περίττωμά ἐστι τὸ οὖρον, τρίτη πέψις ἐστὶν ἡ ἐν ἑκάστῳ μορίῳ, ἤγουν ἡ ἐν τῷ παντὶ σώματι πέψις καὶ ἐξομοίωσις, ἧς περίττωμά ἐστιν ἡ ἄδηλος διαπνοή. νῦν οὖν περὶ τοῦ περιττώματος τῆς πρώτης πέψεως διαλέγεται, λέγω δὴ τῆς κόπρου. καὶ τοῦτο σημειοῦται ἀπὸ ἕξ τινων, ἀπὸ τῆς ποσότητος, ἀπὸ τῆς συστάσεως, ἀπὸ τοῦ καιροῦ, ἀπὸ τῆς χροιᾶς, ἀπὸ τῆς ὀσμῆς, ἀπὸ τοῦ τρόπου τῆς ἐκκρίσεως.

Ἀπὸ τῆς ποσότητος, πῶς τὸ κατὰ φύσιν διαχώρημα, οὐ πρὸς τὴν ποσότητα τῆς παρεχομένης τροφῆς δέον προσέχειν, ἀλλὰ πρὸς τὴν φύσιν αὐτῆς τῆς περιεχομένης τροφῆς. 4) τινὰ μὲν γὰρ τῶν τροφῶν πολὺ μὲν τρέφουσι καὶ πολὺ ἔχουσι τὸ χρηστὸν, ὀλίγον δὲ τὸ περίττωμα, ὥσπερ κρέα καὶ ὄρνεα, καὶ τὰ τοιαῦτα, τινὰ δὲ τοὐναντίον ὀλίγον τρέφουσιν, ἐπειδὴ ἐλάχιστον ἔχουσι τὸ χρηστὸν, ὥσπερ καὶ λάχανα καὶ φακὴ καὶ τὰ ὄσπρια. καὶ τοῦτο ἐστιν ὅπερ λέγει ὁ Ἱπποκράτης, πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων.

Ἀπὸ δὲ τῆς συστάσεως, τὸ κατὰ φύσιν διαχώρημα οὔτε ἔξυγρον καὶ ὑδαρὲς θέλει εἶναι, οὔτε μὴν σκληρὸν καὶ συνεστραμμένον, ἀλλὰ μέσως πως.

Ἀπὸ δὲ τοῦ καιροῦ, τὸ κατὰ φύσιν διαχώρημα δεῖ ἐν τῷ ἑωθινῷ καιρῷ τῆς ἡμέρας ἀποπατεῖσθαι. μετὰ γὰρ τὴν πέψιν καὶ τὴν διάκρισιν, τότε εἰς ἀποπάτησιν τρέπονται οἱ ἄνθρωποι.

Ἀπὸ δὲ τῆς χροιᾶς, δεῖ τὸ κατὰ φύσιν διαχώρημα ὅσον πρὸς ἑαυτὸ λευκὸν εἶναι, ἐπειδὴ καὶ ὁ χυλὸς τοι-

---

1) περὶ διαχωρημάτων L. in mg. 2) περίττωσις M. A. 3) περίττωσις M. 4) Fort. τινὲς sive τῶν τροφίμων. Sed Stephanus saepius σολοικίζει.

οὗτός ἐστιν. ἀλλ᾽ ἐπειδὴ ἀπὸ χολῆς χρώννυται, δεῖ αὐτὸ ὑπόξανθον εἶναι καὶ ὑπέρυθρον.

Ἀπὸ δὲ τῆς ὀσμῆς, τὸ κατὰ φύσιν διαχώρημα οὐ θέλει εἶναι οὔτε δυσωδέστατον, οὔτε εὔοσμον. τὸ γὰρ δυσωδέστατον δηλοῖ μεγάλην σηπεδόνα ἐν τῇ γαστρὶ καὶ ἐν τοῖς ἐντέροις. τὸ δὲ εὐῶδες διαχώρημα δηλοῖ, ὅτι καὶ τὰ χρηστὰ μετὰ τῶν ἀχρήστων ἐκκρίνεται, ἀλλὰ δεῖ αὐτὸ 1) ὀλίγης μετέχειν δυσωδίας, ὡς αὐτός φησι καὶ ἥκιστα δυσῶδες.

Ἀπὸ δὲ τοῦ τρόπου τῆς ἐκκρίσεως, δεῖ τὸ κατὰ φύσιν διαχώρημα μήτε μετὰ τρυσμοῦ τινος ἢ πνεύματος ἢ μετά τινος ὀδύνης ἐκκρίνεσθαι, μήτε μετὰ τεινεσμοῦ τινος καὶ συντάσεως, ἀλλὰ δεῖ αὐτὸ ὁμαλῶς καὶ ἀδιακόπως ἐκκρίνεσθαι.

Λοιπὸν δὲ δεῖ ἡμᾶς καὶ τὴν αἰτίαν ἑκάστου ἀποδοῦναι. καὶ τέως τῆς κατὰ ποσότητα εἴπωμεν τὰ αἴτια. γίνεται πολὺ τὸ διαχώρημα ἢ δι᾽ ἀσθένειαν τῆς 2) καθεκτικῆς δυνάμεως, μὴ ἰσχυσάσης κατασχεῖν, ἀλλ᾽ ἐξεῶσαι, καὶ τοτηνικαῦτα καὶ τὰ χρηστὰ μετὰ τῶν ἀχρήστων συνεκκρίνεται, ἢ διὰ βλάβην τῆς ἀναδόσεως. βλάπτεται δὲ ἡ ἀνάδοσις ἢ δι᾽ ἀσθένειαν τῆς ἐν ἥπατι ἑλκτικῆς, μὴ ἰσχυούσης ἕλξαι, ἢ δι᾽ ἔμφραξιν ἢ φλεγμονὴν τῶν μεσαραϊκῶν φλεβῶν. τὸ τηνικαῦτα γὰρ ἐνδεὴς γίνεται ἡ ἀνάδοσις, καὶ ἐξ ἀνάγκης καὶ ὁ χυλὸς φέρεται μετὰ τῆς κόπρου καὶ συνεκκρίνεται καὶ πολὺ γίνεται τὸ διαχώρημα, ἢ δι᾽ ἐπιῤῥοὴν χυμῶν τινων ἐπὶ τὴν γαστέρα ἀπὸ τοῦ παντὸς σώματος συῤῥυέντων. τί γὰρ ὅτι συνεκκρίνονται καὶ οἱ χυμοὶ 3) οὗτοι μετὰ τῆς κόπρου καὶ γίνεται πολὺ τὸ διαχώρημα. ὀλίγον δὲ γίνεται ἢ διὰ πλημμελῆ βλάβην τῆς καθεκτικῆς δυνάμεως, πλέον 4) κατέχουσα τοῦ δέοντος· ἀναδίδοται γὰρ τὸ πλεῖστον μέρος τοῦ χυλοῦ καὶ ὀλίγον γίνεται τὸ διαχώρημα, ἢ διὰ πλημμελῆ βλάβην τῆς ἑλκτικῆς δυνάμεως τοῦ ἥπατος, ἐπὶ πλέον τοῦ δέοντος ἕλκοντος, καὶ ἐντεῦθεν γίνεται ὀλίγον τὸ διαχώ-

---

1) μετ. ὀλίγ. M. 2) ἀποκριτικῆς M. A. 3) οὗτοι om. M. 4) κατέχουσιν M. Fort. κατεχούσης.

ρημα, ἢ διὰ θερμὴν δυσκρασίαν τῶν μεσαραϊκῶν φλεβῶν. σχεδὸν δὲ ἡ αὐτή ἐστιν αἰτία. καὶ ἐνταῦθα γὰρ ἕλκει ἡ θερμὴ δυσκρασία τὸ ὑγρὸν, ἤγουν τὸν χυλὸν, καὶ ἐξαναλίσκει καὶ δαπανᾷ πλέον τοῦ δέοντος, καὶ ὀλίγον γίνεται τὸ διαχώρημα.

Τῆς δὲ κατὰ σύστασιν ἀμετρίας, τίς ἡ αἰτία; τὸ δἴυγρον καὶ ὑδαρὲς γίνεσθαι τὸ διαχώρημα, ἢ σκληρὸν καὶ ξηρόν. καὶ ὑγρὸν καὶ ὑδαρὲς γίνεται τὸ διαχώρημα δι' ἀσθένειαν τῆς ἀλλοιωτικῆς δυνάμεως, μὴ ἰσχυούσης ἀλλοιῶσαι καὶ χυμῶσαι καὶ πέψαι, ἀλλ' 1) ἐξεῶσαι. τὸ τηνικαῦτα γὰρ ἔξυγρον γίνεται τὸ διαχώρημα, ὥσπερ ἐν ταῖς κοιλιακαῖς διαθέσεσιν, ἢ διὰ πλημμελῆ βλάβην τῆς καθεκτικῆς δυνάμεως, μὴ τὸν δέοντα καιρὸν κατέχουσα ἐν ᾧ ὤφειλεν ἡ ἀλλοιωτικὴ 2) δύναμις ἐνεργῆσαι, ἀλλὰ πρὸ ὥρας 3) ἐξεῶσα φέρεται δἴυγρον, ἢ δι' ἐνδεῆ ἀνάδοσιν. τί γὰρ ὅτι ἐνδεοῦς 4) [οὔσης] τῆς ἀναδόσεως γινομένης, φέρεται καὶ ὁ χυλὸς καὶ ἐξυγραίνει το διαχώρημα, ἢ διὰ κακοχυμίαν ἀπὸ τοῦ παντὸς σώματος ἐπὶ τὴν γαστέρα συῤῥέουσαν. τὸ τηνικαῦτα γὰρ συνεκκρίνονται τῷ περιττώματι καὶ ἐξυγραίνουσιν αὐτό. ξηρὸν δὲ γίνεται τὸ διαχώρημα ἢ διὰ θερμὴν δυσκρασίαν τοῦ ἥπατος καὶ τῶν
* περὶ τὴν γαστέρα χωρίων, καὶ ἐκδαπανώσης τὸ ὑγρὸν, ἢ διὰ πλημμελῆ βλάβην τῆς καθεκτικῆς δυνάμεως, πλέον τοῦ δέοντος κατέχουσα. τὸ τηνικαῦτα γὰρ ἀναδίδοται τὸ ὑγρὸν καὶ κερδαίνει τι ἐξ αὐτοῦ καὶ ξηρὸν γίνεται τὸ διαχώρημα.

Τῆς δὲ κατὰ τὸν καιρὸν, τοῦ πρὸ ὥρας ἐκκρίνεσθαι τὸ διαχώρημα αἰτία καθέστηκεν ἡ καθεκτικὴ δύναμις, διὰ πλημμελῆ βλάβην, τῆς ἀποκριτικῆς πρὸ ὥρας ἐπεγειρομένης καὶ ἀποκρινούσης τὸ διαχώρημα, ἢ δι' ἐπιῤῥοὴν 5) καὶ κακοχυμίας φερομένης ἐπὶ τὴν ἀποκριτικὴν δύναμιν καὶ 6) μαστιζούσης αὐτὴν, πρὸ ὥρας ἐπεγειρομένη, πρωϊαίτερον ἐκκρίνει τὸ διαχώρημα, ὀψιαίτερον δὲ ἀπωθεῖται ἡ κόπρος, ἢ διὰ πλημμελῆ βλάβην τῆς καθε-

---

1) ἐξεώσης L. Fort. ἐξεωσάσης. 2) δύναμις om. L. 3) Fort. ἐξεώσασα. 4) οὔσης om. M. 5) καὶ om. M. 6) μὴ βασταζούσης L.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 170 sur 382

κτικῆς δυνάμεως, πλέον τοῦ δέοντος 1) κατέχουσα, τυχὸν μετὰ τὴν πέψιν, ἢ διὰ πλημμελῆ βλάβην, τῆς ἀποκριτικῆς μὴ ἐπεγειρομένης εἰς τὸν δέοντα καιρὸν καὶ ἀποκρινούσης τὸ διαχώρημα, ἀλλ' ἐμβραδυνούσης.

Ἀπὸ δὲ τοῦ χρώματος, ὅσον πρὸς ἑαυτὸ ἔδει λευκὸν εἶναι, ἐπειδὴ καὶ ἡ γαστὴρ καὶ τὰ ἔντερα λευκά εἰσιν, ἀλλὰ καὶ ὁ χυλὸς λευκός. ἀλλ' ἐπειδὴ δύο ἀγγεῖα ἀπὸ τῆς χοληδόχου κύστεως ἐκφύονται, καὶ τὸ μὲν μεῖζον φέρεται ἐπὶ τὰ ἔντερα, τὸ δὲ μικρότερον ἐπὶ τὴν γαστέρα, χάριν τοῦ χρωννύειν τὴν κόπρον, διὰ τοῦτο δεῖ τὴν κόπρον ὑπόξανθον καὶ ὑπέρυθρον εἶναι.

Ἀπὸ δὲ τοῦ τρόπου τῆς ἐκκρίσεως, ὅτι δεῖ εὐφόρως ἐκκρίνεσθαι καὶ ὁμαλῶς. τὸ δὲ μετὰ τρυσμοῦ καὶ πνευμάτων καὶ 2) τεινεσμῶν γίνεται τρόπῳ τοιούτῳ· τὸ μὲν μετὰ τρυσμοῦ δηλοῖ περιουσίαν φλέγματος ἐν τοῖς ἐντέροις καὶ τῷ ἀπευθυσμένῳ ἐγκειμένην. τηνικαῦτα γὰρ ἀποστενοῖ τὴν διέξοδον τοῦ διαχωρήματος. λοιπὸν καὶ προσαναλύει τι μέρος τοῦ φλέγματος, καὶ τῇ τοιαύτῃ κινήσει τίκτονται πνεύματά 3) τινα, καὶ ποιοῦσι τὸν τρυσμόν. τὸ δὲ μετὰ φυσῶν ἐκκρίνεσθαι δηλοῖ περιουσίαν πνευμάτων, ἢ ὑπὸ ψυχρᾶς δυσκρασίας τῆς γαστρὸς γεννηθέντων, ἢ διὰ τροφὰς τοιαύτας παρασχεθείσας. τὸ δὲ μετὰ τεινεσμοῦ ἐκκρίνεσθαι δηλοῖ ἢ φλεγμονὴν ἢ ἕλκος γινόμενον ἐν τοῖς τόποις ἐκείνοις. τί γὰρ ὅτι ἀπὸ τῆς φλεγμονῆς ἰχῶρές τινες 4) ἐπιστάζουσιν ἐπὶ τὸ ἀπευθυσμένον καὶ δάκνουσι καὶ ποιοῦσι τεινεσμόν.

Τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου, ἡ κάτω κοιλία ὑγιαίνοι ἄν. —

Ἰστέον ὅτι κάτω κοιλίαν τὴν γαστέρα καὶ τὰ ἔντερα ἐκάλεσε νῦν πρὸς ἀντιδιαστολὴν τοῦ θώρακος. τί οὖν φησιν, ὅτι ἐὰν κατὰ φύσιν ὄντος τοῦ διαχωρήματος, ἐν τῇ διεξόδῳ ἡ γαστὴρ καὶ τὰ ἔντερα ὑγιῶς διάκεινται, πλὴν οὐκ ἀντιστρέφει. οὐδὲ γὰρ εἰ ὑγιῶς διάκειται γαστὴρ καὶ τὰ ἔντερα, ἤδη καὶ τὰ διαχωρήματα κατὰ φύσιν εἰσίν.

---

1) κατεχούσης Mercur. τυχὸν] λοιπὸν M. 2) τεινεσμοῦ M. 3) τὰ πολλὰ M. 4) ἀποστάζουσιν M.

ἐνδέχεται γὰρ καὶ κακοχυμίαν τινὰ ἀπὸ τοῦ παντὸς σώματος συῤῥεῖν ἐπὶ τὴν γαστέρα καὶ ῥευματίζειν αὐτὰ καὶ ἐκκρίνεσθαι κακόχυμον.

Συμφέρει δὲ μήτε τρύζειν μήτε πυκνόν τε ὂν καὶ κατ᾽ ὀλίγον διαχωρέειν. —

Τὸ μετὰ τρυσμοῦ διαχώρημα 1) κάκιστόν ἐστι. γίνεται γὰρ πνευμάτων τινῶν προσαναλυομένων καὶ συνεκκρινομένων τῷ διαχωρήματι. ἢ πολλάκις φλεγμονώδης τις ὄγκος ἐστὶ περὶ τὸ ἀπευθυσμένον, καὶ στενοχωρούμενον τὸ διαχώρημα μετὰ τρυσμοῦ διεξέρχεται. τοῦτο δὲ δεῖ εἰδέναι, ὅτι κατὰ τὸν νόμον τῶν συμπλοκῶν ἓξ γίνονται ἀντιθέσεις. καὶ αἱ μὲν δύο, οὐ συνίστανται, αἱ δὲ λοιπαὶ τέσσαρες συνίστανται. καὶ εἰσὶν αἱ συνιστάμεναι αὗται, πολλὰ πολλάκις ὅπερ καὶ χειρίστη ἐστὶ πασῶν τῶν συζυγιῶν. τί γὰρ ὅτι καὶ τὸ πολλὰ κενοῦσθαι καταβάλλει τὴν δύναμιν, ἀλλὰ καὶ τὸ πολλάκις τῇ συνεχεῖ ἐξαναστάσει καταβάλλεται ἡ δύναμις· πολλὰ ὀλιγάκις· αὕτη ἧττόν ἐστι κακόν· κατὰ γὰρ τὸ πολλὰ κενοῦσθαι καὶ μόνον λυπεῖ τὴν δύναμιν· 2) εἶτα ὀλίγα ὀλιγάκις· αὕτη πλεῖόν ἐστι χειρίστη, πλὴν καὶ αὕτη κατὰ μίαν ἀντίθεσιν λυπεῖ τὴν δύναμιν. τῇ γὰρ συνεχείᾳ τῆς ἐξαναστάσεως καταλύεται ἡ δύναμις. 3) εἶτα ὀλίγα ὀλιγάκις· αὕτη πασῶν καλλίστη ἐστὶν, ἐπειδὴ κατ᾽ ἄμφω οὐ λυπεῖ τὴν δύναμιν. τὸ δὲ πολλὰ ὀλίγα, καὶ τὸ πολλάκις ὀλιγάκις οὐ συνίστανται.

Παχύνεσθαι χρὴ τὸ διαχώρημα, πρὸς τὴν κρίσιν ἰούσης τῆς νόσου. —

Καλῶς ἔφη παχύνεσθαι καὶ οὐχὶ σκληρύνεσθαι· τὸ γὰρ παχὺ τῇ φύσει ἐστὶ, τὸ δὲ σκληρὸν 4) ἐν δυσκρασίᾳ θεωρεῖται. τί οὖν ἔφη αὐτὸς ὅτι ἐὰν λεπτόν ἐστι τὸ διαχώρημα, δεῖ παχύνεσθαι αὐτὸ, ἐν τῇ κρίσει ἰούσης τῆς νόσου. σὺ δὲ εἰπὲ ὅτι ὥσπερ τὸ λεπτὸν παχύνεσθαι χρὴ, οὕτω καὶ τὸ παχὺ δεῖ λεπτύνεσθαι, ἐν τῇ κρίσει

---

1) κακόν M. A. 2) εἶτα — λυπ. τὴν δύν. om. M. A. 3) Lacuna maxima in Cod. L. ab his verbis incipit, cujus finem indicabimus. Quae sequuntur, transscripsi e Cod. Ambros. M. 4) οὐ A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 172 sur 382

ἰούσης τῆς νόσου. ἡ γὰρ φύσις ἐκ τῶν 1) ἀντικειμένω σπουδάζει ἐπὶ τὸ σύμμετρον ἄγειν τοῦ λεπτοῦ καὶ παχέος.

Ἐπιτήδειον δὲ καὶ ἕλμινθας στρογγύλας διεξιέναι μετὰ τοῦ διαχωρήματος, πρὸς τὴν κρίσιν ἰούσης τῆς νόσου.—

Ἰστέον ὅτι μετὰ τῶν ἄλλων περιττωμάτων εἰ καὶ 2) ἕλμινθες συνεκκρίνονται ἐν τῇ ἀκμῇ τοῦ νοσήματος, [ἡνίκα] πρὸς τὴν κρίσιν ἰούσης τῆς νόσου, ἀγαθόν ἐστι καὶ ὡς σημεῖον καὶ ὡς αἴτιον. καὶ ὡς μὲν σημεῖον, ὅτι δηλοῖ τὴν ὕλην ἐκκρινομένην, ὡς δὲ αἴτιον, ὅτι δηλοῖ ἀποκαθαίρεσθαι σῶμα ἀπὸ τῆς νοσοποιοῦ αἰτίας. εἰ δέ γε ἀπέπτου οὔσης τῆς ὕλης ἐκκρίνονται ἕλμινθοι, κακόν ἐστι τουτέστιν ἐν τῇ ἀρχῇ καὶ ἀναβάσει τοῦ νοσήματος. δηλοῖ γὰρ μεγίστην σηπεδόνα καθ᾽ ἣν ἕλμινθες γίνονται. καὶ ποιητικὸν μὲν αἴτιον τῶν ἑλμίνθων ἐστὶν αὐτὴ ἡ ἐπιφοιτῶσα διαπλαστικὴ δύναμις, καθ᾽ ἣν γίνονται αἱ ἕλμινθοι. ὑλικὸν δὲ, οἱ 3) ὠμοὶ καὶ παχεῖς χυμοί. ὀργανικὸν δὲ 4) τοῦτο αἴτιον διάφορόν ἐστιν, ἐπειδὴ καὶ τὸ εἶδος τοῦ σχήματος τῶν ἑλμίνθων διάφορόν ἐστιν· αἱ μὲν γὰρ ἀσκαρίδες ἐν τῷ ἀπευθυσμένῳ γεννῶνται, αἱ δὲ πλατεῖαι ἐν τοῖς παχυτέροις ἐντέροις, αἱ δὲ στρογγύλαι ἐν τοῖς λεπτοῖς ἐντέροις. τελικὸν δὲ αἴτιον ἐν τοῖς παρὰ φύσιν οὐκ ἔστι ζητῆσαι, ἐπειδὴ 5) οὐ συνίσταται.

Περὶ δὲ τοῦ σχήματος τῶν ἑλμίνθων πολλὴ διαφωνία γέγονεν. τινὲς γὰρ λέγουσιν ὅτι πρὸς τὴν θέσιν τῶν ἐντέρων σχηματίζονται καὶ τοσοῦτον, ὅτι καὶ ἀνεμοῦνται αἱ στρογγύλαι, ὡς ἂν ἐν τοῖς λεπτοῖς ἐντέροις γενομένων αὐτῶν. ἕτεροι δὲ λέγουσιν, ὅτι καὶ αἱ πλατεῖαι ἀνεμοῦνται, εἰ 6) δὲ καὶ σπανίως. διὸ ἕτεροί φασιν, ὅτι ἐὰν πρὸς τὴν θέσιν τῶν ἐντέρων σχηματίζωνται, οὐκοῦν ἔμφραξις γενήσεται ἤπερ ἕλμινθοι, ἀλλὰ δεῖ εἰπεῖν ὅτι πρὸς τὴν θέσιν τῆς ὕλης σχηματίζονται αἱ ἕλμινθοι καὶ τὰ ἔντερα συμβάλλονται πρὸς τὸ σχῆμα· ὡς 7) γὰρ ὀρ-

---

1) ἐναντικειμένων A. 2) ἕλμινθαι A. saepius. in sequentibus fere semper ἕλμινθοι M. 3) ὁμοὶ Codd. 4) τοῦ M. 5) οὐ om. A. 6) δὲ om. A. 7) γὰρ om. M. συνάγουσι A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 173 sur 382

γανικὸν συνεισάγουσί τι μέρος, ὅθεν καὶ ὡς 1) ἀκατίδες ἐκκρίνονται, καὶ ἐκτὸς ἀπειλοῦνται.

Ἀλλ' ἴσως ἐρεῖ τις, διὰ τί μόνον τῶν στρογγύλων ἑλμίνθων ἐμνημόνευσεν ὁ Ἱπποκράτης, τὰς δὲ ἄλλας παρῆκε; καὶ λέγομεν ὅτι ἀμφότεροι ὑπὸ παχείας ὕλης γίνονται· ἐνταῦθα μέντοι περὶ ὀξέος νοσήματος αὐτῷ ὁ λόγος. ἐν δὲ ὀξεῖ νοσήματι, οὐκ ἔστιν εὑρεῖν τοσαύτην παχεῖαν ὕλην ὥστε ποιῆσαι πλατεῖαν ἕλμινθα ἢ ἀσκαρίδας, ἀλλ' ἐπ' ὀλίγον ἐστὶν εὑρεῖν παχεῖαν τὴν ὕλην καθ' ἣν αἱ στρογγύλαι γίνονται ἕλμινθαι, καὶ διὰ τοῦτο 2) αὐτῶν ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ὡς ἂν ὑπὸ ἥττονος παχείας ὕλης 3) γινομένων.

*Λαπαρήν τε εἶναι τὴν κοιλίην καὶ εὔογκον.* —

Καλῶς τὸ λαπαρὴν εἶναι τὴν κοιλίαν καὶ εὔογκον ἐπαινεῖ. τὸ γὰρ λαπαρόν ἐστι τὸ ὁμαλὸν καὶ τὸ μαλακὸν, ὅπερ ἀντίκειται τῷ συντεταμένῳ. τὸ δὲ εὔογκον δηλοῖ τὸ εὔσαρκον 4) ᾧπερ ἀντίκειται τὸ συντετηκός. ταῦτα οὖν βέλτιόν ἐστιν ἐν ταῖς νόσοις θεωρεῖσθαι, ὥς φησι καὶ ἐν ἀφορισμοῖς, ὅτι ὁκόσοισι περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον πάχος ἔχειν, βέλτιόν ἐστι, τὸ δὲ σφόδρα λεπτὸν καὶ ἐκτετηκὸς, μοχθηρόν.

*Ὑδαρὲς δὲ κάρτα ἢ λευκὸν ἢ χλωρὸν ἰσχυρῶς, ἢ ἀφρῶδες διαχωρέειν, πονηρὰ ταῦτα.* —

Νῦν περὶ τοῦ παρὰ φύσιν διαχωρήματος διαλέγεται, καὶ παραδίδωσιν ἡμῖν τρεῖς διαφοράς. καὶ τέως λέγει διαφορὰν τοιαύτην, ὅτι ἐὰν τὸ διαχώρημα ὑδαρές ἐστιν ἢ λευκὸν ἢ ὠχρὸν ἢ ἀφρῶδες, πονηρά ἐστι ταῦτα πάντα. καὶ ἡ αἰτία ἑκάστου δήλη. τὸ μὲν ὑδαρὲς 5) ἀποτυχίαν χυλοποιήσεως καὶ χυμώσεως καὶ τῆς πέψεως, καὶ τὸν πρέποντα κόσμον οὐκ ἐδέξατο. τὸ δὲ λευκὸν δηλοῖ ἔμφραξιν τῶν ἀπὸ τῆς χοληδόχου κύστεως φερομένων ἀγγείων ἐπὶ γαστέρα, καὶ διὰ τοῦτο οὐ φέρεται χολὴ ἐπὶ

---

1) *ἀκατίδες* etiam vocantur *κουβαρίδες*, Aselli, Millepedes. *ἀκτίδες* A. 2) *αὐτῶν* om. M. 3) *γινόμεναι* M. 4) *ὅπερ* Codd. 5) Fort. om. *δηλοῖ*.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 174 sur 382

τὴν 1) γαστέρα, καὶ λευκὸν ἐκκρίνεται το διαχώρημα. τὸ δὲ χλωρὸν δύο σημαίνει, ἢ τὸ ὠχρὸν ἢ τὸ ἰῶδες, ἅπερ καὶ ταῦτα κάκιστά ἐστι. δηλοῦσι γὰρ ἢ ἐπιῤῥοὴν χολώδους ὕλης ἐπὶ τὴν γαστέρα, ἢ ἐν αὐτῇ τῇ γαστρὶ γινομένην κατὰ περιουσίαν, 2) καὶ οὕτως ἐκκρινόμενα. τὸ δὲ ἀφρῶδες καὶ τοῦτο διττόν ἐστι. γίνεται γὰρ ἀφρῶδες ἢ ὑπὸ πνευμάτων τινῶν συναναπλεκομένων ὑγρῷ, καὶ ὑμενούντων αὐτό. γίνεται ἀφρῶδες καὶ ὑπὸ θερμότητος καθάπερ καὶ ἐπὶ τῶν ἐκτός ἐστιν ἰδεῖν, ὅτι ἀφρὸς γεννᾶται ὑπὸ πνευμάτων ἡνίκα δραστήριος ἄνεμος πνεύσει ἐπὶ τὴν θάλασσαν, 3) συναναπλέκεται τῷ ὕδατι καὶ 4) ὑμενοῦντος αὐτό. καὶ γίνεται ἀφρὸς ἐν τοῖς κύμασιν. ὑπὸ δὲ τῆς θερμότητος γίνεται ἀφρὸς, καθάπερ ἐπὶ τῶν 5) ζωμενομένων κρεῶν ἐν τοῖς χαλκίοις ἢ ἐν ταῖς χύτραις τῇ περιουσίᾳ τῆς θερμότητος ἀφρὸς γίνεται.

*Λέγει* δὲ καὶ δευτέραν διαφορὰν τῶν παρὰ φύσιν διαχωρημάτων, ἥτις καὶ μᾶλλόν ἐστι χειρίστη, καί φησιν ὅτι κάκιστά ἐστι διαχωρήματα, ἡνίκα ἕπεται ὀλίγον τὸ διαχώρημα καὶ λευκὸν καὶ γλίσχρον, καὶ ὑπόχλωρον καὶ λεῖον. αὕτη δὲ ἡ διαφορὰ διττὴν ἔχει τὴν ἰδέαν. ἑκάστη δὲ ἰδέα ἐπὶ ἐκτήξει τῆς πιμελῆς γίνεται· ἡ δὲ αἰτία ἡ ἑτέρα ἐστὶν ἡ κατ᾽ ἐπίτασιν ἔκτηξις τῆς πιμελῆς, ἥτις ἐστὶ τὸ ὑπόχλωρον καὶ λεῖον. κατ᾽ ἐπίτασιν τῆς πιμελῆς γίνεται ἡ ἔκτηξις, καὶ οἷον ἐπὶ παλαιοπαθείᾳ ἐκτήξει τῆς πιμελῆς γίνεται. τοῦτο γὰρ ἐὰν ἀποτεθῇ στέαρ ἢ πιμελὴ, χλωρὸν γίνεται ἤγουν ὠχρόν. οὕτως οὖν καὶ ἐνταῦθα, ἐὰν ὑπόχλωρον εἴη τὸ διαχώρημα, ἐπὶ προγεγενημένῃ ἐκτήξει καὶ παλαιοπαθείᾳ τῆς πιμελῆς γίνεται· εἰ δὲ μὴ, τὸ χλωρὸν, τὸ ὠχρὸν νοήσωμεν· ἀλλὰ καὶ τὸ ἰῶδες τῷ αὐτῷ γίνεται τρόπῳ. τὸ δὲ λεῖον γίνεται, ἡνίκα κατὰ πᾶν ἑαυτῷ ἀλλοιωθῇ καὶ ὁμαλὸν γένηται· ἀλλὰ τὸ λεῖον ἢ κατὰ φύσιν γίνεται ἢ παρὰ φύσιν. καὶ τὸ μὲν κατὰ φύσιν, ὥσπερ ἡ χυλοποίησις καὶ ἡ ἐξαιμάτωσις. ταῦτα γὰρ κατὰ πάντα λεῖα καὶ ὁμαλὰ γίνονται, τῆς ἀλλοιωτι-

1) Ad duodenum intestinum Mercur. 2) κἂν M. 3) συναναπλέκονται A Fort. συναναπλέκοντος sc. τοῦ ἀνέμου. 4) ὑμένου A. 5) ζωμένων A.

κῆς ἰσχυσάσης. τὸ δὲ παρὰ φύσιν λεῖον κάκιστόν ἐστι. δηλοῖ γὰρ δραστήριον τὴν νοσοποιὸν αἰτίαν, 1) καθ' ὃν ἴσχυσε, πᾶσαν τὴν ὕλην πρὸς τὴν ἑαυτῆς κακίαν ἐκλειῶσαι. διὸ οὐ δεῖ ἐν τοῖς παρὰ φύσιν κατὰ πάντα ἑαυτῷ λεῖον εἶναι τὸ διαχώρημα, ἀλλὰ κατά τι καὶ ἁδρομερὲς ἔχειν. δηλοῖ γὰρ ὅτι κατά τι μὲν ἐκρατήθη ἡ δύναμις, λέγω δὴ κατὰ τὸ λεῖον, κατά τι δὲ κρατεῖ, λέγω δὴ κατὰ τὸ ἁδρομερές.

Τὸ δὲ γλίσχρον διαχώρημα γίνεται ἐπὶ τῇ ἐκτήξει τῆς πιμελῆς, ἀλλ' ἔστιν ὅτε διαχώρημα γλίσχρον γίνεται, ἡνίκα καὶ τὰ ἐδηδεσμένα, τυχὸν αἱ παρεχόμεναι τροφαὶ, φύσει γλίσχραι ὦσι. τοτηνικαῦτα γὰρ γίνεται γλίσχρον τὸ διαχώρημα. διακρίνομεν δὲ τοῦτο τῇ ποιότητι· εἰ μὲν γὰρ διὰ τὴν ἔκτηξιν τῆς πιμελῆς γένηται γλίσχρον τὸ διαχώρημα, κατ' ὀλίγον γίνεται ἡ ἔκκρισις. εἰ δὲ διὰ τὴν φύσιν τῶν τροφῶν, ἀθρόως γίνεται ἡ διέξοδος τῶν γλίσχρων διαχωρημάτων. ἀλλ' ἴσως ἀπορεῖ τις λέγων, ὅτι ἐνδέχεταί ποτε καὶ 2) διὰ δραστήριον καὶ ἐπιτεταμένην ἔκτηξιν τῆς πιμελῆς γενέσθαι ἀθρόαν ἔκκρισιν τῶν γλίσχρων διαχωρημάτων. ἀλλὰ λέγομεν, ὅτι τοῦτο διαστέλλομεν τῇ δυσωδίᾳ. εἰ μὲν γὰρ διὰ τὴν ἔκτηξιν τῆς πιμελῆς γίνεται ἀθρόα ἡ ἔκκρισις τῶν γλίσχρων διαχωρημάτων, δυσωδέστατά εἰσιν. εἰ δὲ διὰ τὴν φύσιν τῶν παρεχομένων τροφῶν, οὐκ εἰσὶ δυσώδη οὕτως· εἰ δὲ διὰ παχεῖς καὶ ὠμοὺς χυμοὺς, ἐνδέχεται γὰρ καὶ τοιούτους ἐκκρίνεσθαι καὶ γλίσχρα τὰ διαχωρήματα. ἀλλὰ καὶ ἐπὶ τούτων ἧττον μετέχουσι δυσωδίας.

Λέγει δὲ καὶ τρίτην ἰδέαν διαχωρημάτων καί φησιν, ὅτι τὰ μέλανα διαχωρήματα καὶ τὰ πελιδνὰ καὶ τὰ ἰώδη καὶ τὰ κάκοσμα δηλοῦσι μεγίστην σηπεδόνα. τὸ μὲν γὰρ μέλαν διαχώρημα δηλοῖ περιουσίαν τῆς μελαίνης χολῆς, ἀλλ' ὑφειμένως καὶ ἐπ' ἔλαττον· τὸ δὲ ἰῶδες πάλιν περιουσίαν τῆς ἰώδους χολῆς δηλοῖ· τὰ δὲ κάκοσμα καὶ ἰώδη διαχωρήματα, ὡς προείρηται, δηλοῦσι μεγίστην σηπεδόνα. ταῦτα δὲ ἔστιν 3) ὅτε ἕκαστον ἰδίᾳ καὶ χωρὶς ἐκκρίνονται. ἔστι δὲ ὅτε καὶ συμπλέκονται ἀλλήλοις, ἡνίκα

---

1) Fort. καθὸ. 2) διὰ addidi. 3) ὅτι A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 176 sur 382

λέγονται καὶ πολυποίκιλα, ἡνίκα καὶ αἷμα σύνεστι, καὶ ξύσματα λευκὰ καὶ μέλανα καὶ ἀφρώδη. παγκάκιστόν ἐστι τὸ τοιοῦτον διαχώρημα. δηλοῖ γὰρ εὐθέως ὅτι χρονίσαι ἔχει τὸ νόσημα. δηλοῖ γὰρ καὶ διάφορα πάθη, ἐπειδὴ καὶ διάφοροι κακοχυμίαι, καθ᾽ ἣν πολυποίκιλα τὰ διαχωρήματα ἐκκρίνονται. καὶ 1) περιδονεῖται γὰρ πρὸς ἑκάστην κακοχυμίαν, ὅπερ παγκάκιστόν ἐστι. χρόνιον δὲ, ὅτι καὶ θερμὰ ἐκκρίνονται καὶ ψυχρὰ, καὶ τῇ ψύξει χρονίαν ἐνδείκνυται τὴν νόσον.

Λέγει καὶ τετάρτην διαφορὰν, ὅτι τὰ διαχωρήματα πάντως μετὰ πνευμάτων ἐκκρίνονται ἢ ἐπέχονται. καὶ ἐκκρινόμενα ἢ μετὰ ψόφου ἐκκρίνονται ἢ ἐπέχονται ἢ ἀψοφητί. καὶ εἰ μὲν μετὰ ψόφου, δηλοῦσιν ἢ παραφροσύνην ἢ μεγίστην ὀδύνην οὖσαν ἐν τοῖς ὑποχονδρίοις, εἰ μή τι ὁ ἄῤῥωστος ἑκὼν μετὰ ψόφου ἐκκρίνει· τότε γὰρ οὐδὲν δηλοῦσι. πλὴν δεῖ εἰδέναι, ὅτι τινὲς τῶν ἀνθρώπων ἀναισχυντοῦντες καὶ μὴ ποιούμενοι λόγον, ἐπὶ 2) οἱουδήποτε προσώπου τύχῃ, μετὰ ψόφου ἀπολύουσι τὰ πνεύματα, ὡς εἴρηται, μηδένα λόγον προσποιούμενοι, ἀλλ᾽ ἀναιδῶς 3) μετὰ ψόφου τινὸς ἀπολύουσι τὰ πνεύματα· τινὲς δὲ αἰδέσιμοι καὶ λόγον ποιούμενοι τῶν θεωρούντων αἰσχυνόμενοι, μᾶλλον ἐπέχουσι τὰ πνεύματα, καὶ αἱροῦνται κινδύνοις περιπεσεῖν ἤπερ μετὰ ψόφου ἐᾶσαι ἢ ἀπολῦσαι τὰ πνεύματα. 4) ἐὰν οὖν τις τῶν αἰδεσίμων ἀνθρώπων ἐν τῷ νοσεῖν μετὰ ψόφου ἀπολύει τὰ πνεύματα, ἔσο γινώσκων, ἢ παραφροσύνην ὁ τοιοῦτος ἢ ὀδύνην μεγίστην ἐνδείκνυται, καθ᾽ ἣν ἐπικήδεται ἀπολύειν ψοφώδη πνεύματα, ὥστε παρηγορηθῆναι αὐτὸν ἐκ τῆς ὀδύνης. εἰ δέ γέ ἐστιν ἐκ τῶν ἀναισχύντων 5) καὶ μη ποιούντων λόγον, ἀλλ᾽ ἐν συνηθείᾳ εἰσὶν τοῦ μετὰ ψόφου ἀπολύειν τὰ πνεύματα, οὐδὲν κερδαίνεις ἐκ τῆς σημειώσεως ταύτης. οὐδὲ γὰρ συμβάλλεταί σοι πρὸς εὔκλειαν. δεῖ δὲ εἰδέναι, ὅτι ἐν τῷ καθόλου τὰ μετὰ ψόφου πνεύματα ἐκκρινόμενα ἐνδείκνυται ἢ παχέα πνεύματα ἐκκρι-

---

1) περιδοκεῖται A. 2) οὐδήποτε M. 3) ἀπολ. τὰ πν. μετὰ ψ. τιν. A. 4) ἐὰν — ἔσο om. M. 5) καὶ αἰδεσίμων add. A. Fort. μὴ αἰδεσίμων.

νόμενα, ἢ στενοχωρίαν τῶν ὀργάνων, δι' ὧνπερ διεξέρχονται τὰ πνεύματα. τί γὰρ ὅτι παχέων ὄντων τῶν διεξερχομένων πνευμάτων, ἐν τῇ διεξόδῳ στενοχωρούμενα καὶ ὡς ἀπὸ στενοῦ διεξερχόμενα διὰ τοῦ ἀπευθυσμένου ψόφον ἀπεργάζονται. κάλλιον οὖν ἐστι τὰ πνεύματα διεξέρχεσθαι καὶ ἐκκρίνεσθαι ἤπερ ἐπέχεσθαι. ἐπεχόμενα γὰρ τὰ πνεύματα μεγάλας ὀδύνας ἐμποιοῦσι καὶ ἐπάρματα ἀπεργάζονται, ὀδύνας μὲν, ἐπεχόμενα τῇ τάσει· τῇ γὰρ τάσει κίνδυνός ἐστι τοῦ ἀποῤῥαγῆναι καὶ λυθῆναι τὴν συνέχειαν τῶν μορίων. τὰ δὲ κυρτώματα ἤγουν τὰ ἐπάρματα, τῇ ἐποχῇ τῶν πνευμάτων γίνονται, ἡνίκα ἐμφραγῶσι τὰ πνεύματα καὶ 1) στεχθῶσιν ἐν τοῖς ὑποχονδρίοις· τὰς ὀδύνας καὶ τὰ ἐπάρματα οἱ ψόφοι τῶν πνευμάτων καὶ οἱ βορβορυγμοὶ λύουσι. κάλλιόν ἐστι τὰ πνεύματα μετὰ ψόφου ἐκκρινόμενα, μετὰ ψόφου καὶ οὔρου ἐκκρίνεσθαι μᾶλλον· δηλοῖ γὰρ ὅτι πάντα τὰ περιττώματα ἐκκρίνονται καὶ οὐδὲν ὑπολέλειπται αἴτιον τὸ ὀφεῖλον ἐνδελεχῆσαι.

Τὰ δὲ ποικίλα χρονιώτερα μὲν τουτέων, ὀλέθρια δὲ οὐδὲν ἧττον. —

Φησὶν ὁ ἐξηγητὴς, ὅτι οὐ προσδέχομαι τὸ λέγειν τὸν Ἱπποκράτην, ὅτι τὰ ποικίλα διαχωρήματα χρονιώτερά ἐστιν ὅλως, ἐπὰν ποικίλα, αὐτόθι ἐπίκειται ὁ θάνατος. ἀλλ' οὐδὲ τοῦτο δέχομαι τὸ λέγειν αὐτὸν ὅτι τὰ ποικίλα διαχωρήματα διαφόρους ἐνδείκνυνται διαθέσεις, ἐπειδὴ διάφορός ἐστιν ἡ κακοχυμία. ἐνδέχεται γὰρ μίαν διάθεσιν ὑπόκεισθαι καὶ ποικίλα ἐκκρίνεσθαι διαχωρήματα. οὕτως γὰρ ὑπόκειται εἷς πυρετὸς καὶ τῷ χρόνῳ κατὰ μέρος διάφορον ἐγέννησε κακοχυμίαν. οὕτως οὖν ἐπὶ τῶν ἐκτός ἐστιν ἰδεῖν, ὅτι ἑνὸς ὄντος τοῦ πυρὸς ἐν τῷ ἑψεῖν τὰ φάρμακα, τῷ χρόνῳ διάφορον χρῶμα ἀναδέχεται πρὸς τὴν ἕψησιν.

Τοὺς δὲ ἐκ τῶν ὑποχονδρίων πόνους τε καὶ τὰ κυρτώματα, ἢν νεαρά τε ᾖ καὶ μὴ σὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐπιγενόμενος. —

Δεῖ εἰδέναι, ὅτι κυρτώματα καλεῖ ὁ Ἱπποκράτης τὰ ἐπάρματα ἤγουν τὰ οἰδήματα. οὕτω γὰρ εἴωθεν ὁ Ἱπ-

1) τεχθῶσιν M.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 178 sur 382

ποκράτης πάντα ὄγκον οἴδημα 1) καλεῖν. ἐὰν οὖν ἔστιν ἐπάρματα ἤγουν οἴδημα νεαρὸν τουτέστι πρόσφατον, βορβορυγμὸς γενόμενος λύει τὸ οἴδημα καὶ τὸ ἔπαρμα, τῇ ὑποχαλάσει διαφορουμένων τῶν πνευμάτων τῶν ἄνευ φλεγμονῆς. ἡ γὰρ φλεγμονὴ ἐπὶ παχείᾳ ὕλῃ γίνεται, καὶ ὁ βορβορυγμὸς οὐ λύει ἐπιγενόμενος. ἀλλὰ καὶ τὸ οἴδημα τὸ χρονιώτερον οὐ λύει, ἐπειδὴ τῷ χρόνῳ προσλαμβάνει ὑγρότητά τινα. ἀλλὰ δεῖ αὐτὸ ὡς εἴρηται πρόσφατον εἶναι ἤγουν τὸ ἔπαρμα καὶ νεαρόν· τότε γὰρ οἱ βορβορυγμοὶ ἐπιγενόμενοι λύουσιν αὐτό.

*Οὖρον δὲ ἄριστόν ἐστιν, ὅταν λευκή τε ἡ ὑπόστασις ἔῃ καὶ λείη καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον. —*

Νῦν περὶ τῶν οὔρων διαλαμβάνει. τὸ δὲ οὖρον ὡς ἴσμεν, περίττωμά ἐστι τῆς δευτέρας πέψεως, καὶ ἵνα σαφῶς τοῖς λεγομένοις παρακολουθήσωμεν, ἐκ διαιρέσεως προαγάγωμεν τὸν λόγον οὕτως. τὸ οὖρον εἰς δύο διαιρεῖται· εἰ μὲν γὰρ ἐπιπολάζει καὶ ἄνω περιφέρεται, λέγεται νεφέλη, δίκην τοῦ ἐπιπροσθοῦντος 2) νέφους ἐπιπολάζοντος τῷ ἀέρι. ἢ βρίθει ἐν τῷ 3) κλοκίῳ καὶ ὑφιζάνει καὶ λέγεται ὑπόστασις. ἢ ἐν τῷ μέσῳ ἐστὶ καὶ λέγεται ἐναιώρημα. τὸ δὲ χύμα ἐστὶν αὐτὴ ἡ ὑγρότης τοῦ οὔρου. δεῖ γὰρ εἰδέναι, ὅτι αὐτοὶ οἱ τέσσαρες χυμοὶ ἐν τῷ ἥπατι γεννῶνται· καὶ οἱ μὲν δύο χυμοὶ ἔχουσι δοχεῖα καὶ καθαρτήρια, δι' ὧνπερ ἀποκαθαίρονται, ὁ μὲν μελαγχολικὸς ὑπὸ τοῦ σπληνὸς, ἡ δὲ ξανθὴ χολὴ ὑπὸ τῆς χοληδόχου κύστεως, τὸ δὲ αἷμα ἀναδίδοται διὰ τῶν φλεβῶν ἐπὶ τὸ πᾶν σῶμα διὰ τὴν θρέψιν· σὺν δὲ τῷ αἵματι ἀναδίδοται καὶ ὀῤῥῶδές τι ὑγρόν. ἀλλὰ καὶ φλέγμα συναναδίδοται 4) οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' ἑκάτερον δι' ἀναγκαίαν χρείαν. τὸ μὲν ὀῤῥῶδες ὑγρὸν, ἐπειδὴ τὸ αἷμα φύσει ἀργόν ἐστι καὶ δυσπόρευτον, συναναδίδοται τὸ ὑγρὸν ἵνα ποδηγήσῃ καὶ εὔρουν ποιήσῃ τὸ αἷμα, ὡς αὐτὸς Ἱπποκράτης ἀλλαχοῦ λέγει 5) ὅτι ὑγρασία τροφῆς ὄχημα. ταύτην οὖν τὴν χρείαν ποιεῖ τὸ

---

1) ὀνομάζειν A. 2) νέφως M. 3) κλοβίῳ M. κλωβίῳ A. Scripsi κλοκίῳ matula. 4) οὐχ — συναναδίδοται om. M. 5) Hipp. de aliment. subfinem.

ὀῤῥῶδες ὑγρόν. ἀλλὰ καὶ τὸ φλέγμα μεγίστην χρείαν ποιεῖται ἀναδιδόμενον σὺν τῷ αἵματι, ἵνα ὅταν λεῖψις τοῦ αἵματος γένηται ἐν ταῖς λιμαγχονίαις καὶ ἐν ταῖς περιστάσεσιν, αὐτὸ τὸ φλέγμα ἡμίπεπτον αἷμα φύσει τυγχάνον, τὴν χρείαν ποιεῖται τῆς τροφῆς. ἔγνωμεν οὖν ποίαν ἀποτελεῖ ἑκάτερον χρείαν. τὸ οὖν ὀῤῥῶδες ὑγρὸν μετὰ τὸ ποιῆσαι τῆς χρείαν, καὶ 1) ὁδηγήσει τὸ αἷμα, λοιπὸν ὡς περίττωμα φέρεται διὰ τῶν φλεβῶν ἐκείνων ἐπὶ νεφροὺς δι' ὧνπερ ἡ τροφὴ φέρεται ἐν αὐτοῖς, ἐπειδὴ χαίρουσιν οἱ 2) νεφροὶ τῇ ποιότητι τοῦ οὔρου, καὶ μετὰ τὸ ἐνεχθῆναι εἰς τοὺς 3) νεφροὺς, φέρεται ἐπὶ τὴν κύστιν καὶ οὕτως ἀπουρεῖται. καὶ τοῦτο τὸ ὀῤῥῶδες ὑγρὸν ἤγουν τὸ οὖρον λέγεται χύμα.

Σημειοῦται οὖν τὸ κατὰ φύσιν οὖρον καὶ λέγει, ὅτι δεῖ τὸ ἄριστον οὖρον λευκὴν ἔχειν τὴν ὑπόστασιν καὶ λείην καὶ ὁμαλὴν παρὰ πάντα τὸν χρόνον. τὸ δὲ χύμα ἤγουν τὸ ὑγρὸν ὑπόπυῤῥον καὶ ὑπόξανθον δεῖ εἶναι. καὶ ἐπεξέλθωμεν ἑκάστου τὴν αἰτίαν, διὰ τί λευκὴ ἡ ὑπόστασις θέλει εἶναι. τοῦτο κατὰ δύο αἰτίας, πρῶτον μὲν ὅτι ἢ διαδιδράσκει μέρος τι τοῦ συναναδιδομένου φλέγματος, καὶ φέρεται μετὰ τοῦ οὔρου καὶ γίνεται λευκὴ ἡ ὑπόστασις, ἐπειδὴ λευκόν ἐστι τὸ φλέγμα· ἢ δι' ἕτερον τρόπον λευκὴ γίνεται ἡ ὑπόστασις, ἐπειδὴ περίττωμά ἐστι τῶν στερεῶν τῆς τρίτης πέψεως. ἐπειδὴ γὰρ τὰ στερεὰ ἀπὸ σπέρματος τρέφονται, τὸ δὲ σπέρμα λευκόν ἐστι φύσει. τοῦτο οὖν τὸ περίττωμα ἄγεται καὶ πλανᾶται τῇδε κἀκεῖσε, καὶ ἡ φύσις λοιπὸν σὺν τῷ οὔρῳ ἐκκρίνει αὐτὸ, καὶ ὑφίσταται καὶ λευκὴ γίνεται ἡ ὑπόστασις.

*Καὶ λεῖον.* —

Λεῖον λέγει τὸ ὁμοιομερὲς, τὸ κατὰ πάντα ἑαυτῷ ὅμοιον, καὶ μὴ τὸ μὲν αὐτοῦ πεπεμμένον ἐστὶ, τὸ δὲ ἄπεπτον, καὶ τὸ μὲν αὐτοῦ λεπτὸν, τὸ δὲ παχὺ, καὶ τὸ μὲν αὐτοῦ λευκὸν, τὸ δὲ οὐ λευκὸν, ἀλλὰ καὶ ὁμαλὸν αὐτὸ δεῖ εἶναι. ὁμαλὸν λέγει εἶναι τὸ κατὰ τὸν χρόνον,

---

1) ὁδηγήση M. Fort. ὁδηγῆσαι. 2) νέοι Codd. 3) νέους Codd.

ὅτι δεῖ τὴν ὑπόστασιν ἀείσε τοιαύτην εἶναι τυχὸν κατα φύσιν. τοῦτο γὰρ ἐνδείκνυται ἰσχὺν καὶ ἐπικράτειαν τῶν δυνάμεων. τὸ δὲ χρῶμα ὑπέρυθρον καὶ ὑπόξανθον θέλει εἶναι τοῦ χύματος· καὶ ὑπέρυθρον μὲν, ἐπειδὴ ὀῤῥὸς μετὰ τοῦ αἵματος ἐκκρίνεται καὶ ἐξυδαροῦται τὸ αἷμα, καὶ οὐκέτι ἐρυθρὸν ἐκκρίνεται, ἀλλ' ὑπέρυθρον. τὸ δὲ ὑπόξανθον, ἐπειδὴ καὶ μέρος τι τῆς χολῆς συνεκκρίνεται καὶ ἐξυδαροῦται, καὶ ὑπόξανθον ἐκκρίνεται τὸ οὖρον.

Εἶτα καὶ ἀποροῦσιν ὅτι ἐπὰν χολὴ συνεκκρίνεται καὶ γίνεται ὑπόξανθον τὸ οὖρον, διὰ τί καὶ ὁ μελαγχολικός ποτε οὐ συναναδίδοται, καὶ οὕτως χρώννυσι τὸ οὖρον; καὶ λέγομεν ὅτι ὁ μελαγχολικὸς βαρύς ἐστι καὶ βρίθει ὥσπερ κόνις ἤγουν στακτή. 1) καὶ ἄλλως τε δὲ ἀποκαθαίρεται καὶ φθάζει ἀποκαθαρθῆναι ὡς γεώδης καὶ βαρὺς, καὶ οὐ συναναδίδοται, χρῶσαι τὸ οὖρον ἐν τῷ κατὰ φύσιν.

Καὶ ἀποροῦσι πάλιν ὅτι τὸ κατὰ φύσιν οὖρον πῶς ἐπὶ πάσης ἡλικίας καὶ ὥρας καὶ χώρας τὸ αὐτὸ ἔχομεν λέγειν κατὰ φύσιν, εἴ γε διάφορός ἐστιν ἡ ἡλικία, καὶ ἑκάστης ἡλικίας διάφορός ἐστι καὶ ἡ κράσις, ἀλλὰ καὶ τοῦ θέρους ἄλλη ἐστὶ κράσις, καὶ ἐν χειμῶνι ἄλλη, καὶ ἐπὶ τῶν ἄλλων καιρῶν ὡσαύτως· ἀλλὰ καὶ ἑκάστη χώρα ἰδίαν κράσιν ἔχει. καὶ ἀπολογούμεθα οὕτως, ὅτι ἐπὶ τῶν τελείων αἱ τέλειαι σημειώσεις ἀποτελοῦνται. ἐπὶ οὖν τῶν ἀκμαστικῶν, τὸ κατὰ φύσιν ἁρμόζει μᾶλλον οὖρον. τοῦ οὖν εἴδους φυλαττομένου τοῦ κατὰ φύσιν οὔρου, διαφορὰς ἐπιδέχεται κατά τε τὸ χρῶμα καὶ τὴν σύστασιν παρὰ τὸ μᾶλλον καὶ ἧττον, καὶ ἐπὶ πάσης ἡλικίας καὶ ὥρας καὶ χώρας φυλάττεται τὸ κατὰ φύσιν οὖρον. οὕτως γοῦν ἐπὶ παίδων ἐπ' ἔλαττον λευκότερα εὑρίσκονται τὰ οὖρα, καὶ οὐχ ὥσπερ ἐπὶ τῆς ἀκμαστικῆς ἡλικίας, οὕτως ὑπέρυθρον καὶ ὑπόξανθον· ἀλλὰ καὶ ἐπὶ τῶν γερόντων ἔτι μικρὸν λευκότερον ἐκκρίνεται. οὕτως γὰρ καὶ κατὰ τὴν ὑπόστασιν εὑρίσκομεν 2) γινόμενα. τῶν ἁβροδιαίτων ἢ πολλὰ ἐσθιόντων πολλὴ γέγονεν ἡ ὑπόστασις ἐν τῷ

---

1) καὶ om. A. 2) γινόμενον A.

οἴρῳ, καὶ οἰ λέγομεν 1) αὐτὴν παρὰ φύσιν· ἀλλὰ καὶ οἱ ὀλίγην τροφὴν λαμβάνοντες, ὀλίγη γίνεται αὐτῶν καὶ ἡ ὑπόστασις. καὶ οὐ λέγομεν ὅτι οὐκ ἔστι κατὰ φύσιν, ἐπειδὴ ἀποθεωροῦμεν εἰς τὴν ὀλιγότητα τῶν τροφῶν. ἀλλὰ καὶ οἱ μέσως πως διαιτώμενοι, μέσως πως καὶ ἡ ὑπόστασις ἐκκρίνεται.

Δεύτερόν ἐστι κεφάλαιον, ἐν ᾧ 2) περὶ τοῦ παρὰ φύσιν διαλέγεται οὔρου ὁ Ἱπποκράτης. ἀλλὰ πρὸ τούτου τέσσαρά τινα δεῖ ἡμᾶς ζητῆσαι. πρῶτον διὰ τί τὸ οὖρον σημειούμεθα· δεύτερον, εἰ ἐπὶ πάντων τῶν νοσημάτων ἁρμόζει ἡ τῶν οὔρων σημείωσις, καὶ πάντα σημειούμεθα δι᾽ αὐτῶν· τρίτον, τὸν πρέποντα καιρὸν ἐν ᾧ ἡ ἀπόθεσις τοῦ οὔρου γίνεται· καὶ τέταρτον, τί βούλεται λέγειν ὁ Ἱπποκράτης διὰ ῥησιδίου, ἐν ᾧ φησιν ὅτι παρὰ 3) πάντα τὸν χρόνον ἔστ᾽ ἂν κριθῇ ἡ νοῦσος.

Καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου. τὴν ἀπὸ τῶν οὔρων σημείωσιν ποιούμεθα, ἵνα γνῶμεν τὰς φυσικὰς δυνάμεις τὰς ἐν ἥπατι καὶ ἐν ταῖς 4) φλέβαις.

Δεύτερον δὲ, εἰ πάντα τὰ νοσήματα ἐκ τῶν οὔρων δυνάμεθα σημειώσασθαι. καὶ λέγομεν ὅτι οὐ πάντα, ἀλλα μόνα τὰ θρεπτικά. καὶ τὸ θρεπτικὸν, ἧπαρ καὶ φλέβες. κατὰ οὖν πρῶτον λόγον ἡ ἀπὸ τῶν οὔρων σημείωσις τὴν δευτέραν πέψιν ἤγουν τὴν ἐξαιμάτωσιν, τὸ πῶς διάκεινται αἱ ἐν αὐτοῖς δυνάμεις, δηλοῦσιν, εἰ μὴ ὅτε συμπαθήσωσι τό τε ἧπαρ καὶ αἱ φλέβες τοῖς ἀναπνευστικοῖς ἢ τῷ ἐγκεφάλῳ. καὶ ὡς ὁμοιοπαθοῦντα, συμβάλλεται ἡ τῶν οὔρων σημείωσις.

Τρίτον δεῖ ἡμᾶς ζητῆσαι τὸν πρέποντα καιρὸν τῆς ἀποθέσεως τῶν οὔρων. πρέπων καιρός ἐστι μετὰ τὸ κατὰ λόγον γενέσθαι τὴν δευτέραν πέψιν, λέγω δὴ τὴν ἐν ἥπατι, τυχὸν μετὰ τὴν κατὰ λόγον ἐξαιμάτωσιν, τότε ἐστὶν ὁ πρέπων καιρὸς τῆς ἀποθέσεως τοῦ οὔρου. παρὰ φύσιν δὲ καιρός ἐστιν 5) ἡ πρὸ πέψεως τῆς δευτέρας

---

1) αὐτὸ A. 2) περὶ om. Codd. 3) πάντων M. 4) Sic! 5) ὁ M. ἣ A.

ἀπόθεσις τοῦ οὔρου. οὐδὲν γὰρ ἐνδείκνυται πρὸς σημείωσιν· λεπτὸν γὰρ καὶ ἄπεπτον καὶ 1) ἀχόλωτον εὑρίσκεται, δίκην τῶν πολλὰ ἐσθιόντων. ἀλλὰ καὶ μετὰ χρόνον τῆς πέψεως ἐὰν ἀπωθεῖται τὸ οὖρον, παρὰ φύσιν ἐστὶ, καὶ οὐδὲν ἐνδείκνυται, ἐπειδὴ οὐ χολοῦται καὶ οὕτως ἐκκρίνεται. ἀλλὰ καὶ ἡ ἐν τῷ κλοκίῳ ἀπόθεσις, οὐ δεῖ ἐγχρονίζειν καὶ μετὰ μίαν ἡμέραν ἐνδείκνυσθαι. οὐδὲ τότε γὰρ συμβάλλεται εἰς σημείωσιν. τῷ γὰρ χρόνῳ ἀποψύχεται καὶ νεκροῦται καὶ χύσιν ὑφίσταται, ἀλλ᾽ οὐδὲ ἡ πρόσφατος ἀπόθεσις συμβάλλεταί σοι εἰς σημείωσιν, ἐπειδὴ ἔτι ἀδιάκριτόν ἐστι καὶ συγκεχυμένον.

Τέταρτόν ἐστιν ἐν ᾧ δεῖ ἡμᾶς ζητῆσαι, τί βούλεται λέγειν ὁ Ἱπποκράτης, τὸ τοιοῦτον δεῖ εἶναι 2) παρὰ πάντα τὸν χρόνον, ἔστ᾽ ἂν κριθῇ ἡ νοῦσος; καί τινές φασιν ὅτι παρὰ πάντα τὸν χρόνον λέγει, ὡς ἂν δεῖ 3) αὐτὸ παρὰ πάντα τὸν χρόνον τοῦ νοσήματος εἶναι κατὰ φύσιν, ὅπερ περὶ τὰ πράγματά ἐστιν. οὔτε γὰρ ἀρχὴ διαφανήσεται πρὸς σημείωσιν, οὔτε ἀνάβασις οὔτε ἀκμὴ, ἐὰν κατὰ φύσιν ἐστὶ τὸ οὖρον. λοιπὸν δὲ ὅτι κατὰ φύσιν ὄντος τοῦ οὔρου, οὐδὲν νόσημα ὑποστήσεται. καὶ λέγομεν ὅτι ταῦτα νόει λέγειν δυνατὸν Ἱπποκράτην, ὅτι ἐὰν μέλλῃ σωτήριον εἶναι τὸ νόσημα, ἐν τῇ ἀρχῇ δεῖ εἶναι ἴχνη τινὰ πέψεως ἐν τῷ οὔρῳ, ἵνα τυχὸν λευκότερον μέν ἐστι τὸ οὖρον, ἔχῃ δὲ καὶ τὴν ὑπόστασιν ἢ νεφέλιον· εἶτα ἐν τῇ ἀναβάσει δεῖ αὐτὸ πλεῖον χρώννυσθαι, καὶ τὴν ὑπόστασιν δεῖ ἐναιώρημα γενέσθαι. ἐν δὲ τῇ ἀκμῇ καὶ ἐν αὐτῇ τῇ κρίσει, δεῖ αὐτὸ κατὰ φύσιν εἶναι τυχὸν λευκὸν καὶ λεῖον καὶ ὁμαλὸν καὶ ὑπέρυθρον καὶ ὑπόξανθον.

Τούτων οὕτως εἰρημένων, σημειοῦται τὰ παρὰ φύσιν οὖρα. ταῦτα δὲ πολλὴν ἔχουσι τὴν διαφορὰν κατά τε τὸ χύμα καὶ τὸ παρέγχυμα, λέγω δὴ τὸ νεφέλιον καὶ τὸ ἐναιώρημα. ἀλλὰ πρότερον περὶ τοῦ χύματος διαλέγεται, πολλὰς 4) ἔχον παρεκτροπὰς, καί φησιν ὅτι τὸ ξανθὸν

---

1) ἄχλοτον A. 2) περὶ Codd. 3) αὐτῷ Codd. 4) Fort. ἔχοντος παρεντροπὰς A.

οὖρον καὶ πυῤῥὸν παρὰ φύσιν εἰσί. τὸ μὲν 1) γὰρ ξανθὸν ἐνδείκνυται περιουσίαν χολώδους ὕλης, ὅπερ κάκιστόν ἐστι. τὸ δὲ 2) πυῤῥὸν ἧττόν ἐστι κακὸν, ἐπειδὴ ἐνδείκνυται περιουσίαν αἵματος. τὸ δὲ αἷμα φίλιον ἡμῖν ἐστιν, ἀλλ' ὅμως κακόν ἐστιν, ἐπειδὴ ἐνδείκνυται τὸ αἷμα λεπτὸν 3) ὂν καὶ ἄπεπτον καὶ ἀκατέργαστον καὶ τὸν πρέποντα κόσμον μὴ δεξάμενον. καὶ τοτηνικαῦτα ὡς λεπτὸν καὶ ὑδαρὲς συνεκκρίνεται τὸ ὀῤῥῶδες ὑγρὸν, καὶ ποιεῖ πυῤῥὸν τὸ οὖρον. ἀλλὰ καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον οὖρον, κάκιστόν ἐστι. τὸ μὲν γὰρ πολὺ ἐνδείκνυται ἀπεψίαν, καὶ τῇ ἀπεψίᾳ ἐξ ἀνάγκης πολλὰ γεννῶνται τὰ περιττώματα. τὸ δὲ ὀλίγον ἐνδείκνυται, ὅτι οὐ πάντα τὰ περιττώματα κενοῦνται, ἀλλ' ἐνδομυχοῦσι διαλανθάνοντα, καί 4) πού ποτε ἀθροίζονται. κακὰ οὖν εἰσι καὶ τὸ μέλαν καὶ τὸ πέλιον. ταῦτα γὰρ ἐνδείκνυται μεγίστην ζέσιν καὶ φλόγωσιν θερμότητος οὖσαν ἐν τῷ 5) βάθει ἢ ἐπιτεταμένην σηπεδόνα ἢ ἀπόψυξιν καὶ νέκρωσιν. ἀλλὰ καὶ τὸ λευκὸν οὖρον καὶ παχὺ δίκην τρυγίας κακόν ἐστιν, ἐπειδὴ ἐνδείκνυται μεγίστην ἀπεψίαν τῶν ὑλῶν, καθ' ἣν ταῦτα ἐκκρίνεται· ἀλλὰ καὶ τὸ λεπτὸν καὶ ὑδατῶδες καὶ διαυγὲς καὶ στίλβον οὖρον κακόν ἐστι. καὶ τοῦτο γὰρ ἀπεψίαν ἐνδείκνυται. ἀλλὰ καὶ πνευμάτων τινῶν συναναπεπλεγμένων τῷ οὔρῳ, καὶ τῇ τάσει ποιοῦσιν αὐτὸ στίλβον δίκην ἀκόνης.

Ἀλλὰ καὶ τὸ 6) παρέγχυμα ἔχει διαφοράς. τὸ γὰρ νεφέλιον ἐνδείκνυται περιουσίαν πνευμάτων. ἀλλὰ καὶ τὸ 7) ἐναιώρημα 8) παρὰ φύσιν ἐστίν· ἐνδείκνυται γὰρ καὶ αὐτὸ περιουσίαν πνευμάτων, ἀλλ' ἐπ' ἔλαττον ὅθεν καὶ ἧττον κακόν ἐστιν. ἐνδέχεται δέ ποτε καὶ τὸ νεφέλιον καὶ τὸ ἐναιώρημα κατὰ κρᾶσιν μὴ εἶναι παρὰ φύσιν, ἀλλὰ κατὰ φύσιν. εἰ μὲν αὐχμηρά ἐστιν ἡ ἕξις τοῦ σώματος, καὶ τὰ σύστοιχα θερμότερα ἐπιτεταμένως, τότε νεφέλιον γίνεται· εἰ δὲ ὑφειμένη ἐστὶν ἡ ξηρότης τῆς

---

1) γὰρ om. M. 2) πυῤῥὸν Codd. saepius. 3) ὄντα Codd. 4) τοῦ A. 5) βάσει A. 6) Ita vocat contenta. 7) ἐννεώρημα Codd. saepius. 8) παραφύσιον M.

ἔξεως, καὶ τὰ σύστοιχα ἧττόν ἐστι θερμὰ, ἐναιώρημα γίνεται ἡ ὑπόστασις.

Ταῦτα εἰρηκὼς λέγει καὶ ἕτερα παρὰ φύσιν οὖρα ἐν τῇ ὑποστάσει συνιστάμενα. καί φησιν ὅτι κακαί εἰσιν αἱ κριμνώδεις ὑποστάσεις. ἐπὶ γὰρ ἀνωμάλῳ ἐκταράξει ἐκκρίνονται, ἐπὶ πυρώδει καὶ φλογώδει θερμότητι γενομένης τῆς ἐκτήξεως. ἡ δὲ ἔκτηξις γίνεται τῆς νεοπαγοῦς σαρκὸς καὶ αὐτῆς τῆς σαρκὸς, καὶ λοιπὸν ἐν τοῖς τοιούτοις κριμνώδη ἐκκρίνονται ἐν τοῖς οὔροις· ἀλλὰ καὶ ἐπὶ παχεῖ αἵματι κριμνώδη ἐκκρίνονται ἐν τοῖς οὔροις. ἀνώμαλός ἐστιν ἡ ἔκτηξις, ὅτι τὰ μὲν λεπτὰ ἐμφέρονται, τὰ δὲ παχέα. 1) ἐρυθρὰ δέ ἐστι τὰ οὖρα, καὶ τὰ κριμνώδη τὰ ἐμφερόμενα κατὰ τὴν ὑπόστασιν· κριμνώδεις δὲ λέγονται αἱ τοιαῦται ὑποστάσεις δίκην τῶν κριμνῶν τῶν ἀπὸ τῶν πεφρυγμένων κριθῶν καὶ ἀλεσθέντων, καὶ διαλαθόντων τινῶν ἁδρομερῶν.

Λέγει καὶ ἑτέραν διαφορὰν, ὅτι καὶ ἡ πεταλώδης ὑπόστασις κακίστη ἐστί. καὶ αὕτη γὰρ ἐπὶ ἐκτήξει ἐκκρίνεται τῶν στερεῶν κατ' ἐπίτασιν τῆς πυρώδους καὶ φλογώδους θερμότητος.

Ἀλλὰ καὶ τὰ πιτυρώδη κακά ἐστιν, ἐπειδὴ καὶ ταῦτα ἐπὶ ἐκτήξει τῶν στερεῶν μορίων ἐκκρίνονται, κατ' ἐπίτασιν μεγίστην τῆς πυρώδους καὶ φλογώδους θερμότητος. πιτυρώδη δὲ ὀνομάζονται, ἐπειδὴ ἐοίκασι πιτύροις.

Καὶ ἀποροῦσί τινες, εἴ γε τὸ ὑπέρυθρον καὶ ὑπόξανθον ὑπό τε τοῦ αἵματος καὶ τῆς χολῆς χρωννύντων αὐτὸ τοιοῦτον γίνεται, ὑπέρυθρον μὲν ὑπὸ τοῦ αἵματος χρωννυμένου, ὑπόξανθον δὲ ὑπὸ τῆς χολῆς, τί δήποτε μὴ ὥσπερ τὸ 2) χρῶμα χρώννυται, καὶ ἡ ὑπόστασις χρώννυται καὶ γίνεται ὑπόπυῤῥον ἢ ὑπόξανθον, ἀλλὰ μένει λευκή; καὶ λέγομεν ὅτι οἱ τοιοῦτοι χυμοὶ λεπτομερεῖς εἰσι, καὶ λοιπὸν ἑτοίμως διεισκρίνονται καὶ διεισέρχονται εἰς τὸ ὀῤῥῶδες ὑγρὸν, καὶ 3) ἀναχύονται ἐν αὐτῷ, καὶ

---

1) Fort. omissum οὐ. 2) Conjecerim χύμα. 3) ἀνεχεύονται L. ἀνεχύνονται M. ἀναισχύνονται A. Conjeci ἀναχύονται.

διὰ τοῦτο χρώννυσιν αὐτὸ, ἡ δὲ ὑπόστασις κάτω ὑφίσταται. λοιπὸν δὲ καὶ παχεῖά ἐστι καὶ οὐ φθάνουσιν εἰσκριθῆναι ἐν τῇ ὑποστάσει ὥστε χρῶσαι αὐτὴν, καὶ διὰ τοῦτο λευκὴ εὑρίσκεται. καὶ πάλιν ἀποροῦσιν ὅτι ἐπὶ τῆς νεφελώδους ὑποστάσεως καὶ τοῦ ἐναιωρήματος, 1) ὅτι ἔχεται εἰπεῖν, ἐπειδὴ ταῦτα ἐμφέρονται καὶ ἐπιπολάζουσι. καὶ μὴν ὁρῶμεν λευκὰ καὶ αὐτὰ ὄντα. πρὸς ὃ ἀπολογούμεθα, ὅτι ταῦτα, λέγω δὴ τὸ νεφέλιον καὶ τὸ ἐναιώρημα, παχέα εἰσὶ, τὸ δὲ χύμα λεπτόν ἐστι καὶ ὑδατῶδες, καὶ διὰ τοῦτο εὐχερῶς εἰσκρίνονται καὶ χρώννυσιν αὐτό· τὸ δὲ νεφέλιον καὶ τὸ ἐναιώρημα παχέα εἰσὶ καὶ διὰ τοῦτο οὐ διεισέρχονται ἐν αὐτοῖς καὶ χρώννυσιν αὐτά.

*Θανατωδέστερα δὲ τῶν οὔρων τά τε δυσώδεα καὶ ὑδατώδη καὶ μέλανα καὶ παχέα. —*

Ἐντεῦθεν ἐπὶ ἑτέρας διαφορὰς θανατωδῶν οὔρων τρέπεται, καὶ λέγει τρεῖς συζυγίας θανατωδεστάτων οὔρων, ὧν πρώτη ἐστὶν αὕτη· φησὶν, ὅτι θανατωδέστατα τῶν οὔρων εἰσὶ τά τε λευκὰ καὶ ὑδατώδεα καὶ δυσώδη· δεύτερον δὲ τὰ παχέα καὶ μέλανα· τρίτον δὲ τὰ λιπαρὰ καὶ ἐλαιώδη. εἶτα λοιπὸν δέον ἐστὶ καὶ τὴν αἰτίαν ἑκάστου εἰπεῖν. τὸ λεπτὸν καὶ δυσῶδες οὖρον ἐνδείκνυται ἐσχάτην ἀπεψίαν καὶ ἄκραν καταβολὴν τῶν ψυχικῶν δυνάμεων καὶ μεγίστην σηπεδόνα ἐν τῷ βάθει οὖσαν. τὸ δὲ λοιπὸν καὶ μέλαν οὖρον ἐνδείκνυται ἢ κατάψυξιν καὶ νέκρωσιν τοῦ ἐμφύτου θερμοῦ, ἢ πυρώδη καὶ φλογώδη θερμότητα. δεῖ γὰρ εἰδέναι ὅτι τὰ μέλανα οὖρα ἢ ἐπὶ καταψύξει καὶ νεκρώσει τοῦ ἐμφύτου θερμοῦ καὶ τοῦ αἵματος καὶ τῶν χυμῶν ἀπονεκρουμένων ἢ ἐπὶ μεγίστῃ καὶ φλογώδει καὶ πυρώδει θερμότητι 2) ἐξυπεροπτώσῃ καὶ οἷον ἀποτεφρουμένῃ, τοῦ τε αἵματος καὶ τῶν χυμῶν γίνεται. τὸ δὲ παχὺ οὖρον ἐνδείκνυται περιουσίαν καὶ πλεονασμὸν παχέων χυμῶν, καὶ πνευμάτων συναναπλεκομένων αὐτοῖς. δεῖ δὲ εἰδέναι ὅτι τὸ λεπτὸν οὖρον καὶ μέλαν ἀδύνατόν ἐστιν εὑρεθῆναι, ἢ μέλαν 3) καὶ δυσώ-

---

1) τί A. 2) ἐξυπεροπτῶσαν Codd. 3) ἢ A.

δες. ἀλλὰ ταῦτα τὰ οὖρα καθ' αὑτὰ μὲν καὶ ἰδίᾳ ὀλέθριά εἰσι, τουτέστι τὸ λευκὸν καὶ τὸ δυσῶδες μόνον. συμπεπλεγμένα δὲ ἔτι μᾶλλόν εἰσιν ὀλέθρια. τὸ δὲ λευκὸν καὶ παχὺ οὐκ ἔστι καθ' αὑτὰ ὀλέθρια. τὸ μὲν γὰρ λεπτὸν καὶ ὑδατῶδες, διότι ἐνδέχεται τῷ χρόνῳ ῥωσθῆναι τὰς φυσικὰς δυνάμεις, καὶ πέψαι καὶ χυμῶσαι καὶ εἰς τὸ κατὰ φύσιν ἐλθεῖν, καὶ μὴ εἶναι ὀλέθριον. ἀλλὰ καὶ τὸ παχὺ οὖρον, ἐπειδὴ παχεῖαν δηλοῖ τὴν ὕλην καὶ περιουσίαν πνευμάτων, χρόνιον μὲν δηλοῖ τὴν ὕλην καὶ τὸ νόσημα, οὐ μὴν ὀλέθριον. ἄλλως τε δὲ ἐνδέχεται παχέα ἐκκριθῆναι οὖρα ἐν τῇ ἀκμῇ τῆς νόσου καὶ 1) μὴ εἶναι ὀλέθρια, ἀλλ' ὑγιαστικά. δηλοῖ γὰρ ὅτι ἀποκαθαίρεται τὸ σῶμα δι' οὔρων, καὶ διὰ τοῦτο παχέα κενοῦνται τὰ οὖρα. ἢ οὐχ ὁρῶμεν καὶ ἄλλων παρὰ φύσιν ὑλῶν κενουμένων ἐν ταῖς παρακμαῖς ἐπὶ ἀπαλλαγῇ τῶν νοσημάτων; διὸ χολώδης ἔκκρισις πολλάκις γίνεται ἢ φλεγματώδης καὶ ἕλμινθες ἐκκρίνονται, καὶ οὐκ εἰσὶν ὀλέθρια, ἀλλ' ὑγιαστικά. παχὺ δὲ οὖρον ἀκουστέον τὸ ἄγαν παχύ.

Ἀλλὰ καὶ τὸ λιπαρὸν καὶ ἐλαιῶδες καὶ τὰ τοιαῦτα οὖρα ὀλέθριά εἰσι καὶ θανατώδη. δηλοῦσι γὰρ σηπεδόνα καὶ ἔκτηξιν τῆς πιμελῆς ὑπὸ φλογώδους θερμότητος γινομένην. αὗταί εἰσιν αἱ συζυγίαι τῶν οὔρων αἱ θανατώδεις, ὧν ἐνταῦθα μέμνηται Ἱπποκράτης, ἐφ' οἷς καὶ προσδιορισμοὺς τίθησι τέσσαρας τὸν ἀριθμὸν, ὧν πρῶτός ἐστιν 2) αὐτὸς, ὅτι ταῖς μὲν γυναιξὶ καὶ τοῖς ἀνδράσι τὰ μέλανα τῶν οὔρων κάκιστα· τοῖς δὲ παιδίοισι τὰ ὑδατώδη φησὶν, ὅτι ταῖς ἀκμαζούσαις γυναιξὶ καὶ ἀνδράσι ταῖς ἀκμάζουσι τὰ μέλανα τῶν οὔρων ὀλέθρια καὶ θανατώδη εἰσὶ, τοῖς δὲ παιδίοις τὰ λεπτὰ καὶ ὑδατώδη. διατί; ἐπειδὴ ἐπὶ τῶν παίδων ἐν τῷ κατὰ φύσιν παχέα ἐκκρίνονται τὰ οὖρα διὰ τὴν ἀδδηφαγίαν, ὅθεν τῷ πάχει καὶ μέλανα ὑποφαίνεται· ἐπὶ δὲ τῶν ἀκμαζόντων, τὰ λεπτὰ καὶ ὀλίγην ἔχοντα τὴν ὑπόστασιν εἰσὶ κατὰ φύσιν διὰ τὴν περιουσίαν τῆς κατὰ ποιότητα θερμότητος, συμπέττουσαν καὶ λεπτύνουσαν. ἐὰν οὖν ἐναλλὰξ γένηται καὶ

1) μὴν A. 2) Fort. οὗτος.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 187 sur 382

ἐπὶ τῶν παίδων λεπτὰ ἐκκριθῶσι καὶ ὑδατώδη, ἐπὶ δὲ τῶν ἀκμαζόντων τὰ μέλανα καὶ παχέα οὖρα, ἐπειδὴ ἐπὶ τῷ παντὶ ἐναντίον τοῦ κατὰ φύσιν ἐξετράπησαν, διὰ τοῦτο ὀλέθριά εἰσιν.

Δεύτερον λέγει προσδιορισμὸν τοιοῦτον, ὅτι ἐπὶ τῶν νοσημάτων 1) εὔφορός ἐστιν ὁ ἄνθρωπος καὶ 2) εὔπνους [καὶ ἄϋπνος] καὶ ἄδιψος καὶ μηδεμίας αἰσθάνεται δυσφορίας ἢ ἀνωμαλίας, 3) ἐκκρίνονται δὲ οὖρα λεπτὰ καὶ ὑδατώδη ἐπὶ πολὺν χρόνον, γίνωσκε ὅτι εἰς ἀπόστασιν τρέπεται τὸ νόσημα. δεῖ δὲ εἰδέναι ἐν τῷ καθόλου, ὅτι τὰ νοσήματα ἢ χρόνιά εἰσιν ἢ ὀξέα, καὶ τὰ μὲν χρόνια ἐπὶ ψυχρᾷ καὶ παχείᾳ ὕλῃ γίνονται. διὰ τοῦτο καὶ χρονίζουσιν, ἀλλὰ τῷ μήκει τοῦ χρόνου καὶ αἱ δυνάμεις καταβάλλονται· τὰ δὲ ὀξέα ἐπὶ θερμῇ καὶ λεπτῇ ὕλῃ γίνονται, ὅθεν καὶ κατ' ἔκρουν ἐκκρίνονται διὰ χολεμεσίας καὶ ἐκταράξεως γαστρὸς καὶ δι' ἐμέτων καὶ ἱδρώτων καὶ τῶν τοιούτων. τὰ δὲ χρόνια οὐ κρίνονται, ἀλλὰ λύονται κατὰ διαφόρησιν καὶ σύμπεψιν. εἰ δὲ καὶ κρίνονται, κατὰ ἀπόστασιν κρίνονται. δεῖ γὰρ εἰδέναι ὅτι χρονίου ὑποκειμένου νοσήματος, καὶ παχείας οὔσης τῆς ὕλης, καὶ παχέων οὔρων ὀφειλόντων ἐκκρίνεσθαι, ἐὰν λεπτὰ καὶ ὑδατώδη ἐκκρίνωνται τὰ οὖρα, δηλοῖ ὅτι ἀλλαχοῦ πέμπεται ἡ ὕλη, καὶ ἐνδομυχεῖ εἰς ἕτερον μόριον ἀσθενὲς γινόμενον, ὅπερ δι' οἰκείαν ἀσθένειαν ὑποδέξασθαι μὲν δύναται, ἀπωθῆσαι δὲ καὶ ἀποδιῶξαι οὐ δύναται, ἀλλὰ λοιπὸν ἐκεῖσε στέγεται καὶ ἐμφωλεύει ἡ τοιαύτη ὕλη, 4) ὅπερ τῷ χρόνῳ ἐξ ἀνάγκης 5) ἀποστάσεις γενέσθαι. αἱ δὲ ἀποστάσεις ἐπὶ μὲν τῶν ἄγαν χρονίων νοσημάτων, ἡνίκα καὶ ψυχρά ἐστιν ἡ ὕλη καὶ παχεῖα, ἀπὸ τοῦ διαφράγματος ἐπὶ τὰ κάτω γίνονται, διὸ ἐπὶ τὸν ὀμφαλὸν καὶ τὴν ὀσφὺν καὶ τοὺς λαγόνας καὶ βουβῶνας καὶ τοῖς τοιούτοις· ἐπὶ δὲ τῶν μὴ οὕτως χρονιζόντων ἐπὶ τὰ ἄνω αἱ ἀποστάσεις γίνονται ἤγουν ἐν τοῖς παρισθμίοις καὶ παρωτίσι καὶ μασχάλαις καὶ τοῖς τοιούτοις. εἰ δὲ

---

1) ἄφορος A. 2) ἄπνους A. καὶ ἄϋπνος om. M. 3) ἐκκρίνει A. 4) Fort. ὥστε sive ᾧπερ. 5) ὑπόστασις A.

μέσως πως, μέσως καὶ αἱ ἀποστάσεις γίνονται, ποτὲ μὲν ἄνω, ποτὲ δὲ κάτω.

Τρίτος προσδιορισμός ἐστιν ὅτι ἐπὶ τῶν οὔρων παρὰ φύσιν ἐστὶ τὸ νεφελῶδες πάχος ἐν τῇ ὑποστάσει θεωρούμενον καὶ τὸ ἐναιώρημα, ἧττον δέ ἐστι παρὰ φύσιν. ἡ δὲ ὑπόστασις ὁμωνύμως τῷ γένει κατὰ φύσιν ἐστί. χειρίστη δὲ πασῶν, τὸ νεφελῶδές ἐστιν, ἐπειδὴ πλείω ἐνδείκνυται ἀπεψίαν καὶ περιουσίαν πνευμάτων. διὰ τοῦτο καὶ πλέον μετεωρίζεται. ἧττον δὲ χείριστόν ἐστι τὸ ἐναιώρημα. ἐπειδὴ δὲ τῶν οὔρων τὰ μὲν οὐδ᾽ ὅλως ἔχουσι πάχος ἐμφερόμενον ἐν αὐτοῖς, ἀλλ᾽ ἀδιάκριτόν ἐστι. τούτου οὖν τοῦ μὴ ἔχοντος πάχος τουτέστιν ὑπόστασιν, κάλλιόν ἐστι τὸ νεφελῶδες. τὸ γὰρ μὴ ἔχον τι πάχος οὖρον ἐν ἑαυτῷ χείριστόν ἐστι καὶ κάκιστον. δηλοῖ γὰρ ὅτι ἀλλαχοῦ ἀπασχολεῖται ἡ ὕλη καὶ ἐκεῖσε ἀποσκήπτει.

Τέταρτος προσδιορισμός ἐστιν ἐν ᾧ φησιν ὅτι τὰ μέλανα καὶ δυσώδη οὖρα οὐ πάντως τοῦ παντὸς σώματος ἐνδείκνυται τὸ πάθος, ἀλλά τινος μορίου, ἡνίκα τυχὸν ἕλκος ἐστὶ περὶ τοὺς νεφροὺς ἢ τοὺς οὐρητῆρας ἢ τὴν κύστιν. τοτηνικαῦτα γὰρ δυσῶδες ἐκκρίνεται τὸ οὖρον διὰ τὸ πῦον. καὶ μὴ 1) παραλογισθῇς ἐπὶ τοῦτο, ὅτι ἐπειδὴ δυσῶδες ἐξεκρίθη, πάντως καὶ ὀλέθριον. ἰδοὺ γὰρ ἐνδέχεταί ποτε ἐκκριθῆναι δυσῶδες οὖρον, καὶ μὴ εἶναι θανάσιμον, καθὼς καὶ αὐτὸς λέγει· μὴ ἐξαπατάτω δέ σε, ἤν τι καὶ αὐτὴ ἡ κύστις νόσημα ἔχουσα τοιαῦτα οὖρα ἀποδιδῷ. οὐ γὰρ τοῦ ὅλου σώματος σημεῖόν ἐστιν, ἀλλ᾽ αὐτῆς καθ᾽ αὐτήν.

Δεύτερόν ἐστιν ἐν ᾧ περὶ ἐμέτου διαλέγεται. ὁ δὲ ἔμετος πολλὰς ἔχει διαφοράς. ἀλλὰ πρότερον περὶ τοῦ κατὰ φύσιν ἐμέτου διαλέγεται. κατὰ φύσιν δὲ ἔμετός ἐστιν, ὁ ἄνευ 2) βλάβης τῶν ἐνεργειῶν γινόμενος καί φησιν, ὅτι κατὰ φύσιν ἔμετός ἐστιν, ὁ ἐξ ἐπιμιξίας χολῆς καὶ φλέγματος γινόμενος. καί φησιν, ὅτι κατὰ φύσιν ἔμετός ἐστιν ὁ τοιοῦτος ἵνα συμπλακῶσι. τὸ μὲν γὰρ

---

1) παραλογισθεὶς Codd. Fort. τούτῳ. 2) δὲ add. A.

φλέγμα ἐκ τῶν περισσῶν ἀπεψιῶν ἀθροίζεται ἐν τῷ στομίῳ τῆς γαστρὸς, ἡ δὲ χολὴ νῦν τίκτεται ἀπὸ τοῦ ὀξέος πυρετοῦ. ἐπὶ γὰρ ὀξέων νοσημάτων γυμνάζει τὸν λόγον, ἐπειδὴ ἀβιάστως γίνεται καὶ ἀβλαβῶς. 1) ἡ μὲν γὰρ χολὴ λεπτύνει καὶ διαχεῖ τὸ φλέγμα, ἐπειδὴ καὶ ἐχέκολλόν ἐστι· τὸ δὲ φλέγμα τῇ οἰκείᾳ ὑγρότητι καταπραύνει τὸ δηκτικὸν τῆς χολῆς. ὁ δὲ παρὰ φύσιν ἔμετος πολλὰς ἔχει διαφοράς. ἐὰν γὰρ ἰδίως καὶ χωρὶς ἐμεθῇ χολὴ ἢ φλέγμα, παρὰ φύσιν ἐστίν. εἰ μὲν χολὴ ξανθὴ ἐμεθῇ, τῇ δήξει καὶ τῇ ἀνίᾳ βλάπτει τὰ μόρια δι᾽ ὧν παρέρχεται. αὕτη δὲ ἡ ξανθὴ χολὴ παχυνομένη λεκιθώδης γίνεται ἢ ὀῤῥώδης ὑγρότης συναναμίσγει καὶ ἴσχει ἐπιμιξίας τῇ ξανθῇ χολῇ, ἢ ὠχρὰ γίνεται χολή. ἑκάτερά ἐστι κακὰ ἐμούμενα διὰ τὸ πάχος. τί γὰρ ὅτι τῇ οἰκείᾳ θερμότητι τὸ λεπτὸν διαφορεῖται καὶ παχύνεται, καὶ παχυνομένων, δυσχερὴς γίνεται ὁ ἔμετος καὶ μετὰ σπαραγμοῦ, ὡς πολλάκις τῇ βίᾳ καὶ τῷ σπαραγμῷ καὶ αἵματος γίνεσθαι ἔμετον. ὁμοίως καὶ τὸ φλέγμα διά τε τὸ ψυχρὸν αὐτὸ εἶναι καὶ διὰ τὸ ἐχέκολλον πρῶτον μὲν ψύχει τὰ μόρια δι᾽ ὧνπερ παρέρχεται. λοιπὸν δὲ καὶ 2) τὸ ἐχέκολλον μετὰ βίας τινὸς καὶ συντάσεως ὁ ἔμετος γίνεται. παρὰ φύσιν ἔμετοί εἰσι καὶ κάκιστοι, ἐὰν πρασοειδὴς ἐμεθῇ χολὴ, ἀλλὰ καὶ πέλια 3) καὶ μέλανα ἐμούμενα, κάκιστά εἰσιν. 4) οὐ μὴν ἀλλὰ καὶ τὰ δυσώδη κάκιστά εἰσι. ταῦτα δὲ καὶ ἰδίᾳ καὶ χωρὶς ἐμούμενα, κάκιστά εἰσιν· ἀλλὰ καὶ ἐὰν συμπεπλεγμένα ἅμα ἐμεθῶσι, παγκάκιστά εἰσι. δηλοῦσι γὰρ ποικίλην κακοχυμίαν καὶ ποικίλην διάθεσιν οὖσαν ἐν τῷ σώματι. τὰ γὰρ μέλανα ἐμούμενα καὶ πέλια ἐνδείκνυνται ἢ ψύξιν οὖσαν ἐν τῷ βάθει ἢ φλόγωσιν ἐξυπεροπτῶσαν τοὺς χυμούς. τὰ δὲ δυσώδη ἐνδείκνυνται μεγίστην σηπεδόνα. ἀλλὰ καὶ ἡ πρασώδης χολὴ ἐμουμένη κακίστη ἐστίν. αὕτη δὲ καὶ ἐν γαστρὶ γεννᾶται καὶ ἐν ταῖς φλεψὶ, καὶ καθ᾽ ἑκάτερον διχῶς· ἢ γὰρ ἐπὶ ζέσει φλογώδει θερμότητος οὔσης ἐν τῇ γαστρὶ, πρασώδης γίνεται χολὴ, εἴτε διὰ τὰς προσφερομένας

---

1) εἰ M. 2) Fort. διὰ addendum. 3) ἢ A. 4) οὐ — εἰσι om. M.

τροφὰς τοιαύτας οὔσας καὶ ἀπεπτουμένας, κράμβας φημὶ καὶ σεῦτλα, πρασώδης γεννᾶται χολή. ὁμοίως καὶ εἰς τὰς φλέβας ἢ διὰ ζέσιν ὑπερβάλλουσαν ἐν αὐταῖς πρασώδης γενᾶται χολὴ καὶ ἀντικαταῤῥεῖ εἰς γαστέρα καὶ οὕτως ἐμεῖται, ἢ διὰ τοιοῦτον περίττωμα ἀθροισθὲν ἐν αὐταῖς, κράμβαις φημὶ καὶ σεύτλων καὶ τῶν τοιούτων, πρασώδης γεννᾶται χολή. ἑκάτεροι οἱ τοιοῦτοι χυμοὶ κάκιστοί εἰσιν.

Σκοπεῖν δὲ χρὴ τῶν οὔρων αἱ νεφέλαι εἴτε κάτω ἔωσιν εἴτε ἄνω. —

Δεῖ δὲ εἰδέναι ὅτι ὁ Ἱπποκράτης ποτὲ καὶ τὴν ὑπόστασιν καὶ τὴν νεφέλην καταχρηστικῶς ὑπόστασιν καλεῖ, ὅπερ καὶ νῦν πεποίηκεν. ἔφη γὰρ ἐν οἷς αἱ νεφέλαι εἴτε ἄνω εἴτε κάτω ὦσιν. ἰδοὺ καταχρηστικῶς, εἴτε ἄνω εἴτε κάτω ὑπόστασιν καλεῖ καὶ τὴν νεφέλην καὶ τὴν ὑπόστασιν καί φησιν, ὅτι ἀπὸ τῶν ὑποστάσεων δεῖ ποιεῖσθαι τὴν σημείωσιν· αἱ γὰρ ὑποστάσεις ἀγαθαί εἰσι καὶ ὑγιαστικαί. τὸ γὰρ νεφέλιον καὶ τὸ ἐναιώρημα παρὰ φύσιν εἰσὶν, ἐπειδὴ συναναπεπλεγμένα εἰσὶ μετὰ πνευμάτων παχέων, καὶ διὰ τοῦτο μετεωρίζονται. εἶτα καὶ ἀποροῦσιν ὅτι καὶ πῶς ἀνωτέρω ἐπὶ τῶν ἀκμαζόντων ἔλεγεν, ὅτι ἡνίκα αὐχμηρὸν καὶ κατάξηρόν ἐστι τὸ σῶμα, νεφέλιον ἢ ἐναιώρημα ὑφίσταται ἐν τοῖς οὔροις, ἅτινα καὶ κατὰ φύσιν εἰσὶ, πῶς οὖν λέγει ἐνταῦθα ὅτι παρὰ φύσιν εἰσί; καὶ λέγομεν ὅτι πᾶσαι αἱ ἡλικίαι πάντως παχυμερεστέραις τροφαῖς κέχρηνται. διὰ οὖν τὴν παχυμερίαν τῶν τροφῶν πάντως ὑπόστασιν ἴσχουσι τὰ οὖρα. ὁ οὖν Ἱπποκράτης πρὸς τοῦτο ἀφεωρακὼς κατὰ φύσιν λέγει εἶναι τὴν ὑπόστασιν καὶ διὰ τοῦτο ἐπαινεῖ τὴν τοιαύτην σημείωσιν ὡς ἀσφαλῆ οὖσαν.

Πτύελον δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι τοῖσι περὶ τὸν πνεύμονά τε καὶ τὰς πλευρὰς ταχέως ἀναπτύεσθαι καὶ εὐπετέως. —

Ἐντεῦθεν ἐπὶ τῶν κενουμένων παρὰ φύσιν εἰς σημείωσιν ἐτράπη ὁ Ἱπποκράτης καὶ σημειοῦται τὸ πτύελον καὶ πτύσμα. τὸ αὐτὸ δέ ἐστιν. οὐδὲ γὰρ ὥς τινες ὑπέλαβον ὅτι τὸ μὲν πτύελόν ἐστι τὸ κατὰ φύσιν, πτύσμα δὲ τὸ

παρὰ φύσιν, ἐπειδὴ αὐτὸς ἀδιόριστον καὶ πτύελον καὶ πτύσμα τὸ αὐτὸ καλεῖ. σημειοῦται οὖν τινα πάθη ἀπὸ τοῦ πτυέλου. πλευρῖτιν λέγω καὶ 1) περιπνεύμονα. ταῦτα γὰρ τὰ πάθη ἀπὸ τοῦ πτυέλου διαγινώσκονται. τί δέ ἐστι πλευρῖτις, ἴσμεν καὶ νῦν εἰρήσεται. πλευρῖτις τοίνυν ἐστὶν φλεγμονὴ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ἀπὸ χολωδεστέρου αἵματος γινομένη. περιπνεύμονος δέ ἐστι φλεγμονὴ τοῦ πνεύμονος ἀπὸ φλεγματικωτέρου αἵματος γινομένη. καὶ ἀποροῦσί τινες ὅτι εἰ πᾶν μόριον, ἐξ οὗ τρέφεται, ἐκ τούτου καὶ ἐπηρεάζεται, ἔδει τὸν πνεύμονα ἀπὸ χολωδεστέρου αἵματος ἐπηρεάζεσθαι καὶ τὴν φλεγμονὴν γίνεσθαι ἐκ ταύτης, καὶ μὴ ἀπὸ φλεγματώδους αἵματος· ὁμοίως καὶ ἡ πλευρῖτις ὑπὸ φλεγματικωτέρου αἵματος ἔδει βλάπτεσθαι ὡς νευρώδης οὖσα καὶ τὴν φλεγμονὴν συνίστασθαι, καὶ μὴ ἀπὸ χολωδεστέρου αἵματος. καὶ λέγομεν ὅτι οὐ πάντα τὰ μόρια ἐξ οὗ τρέφονται, πάντως καὶ βλάπτονται, ὥσπερ ἐνταῦθα ἐπὶ τῆς φλεγμονῆς. ὁ γὰρ πνεύμων μανός ἐστι καὶ ἀραιὸς, ἡ δὲ χολὴ ὡς λεπτομερὴς διεξέρχεται καὶ ἀποῤῥέει καὶ οὐ στέγεται, καὶ τοιγνικαῦτα οὐκ ἐμφράττεται καὶ 2) οὐ ποιεῖ φλεγμονήν. διὰ δὲ τὸ φλέγμα γίνεται ἡ περιπνευμονία, ἐπειδὴ παχύς ἐστιν οὗτος ὁ χυμὸς καὶ ὡς παχὺς ἐμφράττεται καὶ ποιεῖ τὴν περιπνευμονίαν. καὶ ἴσως ἐρεῖ τις, καὶ πόθεν φλέγμα εὑρίσκεται ἐν τῷ πνεύμονι, εἴ γε ἀπὸ χολωδεστέρου αἵματος τρέφεται; καὶ λέγομεν ὅτι ἢ ἀπὸ τῆς κεφαλῆς ἀντικαταῤῥεῖ φλέγμα καὶ φέρεται ἐπὶ τὸν πνεύμονα, ἢ ἐκ τῶν παρακειμένων μορίων φέρεται φλέγμα ἐπὶ τὸν πνεύμονα, 3) καὶ ἐμφράττεται καὶ ποιεῖ φλεγμονὴν κατὰ τὸν αὐτὸν τρόπον. καὶ ἐπὶ τῆς πλευρίτιδός ἐστιν ἰδεῖν 4) ὅτι κἂν ἀπὸ φλεγματικωτέρου αἵματος τρέφεται 5) ὁ ὑπεζωκὼς ὡς νευρώδης, ἀλλ' ὅμως ἀπὸ χολωδεστέρου αἵματος βλάπτεται. ἐπειδὴ γὰρ νευρώδης ἐστὶν ὁ ὑπεζωκὼς, οὐ διεισέρχεται τὸ φλέγμα,

---

1) Pro *περιπνευμονίαν*. Et *περιπνεύμων* et *περιπνεύμονος* sequioris aetatis fuisse videntur formae. 2) *οὐ* om M. 3) In hoc verbum desinit lacuna cod. L. p. 152. edit. nostrae. 4) *ὅτι* om. L. 5) *ὁ ὑπεζ.* om. L.

ὥστε ποιῆσαι ἔμφραξιν καὶ ποιῆσαι φλεγμονὴν, ἀλλ' ἡ
χολὴ λεπτομερὴς οὖσα διεισέρχεται καὶ διεισδύνει, καὶ
στέγεται καὶ ἐμφράττεται, καὶ ποιεῖ τὴν φλεγμονήν. ἀλλ'
ἴσως 1) ἀπορήσει τις, ὅτι καὶ πόθεν ἡ χολὴ ἐν τῷ ὑπε-
ζωκότι; καὶ λέγομεν, ὅτι ἢ ἀπὸ τῶν παρακειμένων μο-
ρίων φέρεται ἐκεῖσε χολὴ, καὶ ποιεῖ τὴν φλεγμονὴν, ἢ
ὅτι ὑπόκειται προπεπονθὼς ὁ ὑπεζωκώς. καὶ τὸ τηνι-
καῦτα ἐπειδὴ πέπονθεν, ἀπεπτεῖται τὸ λόγῳ τροφῆς φε-
ρόμενον ἐν αὐτῷ, καὶ οὐ μόνον φλέγμα γεννᾶται, ἀλλὰ
καὶ χολὴ, καὶ ποιεῖ τὴν φλεγμονήν. ἢ εἰπὲ ὅτι ἐν παντὶ
μορίῳ διάφορος τίκτεται κακοχυμία. ἐνδέχεται 2) οὖν
ἀθροισθῆναι χολώδη ὕλην ἐν τῷ ὑπεζωκότι καὶ ἐμφρα-
γῆναι καὶ ποιῆσαι φλεγμονήν.

Τούτων οὕτως ἐχόντων, 3) σημειοῦται τὸ πτύελον
ἀπὸ πέντε τινῶν, πρῶτον μὲν ἀπὸ τοῦ καιροῦ, δεύτερον
ἀπὸ τοῦ τρόπου τῆς ἀναγωγῆς, τρίτον ἀπὸ τῆς κράσεως
ὧν ἐπιδέχεται χρωμάτων, τέταρτον ἀπὸ τῆς συστάσεως,
καὶ πέμπτον ἀπὸ τοῦ σχήματος.

Καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου. σημειοῦται τοίνυν τὸ
πτύελον ἀπὸ τοῦ καιροῦ, λέγων οὕτως, ὅτι ἄριστόν ἐστι
τὸ πτύελον τὸ ταχέως ἀναπτυόμενον. τὸ δὲ ταχέως διτ-
τόν ἐστι. δηλοῖ γὰρ τὸν χρόνον τουτέστι τὴν ἀρχὴν τοῦ
νοσήματος, κατὰ τὸ εἰρημένον ἐν ἀφορισμοῖς, πτύελον ἢν
αὐτίκα ἐπιφαίνηται, βραχύνει καὶ τὰ λοιπά. ἢ τὸ ταχέως
δηλοῖ τὸ συντόμως ἅμα τῇ ῥήξει τοῦ κάμνοντος 4) ἀνα-
γόμενον καὶ ἀποπτυόμενον. ὅθεν καὶ ἡμεῖς οὕτως λέγο-
μεν, ὅτι τάχιστα ἀναπτύει καὶ εὐανάγωγά εἰσι τὰ ἀνα-
πτυόμενα. πλὴν δεῖ εἰδέναι ὅτι κατὰ τοῦ πρώτου ἁρμό-
ζει ἡ ἀπὸ τοῦ καιροῦ σημείωσις, λέγω δὴ κατὰ τοῦ ἐν
τῇ ἀρχῇ τῆς νόσου, ἐπεί τοι τὸ εὐθέως ἀναπτύεσθαι
τοῦ δευτέρου ἐστὶ σημαινομένου, λέγω δὴ τοῦ ἀπὸ τρό-
που τῆς ἀναγωγῆς, ὅτι τὰ ἀναγόμενα εὐπετῆ θέλει εἶναι
καὶ ῥαδίως ἀνάγεσθαι. 5) δηλοῖ γὰρ εὐεπήκοον τὴν ὕλην
καὶ ἀνωδυνίαν.

---

1) καὶ ἐνταῦθα ἐρεῖ M. A. 2) γὰρ M. A. 3) περὶ πτυέλου L. in mg. 4) ἀνάγοιτο μὴ L. 5) τὸ πτύελον καί ἐστι ἀγαθὸν add. M. A.

Ἀπὸ δὲ τῆς συστάσεως, δεῖ μήτε παχεῖαν εἶναι καὶ γλίσχραν τὴν ὕλην, μήτε λεπτὴν καὶ ὑδατώδη. τα γὰρ παχέα καὶ γλίσχρα ἔχουσι τὸ ἐχέκολλον καὶ δυσαπόσπαστον, 1) καὶ οὐκ ἀνάγονται. εἶτα λοιπὸν μὴ ἀναγόμενα φέρονται ἐπὶ τοὺς σήραγγας τῆς τραχείας ἀρτηρίας, καὶ τῆς ἀρτηριώδους φλεβὸς καὶ ἐμφράττει αὐτοὺς, καὶ ἐντεῦθεν οὐ γίνεται ἡ πάροδος τοῦ πνεύματος, ἀλλὰ πνιγμωδῶς κινδυνεύουσι. τὰ δὲ λεπτὰ καὶ ὑδατώδη ἐν τῇ ἀνόδῳ ἀντιπερισχίζονται, καὶ ἔνθεν κἀκεῖθεν ἀντικαταῤῥεῖ, καὶ οὐκ ἀνάγεταί τι ἐξ αὐτῶν, ἀλλὰ μόνον κοπιᾷ ἡ δύναμις ἀκαίρως. δεῖ γὰρ εἰδέναι ὅτι πρῶτον μὲν ἡ δύναμις τῶν μεσοπλευρίων μυῶν ἢ ὅλου τοῦ θώρακος συμβάλλονται εἰς τὴν 2) ἀναγωγὴν, εἶτα τὸ πνεῦμα. τί γὰρ ὅτι ἐν τῇ συστολῇ τοῦ θώρακος ἐκθλίβεται, εἶτα ἐν τῇ ἐξωθήσει τοῦ πνεύματος τὰ ἀποκρουόμενα ἀκοντίζονται, δίκην βολίστρας, καὶ οὕτως ἀποπτύονται· ἀλλὰ δεῖ μέσως πως εἶναι κατὰ σύστασιν τοῦ παχέος καὶ γλίσχρου, καὶ τοῦ λεπτοῦ καὶ ὑδατώδους, ἵνα τὸ πνεῦμα ἐκπεμπόμενον προσκροῦον, καταστερεωθῇ αὐτὸ καὶ ἐμπέμπῃ τὴν ὕλην.

Ἀπὸ δὲ τῆς κράσεως τῶν ἐπιμιγνυμένων χρωμάτων, δεῖ πᾶσι τοῖς ἀναγομένοις χυμοῖς, λέγω δὴ καὶ τῇ ξανθῇ χολῇ καὶ τῇ μελαίνῃ καὶ τοῖς πελιδνοῖς, συναναμεμίχθαι φλέγμα, εἰ μέλλει ἀγαθὸν εἶναι, ἵνα τὸ φλέγμα τῇ οἰκείᾳ ὑγρότητι ἐπιτέγξῃ καὶ κολάσῃ τὸ δηκτικὸν καὶ δακνῶδες αὐτῶν. χείριστα δέ εἰσι καὶ τὰ ποικίλα καὶ ἄκρατα ἀναγόμενα. δηλοῖ γὰρ πλείστην κακοχυμίαν οὖσαν ἐν τῷ σώματι καὶ διαφόρους τὰς διαθέσεις, ἅτινα καὶ ὀλέθριά εἰσι. τὰ δὲ μὴ ποικίλα, ἀλλὰ καὶ κεκραμμένα ὄντα, οὐκ εἰσὶ κακά. ἐν οὖν τοῖς ἀναγομένοις κρεῖττόν ἐστι τὸ αἷμα καὶ τὸ φλέγμα ἀνάγεσθαι. διὰ τί; ἐπειδὴ οὗτοι οἱ χυμοὶ ἀδήκτως καὶ ἀβιάστως ἀνάγονται, ἐπειδὴ πραεῖς εἰσιν. οὐδὲ γὰρ ἔχουσι τὸ δηκτικόν. ἡ δὲ ξανθὴ χολὴ καὶ ὁ μελαγχολικὸς κενούμενα ἄκρατα, εἴτε καθ' αὑτὰ, εἴτε καὶ συμπεπλεγμένα 3) ἀλλήλοις, κακά εἰσιν. ἡ μὲν γὰρ ξανθὴ

---

1) τὸ δυσεκμόχλευτον add. M. A. Videtur esse glossema. 2) ἀγωγὴν M. 3) ἄλλοις L.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 194 sur 382

χολὴ ἐν τῷ ἀνάγεσθαι δάκνει καὶ ἀνιᾷ καὶ ἑλκοῖ τοὺς 1) τόπους ἐκείνους τῇ οἰκείᾳ δριμύτητι, ἔστιν ὅτε δὲ καὶ πυρετοὺς ὀξεῖς ἐξάπτει. ὁ δὲ μελαγχολικὸς παχὺς ὢν καὶ γεώδης δηλοῖ ἐς μῆκος χρόνου ἐκταθήσεσθαι τὸ νόσημα, ὥστε τῷ μήκει μὴ αὐταρκέσαι τὴν δύναμιν, καὶ ἐπιστῆναι τὸν κίνδυνον. ἀλλὰ δεῖ αὐτὰ κεκρᾶσθαι, καθ' ὃν καὶ 2) αὐτὸς λέγει, συμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλῳ. καὶ αὐτὸς μὲν ἐπὶ τῆς χολῆς ἔφη, ὅτι δεῖ τὴν χολὴν συναναμεμίχθαι τῷ 3) φλέγματι. σὺ δὲ καὶ ἐπὶ παντὸς χυμοῦ εἰπὲ, ὅτι δεῖ συναναμεμίχθαι αὐτοῖς φλέγμα, ὥστε κολάζεσθαι αὐτοὺς ὑπὸ τῆς ὑγρότητος τοῦ φλέγματος.

Ἀπὸ δὲ τοῦ σχήματος, ὅτι τὰ στρογγύλα ἀναγόμενα κάκιστά εἰσι. δηλοῖ γὰρ πάχος φλέγματος, καὶ μεγίστην φλόγωσιν ἐν τῷ βάθει οὖσαν. 4) περιφρύσσεται γὰρ πανταχόθεν τὸ φλέγμα καὶ ἐν τῷ ἀνάγεσθαι προσπταῖον τῇδε κἀκεῖσε καὶ περιφερόμενον, καταθραύονται τὰ ἄκρα πανταχόθεν, καὶ τὸ τηνικαῦτα στρογγύλα ἀποπτύονται. ἢ εἰπὲ ὅτι ἡ θερμότης περιφρύσσει τὰ πέριξ τοῦ φλέγματος, παχέος αὐτοῦ ὄντος, καὶ ἐν τῇ ἀναγωγῇ περιφερόμενον τῇδε κἀκεῖσε σφαιροῖ αὐτό.

Οὕτως σημειωσάμενος ἀπὸ τῶν πέντε τὰ κατὰ φύσιν πτύελα σημειοῦται καὶ τὰ παρὰ φύσιν, καὶ λέγει, ὅτι πάντα τἀναντία τούτοις κάκιστά εἰσι καὶ ὀλέθρια. καὶ ἄρχεται ἀπὸ τοῦ καιροῦ, καί φησιν ὅτι κάκιστά εἰσι τὰ μὴ ἐν τῇ ἀρχῇ ἀναπτυόμενα, ἀλλ' ἐν τῇ παρακμῇ. δηλοῖ γὰρ ἀσθένειαν καὶ καταβολὴν τῶν δυνάμεων, καὶ μὴ ὑπείκουσαν τὴν ὕλην, καὶ δηλοῖ ὅτι τῇ ἀσθενείᾳ μήποτε οὐκ 5) ἰσχύσῃ ἡ δύναμις ἐκταθῆναι μέχρι τῆς κρίσεως καὶ ἐν τῷ μέσῳ ἀποκάμῃ.

Ἀλλὰ καὶ ἀπὸ τοῦ τρόπου τῆς ἀναγωγῆς, λέγει ὅτι τὰ βραδέως καὶ δυσχερῶς ἀναγόμενα κάκιστά ἐστιν. ἐνταῦθα γὰρ οὐκ 6) εἴκει ἡ ὕλη, ἥτις δηλοῖ μεγίστην ὀδύνην τῶν περὶ τὸν θώρακα μορίων.

---

1) τύπους L. 2) αὐτὸ L. 3) αἵματι L. 4) περιφρίσσεται M. 5) ἰσχύσει M. 6) ὑπείκει M. A.

Ἀλλὰ καὶ κατὰ σύστασιν 1) κάκιστά ἐστι, καὶ τὸ παχὺ καὶ τὸ γλίσχρον, καὶ τὸ λεπτὸν καὶ ὑδατῶδες.

Εἶτα μέμνηται καὶ τῶν κακίστων χρωμάτων, καὶ λέγει ὅτι τὸ χλωρὸν ἀναπτυόμενον δηλοῖ μεγίστην ζέσιν οὖσαν ἐν τῷ πνεύμονι. δεῖ γὰρ εἰδέναι ὅτι τὸ 2) ὀῤῥῶδες τοῦ αἵματος ἐξυπεροπτούμενον, ἡ ξανθὴ γίνεται χολή. εἶτα ταύτῃ τῇ ξανθῇ χολῇ ἐπιμίγνυται τὸ ὀῤῥῶδες ὑγρὸν, καὶ γίνεται ἡ ὠχρὰ χολή. καὶ πάλιν ἐὰν μεγίστη ἐστὶν ἡ ζέσις, καὶ ὑπερκαυθῇ ἡ ὠχρὰ χολὴ, τίκτεται ἡ ἰώδης. περὶ ταύτης τῆς ἰώδους χολῆς ὁ λόγος τῷ Ἱπποκράτει. ταύτην γὰρ ἐκάλεσε χλωράν. ἀλλὰ καὶ τὰ μέλανα ἀναπτυόμενα κάκιστά ἐστιν. ὁ δὲ μελαγχολικὸς γίνεται χυμὸς, ἢ τῆς ξανθῆς χολῆς ὑπεροπτουμένης, καθ' ἣν καὶ μέλαινα χολὴ ὀνομάζεται. γίνεται μελαγχολικὸς καὶ ἐκ τοῦ τρυγώδους τοῦ αἵματος ἐξυπεροπτουμένου, ὅστις καὶ κυρίως ἐστὶ μελαγχολικός. ἐὰν οὖν μέλανα ἀναπτύωνται, κάκιστά ἐστι· μεγίστην γὰρ ζέσιν δηλοῖ. ἔστι δ' ὅτε ἐνδέχεταί ποτε μέλανα τῇ ψύξει γενέσθαι τῷ λόγῳ τῆς νεκρώσεως. ἀλλὰ καὶ τὸ ἀφρῶδες πτύελον, παγκάκιστόν ἐστι. γίνεται δὲ ὑπὸ φλεγματικῆς οὐσίας καὶ ἀερώδους. τί γὰρ ὅτι ἡ θερμότης καταλεπτύνει καὶ καταθραύει εἰς λεπτὰ μόρια τὴν οὐσίαν τοῦ φλέγματος. ἐν γοῦν τῇ κινήσει πάντως τίκτονται πνεύματα καὶ γίνονται πομφόλυγγες ἐπὶ ἁδρομερεστέρᾳ καταθραύσει τοῦ φλέγματος· εἶτα ἡνίκα διαῤῥαγῶσιν αἱ πομφόλυγγες, γίνεται ἀφρός.

3) *Δεύτερόν ἐστι κεφάλαιον*, ἐν ᾧ περὶ κορύζης καὶ πταρμοῦ διαλέγεται. κόρυζα δέ ἐστιν ἄπεπτος καὶ παχεῖα 4) φερομένη ὕλη ἀπὸ τοῦ ἐγκεφάλου 5) πρὸς τοὺς μυκτῆρας, ἐμφράττουσα αὐτοὺς, ὥσπερ καὶ κατάῤῥους ἐστὶ, φερόμενον δι' ὑπερῴας ἐκεῖνο τὸ ὑγρόν. ὁ δὲ πταρμὸς γίνεται πνευμάτων τινῶν παχέων ἀπὸ τῆς κεφαλῆς καταφερομένων ἐπὶ τοὺς μυκτῆρας, καὶ ποιούντων ἦχον μέγαν. ὁ οὖν Ἱπποκράτης φησὶν, ὅτι ταῦτα τὰ συμπτώματα κακά εἰσιν ἐπὶ τῆς περιπνευμονίας. δηλοῦσι γὰρ ὅτι

---

1) κάκιστα om. L. 2) ῥοῶδες L. 3) περὶ κορύζης L. in mg. 4) ὕλ. φερ. M. A. 5) εἰς ῥῖνας A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 196 sur 382

πλείστη ἐστὶν ἡ κακοχυμία ἐν τῷ πνεύμονι, καὶ τοσαύτη ἐστὶν ὥστε ἠδυνήθη 1) πέμψαι ἀτμοὺς ἐπὶ τὴν κεφαλὴν καὶ παχυνθῆναι καὶ ἀντικαταῤῥεῦσαι, καὶ ποιῆσαι ταῦτα τὰ συμπτώματα. κακὰ δέ εἰσι τὰ συμπτώματα ταῦτα ἐπὶ τῆς περιπνευμονίας, καὶ ὡς σημεῖον, καθ᾽ ὃν εἰρήκαμεν τρόπον, καὶ ὡς αἴτιον, ὅτι ἐν κινήσει θεωροῦνται. ἡ δὲ τοιαύτη κίνησις σύντασίς ἐστι τῆς ἀποκριτικῆς τοῦ ἐγκεφάλου 2) δυνάμεως. εἶτα διαλανθάνει μοῖρά τις καὶ φέρεται ἐπὶ τὸν πνεύμονα, καὶ κακοηθεστέραν τὴν περι πνευμονίαν ἐργάζεται. δεῖ γὰρ εἰδέναι, ὅτι μάλιστα κακιν ἐστι σύμπτωμα ὁ κατάῤῥους, ἤπερ ἡ κόρυζα καὶ ὁ πταρμός. ὁ μὲν γὰρ κατάῤῥους, αὐτόθεν δἰ ὑπερώας φέρεται ἡ ὕλη, καὶ διαλανθάνει καὶ φέρεται ἐπὶ τὴν τραχεῖαν ἀρτηρίαν καὶ οὕτως ἐπὶ τὸν πνεύμονα, καὶ ἐπιτείνει ἐπὶ τὸ κακὸν τὴν περιπνευμονίαν. ἐπὶ δὲ τοῦ κατάῤῥου καὶ τῆς κορύζης, ἔξω φέρεται ἡ ὕλη διὰ τῶν μυκτήρων, καὶ διὰ τοῦτο ἧττόν εἰσι κακά. καὶ πῶς οὐκ ἐμνημόνευσε τοῦ κατάῤῥου ὁ Ἱπποκράτης; λέγομεν, ὅτι συμπεριέλαβε τῇ κορύζῃ καὶ τὸν κατάῤῥουν. ἰστέον δὲ ὅτι τὰ συμπτώματα ταῦτα ἢ ἐξ ἀρχῆς συνεισβάλλουσι μετὰ τῆς περιπνευμονίας ἢ τελευταῖον ἐπιγίνονται. καὶ εἰ μὲν ἐξ ἀρχῆς συνεισβάλλουτι τὰ παθήματα, δηλοῦσι πολλὴν οὖσαν τὴν κακοχυμίαν. εἰ δὲ τελευταῖον ἐπιγίνονται, δηλοῦσιν ὅτι τοσαύτη ἐστὶν ἡ κακοχυμία, ὅτι καὶ ἀτμοὺς ἔπεμψεν ἐπὶ τὴν κεφαλὴν, καὶ παχυνθὲν καὶ ἀντικαταῤῥεῦσαν ἐποίησε τὰ πάθη ταῦτα· καὶ χείριστόν ἐστιν, εἰ τελευταῖον ἐπιγένωνται. τί γὰρ ὅτι τῷ μήκει πάντως ἠσθένησαν αἱ δυνάμεις καὶ οὐκ ἐξαρκοῦσι καὶ ἐντεῦθεν ἐπιγίνεται ὁ κίνδυνος. δεῖ δὲ καὶ τοῦτο εἰδέναι ὅτι τὰ πάθη ταῦτα, λέγω δὴ ὁ κατάῤῥους καὶ ἡ κόρυζα καὶ ὁ πταρμὸς, ἐπὶ ἄλλων τινῶν νοσημάτων 3) οὐκ εἰσὶ κακὰ, ἀλλὰ καὶ ὠφέλιμα καὶ αἴτια σωτηρίας. τί γὰρ ὅτι ἑτέροις πυρεκτικοῖς νοσήμασιν ἐπιγινόμενοι ἐν τῇ παρακμῇ δηλοῦσιν ὅτι ἐῤῥώσθη ἡ δύναμις, καὶ ἐπεγερθεῖσα διὰ τῶν φυσικῶν ἐκροῶν ἀπεδίωξε τὴν ὕλην, καὶ ὅσον οὔπω λύεται τὸ νόσημα.

---

1) πέψαι M. 2) δυνάμεως om. M. A. 3) οὐκ om. L.

Ταῦτα εἰρηκὼς λέγει, ὅτι κάκιστόν ἐστι καὶ ἐν τοῖς περιπνευμονικοῖς καὶ ἐν τοῖς πλευριτικοῖς, ἐὰν ἡ ξανθὴ χολὴ παρὰ μέρος ἐμεθῇ, καὶ τὸ αἷμα δὲ ὁμοίως. τί γὰρ ὅτι φλεγμονὴ ὑπόκειται. ἐν δὲ τῇ φλεγμονῇ πάντως καὶ χολή ἐστι καὶ αἷμα. κάλλιον οὖν ἐστιν, εἰ συμμιγῆ καὶ κεκραμμένα ἀναπτύονται. δηλοῦσι γὰρ ὅτι ἐῤῥώσθη ἡ δύναμις καὶ ἴσχυσεν, ὥστε μίξαι αὐτὰ καὶ κεράσαι, ἀλλὰ καὶ τὴν ὕλην λεπτυνθεῖσαν, ὥστε καὶ τῇ λεπτομερείᾳ 1) διεισελθεῖν ἐν αὐτοῖς καὶ διακερασθῆναι.

Πάντα δὲ τὰ πτύελα πονηρά ἐστιν, ὁκόσα ἂν τὴν ὀδύνην μὴ παύῃ, κάκιστα δὲ τὰ μέλανα, ὡς διαγέγραπται καὶ τὰ ἑξῆς. —

Ἔτι περὶ τοῦ πτυέλου διαλεγόμενος ὁ Ἱπποκράτης φλεγμονὴν τοῦ ὑπεζωκότος ὑποτίθεται, καὶ ὡς ἐπὶ πλευρίτιδι γυμνάζει τὸν λόγον καί φησιν, ὅτι αὕτη ἡ πλευρῖτις ἢ κατ' ἔκρουν ἐστὶ, τουτέστι διὰ πτυέλων διαφορεῖται καὶ ἀνακαθαίρεται, καὶ οὕτως παύεται, ἢ τῷ χρόνῳ εἰς ἐμπύημα μεθίσταται. αὕτη δὲ ἡ κατ' ἔκρουν φλεγμονὴ τοῦ ὑπεζωκότος ἤγουν ἡ κατ' ἔκρουν πλευρῖτις διττή ἐστιν. ἢ γὰρ λόγῳ κρίσεως γίνεται, ἢ λόγῳ συμπτώματος. καὶ πόθεν ὀφείλομεν γνῶναι εἴτε λόγῳ κρίσεως γίνεται, εἴτε λόγῳ συμπτώματος; εἰ μὲν λόγῳ κρίσεως γίνεται, μετὰ τὸ ἀναπτυσθῆναι τὸ πτύελον, ῥᾳστώνη ἕπεται τῆς ὀδύνης· πρὸς τούτοις δὲ καὶ εὐφορία ἐπακολουθήσει. εἰ δέ γε 2) ἐπὶ τοῖς ἀναπτυομένοις μὴ ἐπιγένηται ῥᾳστώνη, ἔσο γινώσκων ὅτι λόγῳ συμπτώματος γέγονεν ὁ κατ' ἔκρουν πτύελος, ὅπερ κάκιστόν ἐστιν. ἀλλ' ἐπειδὴ τὸ κακὸν πλάτος ἔχει· ἔστι γὰρ ὑφειμένον κακὸν, ἔστι δὲ καὶ ἐπιτεταμένον, δεῖ ἡμᾶς ἐπεξελθεῖν ἕκαστα. εἰ μὲν γὰρ ὕφαιμα ὦσιν, ἐπ' ἔλαττόν εἰσι κακά. εἰ δὲ μέλανα ἢ πελιδνὰ ὦσιν, ἐπιτεταμένως εἰσὶ κακά. εἰ δὲ μηδὲν ἀναπτύεται, ἢ καὶ ἀναπτυόμενα ἐλάχιστα πάνυ καὶ ὀλίγα ἀναπτύεται, καὶ ἐπὶ τούτοις τοῖς ἀναπτυομένοις μηδόλως παύσηται τὰ τῆς ὀδύνης, εἶτα καὶ φλεβοτομίᾳ χρωμένων ἡμῶν καὶ καθάρσει, ἢ καὶ πυ-

---

1) διεισελθῆναι M. A. ἀνακερασθ. M. A. 2) ἐν L.

ρίαις, μὴ ὑποχαλάσῃ τὰ τῆς ὀδύνης, ἔσο γινώσκων, ὅτι εἰς ἐμπύημα μεθίσταται ἡ τοιαύτη πλευρῖτις.

Ἐπειδὴ δὲ περὶ ἐμπυήματος ἡμῖν ὁ λόγος, εἰς τρία 1) περικλείσωμεν τὴν ὅλην πραγματείαν. καὶ ἐν μὲν τῷ πρώτῳ κεφαλαίῳ ζητήσωμεν, πόθεν ὀφείλομεν γνῶναι, πότε ἄρχεται γίνεσθαι ἡ πυοποίησις· ἐν δὲ τῷ δευτέρῳ ζητήσωμεν, ἐν ποίῳ καιρῷ ἡ ῥῆξις γίνεται τῆς πυοποιήσεως· ἐν δὲ τῷ τρίτῳ ζητήσωμεν, ποία ἐστὶν ἀγαθὴ πυοποίησις καὶ ποία κακίστη.

Καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου. τὴν ἀρχὴν τῆς πυοποιήσεως γινώσκομεν, ἡνίκα ἄλογον ῥῖγος ἐπιγίνεται. ἄλογον δὲ ῥῖγος 2) ἐπιγίνεται, ἡνίκα μὴ περιοδίζει, ἀλλ' ἀτάκτως εἰσβάλλει· εἶτα ἐπὶ τῷ ῥίγει, ἐὰν καὶ πυρετὸς ἐπακολουθήσῃ καὶ μηκέτι αἰσθάνηται ὀδύνης, ἀλλὰ βάρους τινὸς συναίσθησις ἐγγίνηται αὐτῷ, ἐὰν ταῦτα οὕτως διαφανῶσιν, ἔσο γινώσκων ὅτι ἡ ἀρχὴ τῆς πυοποιήσεώς ἐστιν. εἶτα λοιπὸν δεῖ ἡμᾶς ζητῆσαι, διὰ τί γίνονται ταῦτα. καὶ τὸ μὲν ἄλογον ῥῖγος γίνεται τῷ λόγῳ τῆς πυοποιήσεως, ἀτμῶν τινων δριμέων ἢ ποιότητος φερομένης ἐπὶ τὰ παρακείμενα μόρια, καὶ δάκνοντα καὶ ἀνιῶντα 3) ταῦτα γίνονται τὰ ἄλογα ῥίγη. οὕτως γὰρ καὶ ἐπὶ τοῦ ῥίγους ἐλέγομεν, ὅτι γίνεται τὸ ῥῖγος, ἀτμῶν τινων δριμέων πεμπομένων ἐπὶ τὰ αἰσθητικὰ καὶ κινητικὰ μόρια, καὶ ἐπὶ τὴν ἐπιφάνειαν, καὶ δακνόντων αὐτὰ καὶ ἀνιώντων γίνεται ῥῖγος. ὁ δὲ πυρετὸς ἐπακολουθεῖ τῷ λόγῳ τῆς ἀνίας. ὑποστέλλεται τὸ ἔμφυτον θερμὸν ἐπὶ τὸ βάθος, καὶ τῇ ὑποστολῇ διπλασιαζόμενον τὸ ἔμφυτον θερμὸν, ὁμοτίμως ἐκθάλπει τὸ πᾶν σῶμα καὶ γίνεται ὁ 4) πυρετός. λοιπὸν δὲ ὅτι ἐξαναλίσκονται καὶ διαφοροῦνται οἱ ἀτμοὶ δριμεῖς, καὶ τοτηνικαῦτα ἐπιγίνεται ὁ πυρετός. τοῦ δὲ βάρους ἡ συναίσθησις γίνεται τρόπῳ τοιούτῳ· τὸ πρότερον καταμεμερισμένον ὑγρὸν εἰς διαφόρους χώρας τοῦ φλεγμαίνοντος μορίου, ἐν τῇ πυοποιήσει εἰς ἕνα καὶ τὸν αὐτὸν τόπον ἀθροίζεται τοῦ

---

1) περικλείσομεν M. 2) ἐστὶν M. A. 3) ταῦτα om. M. A.
4) ὑδερικός L.

φλεγμαίνοντος μορίου, καὶ τοτηνικαῦτα βάρους γίνεται συναίσθησις. οὕτως γοῦν καὶ ἐν ταῖς χειρουργίαις ἡμῶν χρωμένων, ἐν ταῖς ἀποστάσεσιν ἅμα τῇ διαιρέσει, ἀθρόα γίνεται ἡ διέξοδος καὶ ἔκκρισις τοῦ πύου, ὡς εἰς ἕνα τόπον ἀθροισθὲν τὸ πῦον· ἡνίκα δὲ θελήσωμεν 1) ὠμοχειρούργητον ποιῆσαι τὴν χειρουργίαν ἐπὶ τῶν ἀποστημάτων, οὐ γίνεται ἀθρόα ἡ ἔκκρισις, ἀλλ᾽ ὀλίγιστον ὑγρὸν καὶ λεπτὸν καὶ ὕφαιμον ἢ καὶ ἰχωρῶδες ἐκκρίνεται, διὰ τὸ τέως καταμεμερισμένον εἶναι τὸ ὑγρὸν εἰς διαφόρους χώρας τοῦ φλεγμαίνοντος μορίου. —

Δεύτερον δέ ἐστι κεφάλαιον, ἐν ᾧ δεῖ ἡμᾶς εἰπεῖν τὸν χρόνον, ἐν ᾧ αἱ ῥήξεις γίνονται τῶν πυοποιήσεων, καί φησιν, ὅτι ἐν τῇ ἑβδόμῃ αἱ ῥήξεις γίνονται ὅπερ σπανίως 2) τοῦτο ὤφθη γινόμενον ἢ ἐν τῇ εἰκοστῇ ἢ τῇ τριακοστῇ. τὰ δὲ ἐν τῇ ἑξηκοστῇ ἡμέρᾳ 3) ῥήγνυνται, τὰ δὲ καὶ ἐπέκεινα. δεῖ δὲ εἰδέναι ὅτι αἱ πυοποιήσεις καθόλου δύο εἰσὶν, ἡ μὲν ἀπὸ τοῦ πεπονθότος μορίου λαμβανομένη, ἡ δὲ ἀπὸ τῆς ὕλης, ἅτινα τῷ καιρῷ ἀφίστανται ἀπ᾽ ἀλλήλων. καὶ ἀπὸ μὲν τοῦ πεπονθότος μορίου, ἐὰν θερμότερον καὶ ὑγρότερον καὶ σαρκωδέστερόν ἐστι τὸ πεπονθὸς τῇ φλεγμονῇ μόριον, τάχιστα γίνεται ἡ πυοποίησις· εἰ δὲ ψυχρότερόν ἐστι τὸ μόριον καὶ νευρωδέστερον, χρονία. ἀπὸ δὲ τῆς ὕλης, εἰ μὲν θερμή ἐστιν ἡ ὕλη καὶ χολώδης, 4) ταχεῖα γίνεται ἡ πυοποίησις καὶ ἡ ῥῆξις· εἰ δὲ ψυχρά ἐστιν ἡ ὕλη καὶ φλεγματικωτέρα, χρονιωτέρα γίνεται ἡ πυοποίησις καὶ ἡ ῥῆξις. καὶ ἁπλῶς εἰπεῖν, ἐὰν πάντα θερμὰ συνδράμωσιν, ἥ τε 5) ὥρα καὶ ἡ χώρα καὶ τὸ κατάστημα καὶ ἡ ἡλικία, καὶ ἐὰν ἡ δύναμις ἔῤῥωται, καὶ τὸ μόριον κύριόν ἐστι, ταχίστη γίνεται ἡ πυοποίησις. εἰ δὲ τἀναντία ψυχρὰ συνέλθωσι καὶ ἡ δύναμις ἀσθενὴς καὶ ἄκυρον μόριον, βραδεῖα γίνεται ἡ πυοποίησις, καὶ ἡ ῥῆξις.

Τρίτον κεφάλαιόν ἐστιν, ἐν ᾧ δεῖ ζητῆσαι, ποῖαι ἀγαθαί εἰσι πυοποιήσεις καὶ ποῖαι κάκισται. ταῦτα δὲ

---

1) Abscessum findere nondum maturatum. 2) τούτῳ M. 3) ῥηγνύμενα L. 4) τάχιστα M. A. 5) δύναμις L.

διαγινώσκομεν ἀπὸ ἓξ τινων· πρῶτον μὲν ἀπὸ τῆς εὐπνοίας ἢ δυσπνοίας, δεύτερον ἀπὸ τῆς εὐφορίας ἢ δυσφορίας, τρίτον ἀπὸ τοῦ εὐπετῶς ἀνάγεσθαι τὸ πτύελον ἢ δυσχερῶς, τέταρτον ἀπὸ τοῦ ἄδιψον εἶναι τὸν κάμνοντα ἢ ἔκδιψον, πέμπτον ἀπὸ τοῦ ὁμαλῶς κεκρᾶσθαι τὸ σῶμα ἢ ἀνωμάλως, ἕκτον ἀπὸ τοῦ κατὰ φύσιν εἶναι τὰ διαχωρήματα· πρὸς δὲ τούτοις δεῖ 1) σκοπεῖν τὸ ἀναγόμενον, καὶ εἰ μὲν πῦόν ἐστι καθαρὸν, γίνωσκε ὅτι καλόν ἐστιν· εἰ δὲ μετὰ τοῦ πύου συμμεμιγμένον ἐστὶ χολῶδές τι ἢ ὠχρὸν, γίνωσκε ὅτι ὀλεθρία ἐστὶν ἡ πυοποίησις. εἰ δὲ σὺν τούτοις εἴη μεμιγμένα ἢ πελιδνὰ ἢ μέλανα, γίνωσκε ὅτι 2) ὀλεθριώτατός ἐστιν ἡ πυοποίησις. εἰ δὲ ὑπόπυῤῥά εἰσι καὶ ὑπόξανθα ταῦτα, μέσης εἰσὶ τάξεως, σὺν τοῖς ἓξ ἐκείνοις τοῖς ἀγαθοῖς ἐπιφαινόμενα ἀγαθά εἰσιν. εἰ δὲ σὺν τοῖς ἓξ τοῖς κακίστοις ἐπιφανῇ τὸ ὑπέρυθρον καὶ ὑπόξανθον, κακόν ἐστι. δεῖ δὲ εἰδέναι, ὅτι ἐκ τῶν ἓξ τῶν κακίστων καὶ τὸν καιρὸν τοῦ θανάτου 3) γνῶναι. εἰ μὲν τὰ ἓξ κακὰ ὁμοτίμως συνέλθωσιν, ἔσο γινώσκων, ὅτι ὑπόγυός ἐστιν ὁ θάνατος. εἰ δέ γε ὀλιγώτερα συνέλθωσι κακὰ σημεῖα, δύο τυχὸν ἢ τρία, γίνωσκε ὅτι τοσοῦτον ἀφέστηκεν ὁ θάνατος. καὶ τὸ μὲν εὐπετέως ἀνάγεσθαι τὰ πτύελα, ἀγαθόν ἐστιν, ἐπειδὴ δηλοῖ ὅτι ἐλεπτύνθη ἡ ὕλη καὶ ὑπήκοός ἐστιν, ἀλλὰ καὶ τὴν ἀποκριτικὴν δύναμιν ἐῤῥωμένην οὖσαν· ἀλλὰ καὶ ἡ εὐφορία ἀγαθόν ἐστι. δηλοῖ γὰρ καλῶς διάκεισθαι τὴν ζωτικὴν δύναμιν, ἀλλὰ καὶ τὰς ψυχικὰς διαθέσεις καλῶς διαγούσας, καθ' ἣν κινεῖται ὁ θώραξ. ἀλλὰ καὶ ἡ ἀνωδυνία 4) τυχὸν ἀγαθόν ἐστι. δηλοῖ γὰρ ὅτι οὐκ ἔστι μεγάλη ἡ φλεγμονὴ, οὐδὲ πολλὴ ἡ κακοχυμία. ἀλλὰ καὶ τὸ ὁμαλῶς κεκρᾶσθαι τὸ ὅλον σῶμα, ἀγαθόν ἐστι· δηλοῖ γὰρ ἐῤῥωμένον ὂν τὸ ἔμφυτον θερμὸν, καθὸ ἀκτινοειδῶς πᾶσι τοῖς μορίοις ὁμοτίμως ἐλλάμπει. κακὸν δέ ἐστι τὸ ἀνωμάλως κεκρᾶσθαι, τυχὸν τὰ ἄκρα κατεψυγμένα ἔχειν, τὸ δὲ βάθος διακαίεσθαι. δηλοῖ γὰρ, ὅτι ἐλάχιστόν ἐστι τὸ ἔμφυτον θερμὸν, καὶ μεγίστην τὴν φλεγμονὴν οὖσαν

---

1) ἐπισκοπεῖν M. A. 2) Sic! Codd. 3) Fort. ἔστι addendum. 4) τυχὸν om. M. A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 201 sur 382

ἐν τῷ βάθει, καθ' ἣν τὸ ἔμφυτον θερμὸν συνάξαν ἑαυτῷ ἐπὶ τὸ βάθος συνένευσε. καὶ διὰ τοῦτο τὰ ἄκρα ψυχρά εἰσι, διὰ τὸ μὴ ἐλλάμπεσθαι αὐτὰ ὑπὸ τοῦ ἐμφύτου θερμοῦ. ἀγαθόν ἐστι καὶ τὸ μὴ διψᾷν τὸν ἄνθρωπον, ἐπειδὴ δηλοῖ ὅτι οὐκ ἔστι 1) ζέσις τοιαύτη οὐδὲ κακοχυμία, ὥστε ποιῆσαι δίψαν. καὶ ἀποροῦσιν ὅτι καὶ πῶς ἐνδέχεται, πλευρίτιδος ὑποκειμένης καὶ φλεγμονῆς ἀξιολόγου καὶ πυρετοῦ ὀξέος. ὅπου γὰρ πλευρῖτις, καὶ πυρετὸς ὀξὺς σύνεστιν. ὅπου δὲ πυρετὸς ὀξὺς, πάντως καὶ δίψος ἐπιγίνεται. καὶ πῶς λέγει ὅτι δίψος μὴ ἔχειν; καὶ λέγομεν, ὅτι δεῖ προσθεῖναι τὸ κάρτα, ἵνα τυχὸν οὕτως ἔχῃ, καὶ δίψαν μὴ ἔχειν κάρτα. δηλοῖ γὰρ ὅτι οὐ πάνυ παρενοχλεῖ ἡ ζέσις καὶ ἡ κακοχυμία, ἐπείτοι γε ἐπ' ἔλαττον 2) πάνυ διψῶσιν. ἀγαθὸν δέ ἐστι καὶ τὸ τὰ οὖρα καὶ τὰ διαχωρήματα κατὰ φύσιν ἐκκρίνεσθαι. δηλοῖ γὰρ ῥώμην καὶ ἰσχὺν τῆς πεπτικῆς δυνάμεως.

*Πνεῦμα μέγα καὶ πυκνὸν εἶναι, τὴν ὀδύνην μὴ πεπαῦσθαι καὶ τὰ ἑξῆς.* —

Ἐνταῦθα τὰ κακὰ καὶ ὀλέθρια ἀπαριθμεῖται ὁ Ἱπποκράτης καί φησιν ὅτι πάντα τὰ ἐναντία κακά ἐστιν. ἀλλὰ καὶ πνεῦμα μέγα τὴν ἀναπνοὴν ἐκάλεσεν ὁ Ἱπποκράτης. κακὸν οὖν ἐστιν ἐπὶ τῶν πλευριτικῶν μεγάλην τὴν ἀναπνοὴν εἶναι, ἐπειδὴ ἐνδείκνυται πολλὴν τὴν ζέσιν καὶ τὴν κακοχυμίαν καὶ δυσκρασίαν. καὶ ἀποροῦσιν, ὅτι πῶς ἐνδέχεται ἐπὶ τῆς πλευρίτιδος μεγάλην γίνεσθαι τὴν ἀναπνοὴν, εἴ γε φλεγμονή ἐστι τοῦ ὑπεζωκότος ὑμένος, καὶ ὀδύνη σύνεστιν, ὥστε μὴ δύνασθαι μέγα διασταλῆναι τὸν θώρακα. καὶ λέγομεν ὅτι περὶ τῆς φλεγμονῆς διαλεγόμενος, καὶ περὶ ἐμπυήματος αὐτῷ ὁ λόγος γέγονε. περὶ τὸν καιρὸν οὖν τῆς ῥήξεως 3) ἐλθὸν ἐνδέχεται ῥαγῆναι τὸ ἐμπύημα καὶ εἰς τὰ κενὰ τοῦ θώρακος ἐκχυθῆναι, καὶ τοτηνικαῦτα, μηδενὸς παρεμποδίζοντος, μεγάλην γενέσθαι τὴν ἀναπνοήν. ἰστέον δὲ ὅτι ἐγὼ οὐ δέχομαι τὸ πῦον μετὰ τοῦ ξανθοῦ καὶ ἐρυθροῦ ἀνάγεσθαι μέσης

---

1) ζέσ. τ. οὐδὲ om. L. Post δίψαν add. L. οὐδὲ ζέσις. 2) πάντως M. A. 3) ἐλθὼν L.

εἶναι τάξεως, καὶ μετὰ τῶν ἓξ ἐκείνων ἀγαθῶν ειναι· ἐὰν οὕτως ἐκκριθῇ τὸ πῦον, συμμεμιγμένον ἔχον ξανθὸν ἢ ἐρυθρὸν, εἶναι αὐτὸ κατὰ φύσιν. ἐγὼ δὲ οὐ δέχομαι τοῦτο κατὰ φύσιν εἶναι. ἡ γὰρ δύναμις ἡ πάντα ἐκεῖνα δυνηθεῖσα ἀγαθὰ ἀποτελέσαι, ἠδύνατο καὶ τὸ πῦον συμπέψαι, καὶ ὁλοκάθαρον ποιῆσαι, καὶ μὴ ἔχειν συμμιγὲς χολῶδες ἢ ἐρυθρόν. τοῦτο οὖν οὐκ ἔστι κατὰ φύσιν, ἀλλὰ παρὰ φύσιν καὶ ὀλέθριον τὸ συμμεμιγμένον μετὰ τοῦ πύου εἶναι ξανθὸν ἢ ἐρυθρὸν καὶ οὕτως ἀνάγεσθαι. ἐνδέχεται δὲ καὶ τοῦτο λέγειν τὸν Ἱπποκράτην, ὅτι μετὰ τὸ ἀνάγειν ξανθὸν ἢ ἐρυθρὸν πρότερον, ἐπανάγει τὸ πῦον μετέπειτα. δηλοῖ γὰρ ἐῤῥῶσθαι τὴν ἀλλοιωτικὴν δύναμιν, καί ἐστιν ἀγαθὸν σημεῖον τοῦτο.

*Αἱ δὲ ἄλλαι ἐκπυήσεις αἱ πλεῖσται ῥήγνυνται αἱ μὲν εἰκοσταῖαι, αἱ δὲ τριακοσταῖαι, αἱ δὲ τεσσαρακοσταῖαι, αἱ δὲ πρὸς τὰς ἑξήκοντα ἡμέρας ἀφικνέονται.* —

Δεῖ εἰδέναι, ὅτι πᾶσαι αἱ κενώσεις αἱ ἐν ταῖς κρισίμοις ἡμέραις γινόμεναι, ἀγαθαί εἰσι καὶ σωτήριαι. ἄλλας δὲ ἐκπυήσεις καλεῖ τὰς ἐν τοῖς τυχοῦσι μορίοις γινομένας ἀποστάσεις, καὶ ταύτας λέγει ῥήγνυσθαι· καὶ λέγομεν ὅτι ἄλλας ἐκπυήσεις λέγει οὐκ ἐν τοῖς τυχοῦσι μορίοις γινομένας ἀποστάσεις, ἀλλὰ περὶ τῆς πλευρίτιδος καὶ τῆς περιπνευμονίας αὐτῷ ὁ λόγος, οὐ κατὰ τόπον οὖν διαφερόντως ἐχούσας ἀποστάσεις, ἀλλὰ κατὰ τὴν ὕλην διαφερούσας, λέγω δὴ 1) τὰς ἐπὶ ψυχροτέρᾳ ὕλῃ καὶ παχυτέρᾳ γινομένας, ἐν αἷς ἐπάγει καὶ τὰς κρισίμους ἡμέρας καί φησιν, ὅτι αἱ μὲν ἐν τῇ εἰκοστῇ ἡμέρᾳ ῥήγνυνται, αἱ δὲ ἐν τῇ τριακοστῇ, αἱ δὲ ἐν τῇ τεσσαρακοστῇ, 2) αἱ δὲ ἐν τῇ ἑξηκοστῇ, αἱ δὲ καὶ ἐπέκεινα.

*Λογιζόμενον ἀπὸ τῆς ἡμέρης, ἧς τὸ πρῶτον ἐπύρεξεν ὁ ἄνθρωπος, καὶ τὰ ἑξῆς.* —

Τί βούλεται καλεῖν ἀπὸ τῆς πρώτης ἡμέρας; ἆρα ἀφ' ἧς ἡμέρας ἐπύρεξεν ὁ ἄνθρωπος; καὶ λέγομεν ὅτι ἐκείνη ἡ ἀρχὴ τοῦ ὅλου νοσήματός ἐστιν. ἐνταῦθα δὲ λέ-

1) τὴν — γινομένην M. A. 2) αἰ — ἑξηκ. om. L.

γομεν ὅτι πρῶτον ἐπύρεξεν ὁ ἄνθρωπος, τουτέστιν ἀφ᾽ ἧς ἡμέρας τὰ ἄλογα ῥίγη γεγόνασι καὶ οἱ πυρετοὶ οἱ ἄλογοι, ἔσο γινώσκων, ὅτι ἀπ᾽ ἐκείνης τῆς ἡμέρας ἡ ἀρχὴ τῆς πυοποιήσεως γέγονεν, ἤγουν τοῦ ἐμπυήματος.

**Εἰ δὲ εἴη τὸ ἐμπύημα ἐπὶ θάτερα μόνον, στρέφειν τε καὶ καταμανθάνειν χρή. —**

Δεῖ εἰδέναι, ὅτι δύο ὑμένες διαφράττουσι τὸν θώρακα ἀρχόμενοι ἀπὸ τοῦ στέρνου καὶ ἀφικνοῦνται μέχρι τῆς ῥάχεως, ὡς γίνεσθαι δύο κοιλίας ἐν τῷ θώρακι, καὶ διείργεσθαι ἀπ᾽ ἀλλήλων, ὥστε μὴ ἐπικοινωνεῖν ἑκάτερον θατέρου, ἀλλ᾽ ἀποκεχωρηκότας ἀπ᾽ ἀλλήλων, ὡς μὴ δύνασθαι μεθίεσθαί τι ἀπὸ τῆς δεξιᾶς κοιλίας ἐπὶ τὴν ἀριστερὰν, μήτε ἀπὸ τῆς ἀριστερᾶς ἐπὶ τὴν δεξιάν. ὅθεν τῆς μιᾶς πασχούσης κοιλίας τοῦ θώρακος, ἡ λεγομένη ἡμιφωνία γίνεται, τῶν δὲ δύο πασχουσῶν, ἡ ἀφωνία. μέσον δὲ ἐντέτακται ὁ πνεύμων. λέγει οὖν ἡμῖν ὁ Ἱπποκράτης σημεῖα πόθεν ὀφείλομεν γνῶναι, ποία ἐστὶν ἡ κοιλία, ἐν ᾗ τὸ ἀπόστημα ἐῤῥάγη. καί φησιν, ὅτι τοσοῦτον μέσος τέτακται ὁ πνεύμων, ὅτι ἐπὶ τῆς περιπνευμονίας εἰς ἀμφοτέρας τὰς κοιλίας ἐκχεῖται τοῦ θώρακος τὸ πῦον. ὅθεν οὐδὲ συμβάλλονται ἡμῖν τὰ νῦν σημεῖα πρὸς διάγνωσιν 1) ἐπὶ τῆς περιπνευμονίας, ἀλλὰ συμβάλλονται ἡμῖν, εἴτε ἐν τῇ δεξιᾷ πλευρᾷ συσταίη τὸ ἀπόστημα καὶ ἐκχυθῇ τὸ πῦον, εἴτε ἐπὶ τῆς ἀριστερᾶς πλευρᾶς. καί φησιν, ὅτι ἐκ δύο τινῶν 2) διαγινώσκομεν εἴτε εἰς τὴν δεξιὰν κοιλίαν ἐστὶ τὸ πῦον, εἴτε εἰς τὴν ἀριστερὰν, ἔκ τε τῆς παρὰ φύσιν ἡμῖν θερμότητος, καὶ ἐκ τῆς τοῦ βάρους ἐφολκῆς 3) ἐπὶ τῆς κατακλίσεως. καὶ ἀπὸ μὲν τῆς θερμότητος οὕτως· ἐκεῖνο τὸ μέρος τῆς πλευρᾶς, ἔνθα τὸ 4) πῦόν ἐστι, δυσκρατότερόν ἐστι καὶ θερμότερον ὑποπίπτει σοι τοῦ ἑτέρου πλευροῦ. ἀπὸ δὲ τῆς 5) αἰσθήσεως καὶ ἐφολκῆς τοῦ βάρους οὕτως· ὅτι εἰ μὲν ἐν τῇ δεξιᾷ κοιλίᾳ ἐστὶ τὸ πῦον, ἀνάκλινον τὸν κάμνοντα ἐπὶ τὴν ἀριστερὰν πλευρὰν, καὶ ἐὰν αἴσθηται ὁ

---

1) ἐκ L. 2) διαγινώσκεις M. A. 3) καὶ add. L. 4) μέρος L. 5) συναισθήσεως M.

κάμνων βάρους καὶ ὀδύνης ἐν τῷ ὑπερκειμένῳ, γίνωσκε ὅτι ἐν τῇ δεξιᾷ κοιλίᾳ ἐστὶ τὸ πῦον. εἰ δὲ τοὐναντίον 1) ἀνακλίνῃς ἐπὶ τὸ δεξιὸν πλευρὸν καὶ αἴσθηται βάρους καὶ ὀδύνης ἐν τῷ ὑπερκειμένῳ μέρει, γίνωσκε ὅτι ἐν τῇ ἀριστερᾷ κοιλίᾳ ἐστὶ τὸ πῦον. –

Τοὺς δὲ σύμπαντας ἐμπύους γινώσκειν χρὴ τοῖσδε τοῖς σημείοισιν καὶ τὰ ἑξῆς. —

Ἐπειδὴ προσεχῶς περὶ ἐμπυημάτων διελέγετο, πάλιν ἐπαναλαμβάνει περὶ τῶν ἐμπυημάτων, καὶ παραδίδωσιν ἡμῖν σημεῖα δηλωτικὰ, πόθεν ὀφείλομεν γνῶναι τους ἐμπύους. καὶ τοῦτο ποιεῖ διὰ δέκα σημείων.

Ἐμπύημα δὲ λέγεται, ἡνίκα ἐν οἱῳδήποτε μορίῳ τοῦ σώματος ἀπὸ φλεγμονῆς ἢ ἀποστήματος ῥαγέντος ἀθροισθῇ ἀθρόον πῦον κἂν 2) ἐν γαστροκνήμῃ κἂν ἐν μηρῷ κἂν ἐν μασχάλῃ κἂν ἐν βραχίονι καὶ τοῖς ἑτέροις τοιούτοις. οἱ δὲ ἔμπυοι, εἰ μὲν ἀντενεχθῇ τὸ πῦον καὶ ἀνακαθαρθῶσι, περισώζονται· εἰ δὲ μὴ, εἰς φθίσιν μεθίστανται καὶ ἀπόλλυνται.

Σημειοῦται οὖν τοὺς ἐμπύους διὰ δέκα τινῶν δηλωτικῶν σημείων, ὧν πρῶτον σημεῖόν ἐστι τοῦτο. οἱ τοιοῦτοι ἀείσε πυρέττουσι λεπτὸν καὶ βραχὺν πυρετὸν οἷον ἑκτικόν. ἐν δὲ ταῖς νυξὶν αὔξεται καὶ ἐπιτείνεται αὐτοῖς ἡ τοῦ πυρετοῦ θερμασία, οὐ διὰ τὴν φύσιν τῆς νυκτὸς, ἀλλὰ κατὰ συμβεβηκός. διὰ γὰρ τὴν ἔκτηξιν κατεξηραμμένα αὐτοῖς ἐστι τὰ μόρια πάντα, καὶ οἷον ἀποτεφρωμένα. ἡνίκα οὖν πίωσιν, ἐξ αὐτοῦ τοῦ πόματος τοῦ ὑγροῦ 3) ἐπιτέγγονταί τινα μόρια, οὐδὲ γὰρ πάντα, καὶ ἄρχονται ἀτμίζειν, καὶ διαλάμπεται αὐτοῖς ἡ θερμότης, ἐπεὶ τὸ τέως ἐν τῇ γαστρί ἐστι τὸ πόμα, εἶτα μετὰ τὸ τραφῆναι αὐτοὺς ἡνίκα ἀνενεχθῇ ἡ ὅλη τροφὴ ἐν τῷ ἥπατι καὶ πεφθῇ καὶ ἐξαιματωθῇ καὶ πάλιν ἐν ταῖς φλεψὶν ἀνενεχθῇ καὶ 4) διανεμηθῇ ἐπὶ τὸ πᾶν σῶμα καὶ πάντα ὁμοτίμως 5) μετασχῶσι τῆς τροφῆς καὶ προστεθῇ αὐτοῖς,

---

1) ἀνακλίνεις L. 2) γὰρ add. L. 3) ἤγουν βρέχονται A. in mg. 4) διανεμέθῇ L. 5) μετασχ. — ὁμοτίμως om. L.

ὡς ἂν ἐπιτεγγόμενα ὁμοτίμως ἀτμίζουσι δριμεῖς τινας 1) ἀτμοὺς τῷ λόγῳ τῆς ξηρότητος, καὶ οὕτως διαφαίνεται αὐτῶν ἡ θερμασία. τοῦτο δὲ τὸ ἔργον ἐν ταῖς νυξὶ μάλιστα ἐπιτελεῖται, ἐπειδὴ ἐν ταῖς νυξὶν αἱ φυσικαὶ δυνάμεις δραστικῶς ἐνεργοῦσι καὶ αἱ πέψεις κατὰ λόγον γίνονται, ἡ χυλοποίησις, ἡ ἐξαιμάτωσις, ἡ ἀνάδοσις, ἡ πρόσθεσις, ἡ πρόσφυσις καὶ ἡ ἐξομοίωσις, ὥσπερ καὶ ἐπὶ τῆς 2) τιτάνου, ξηρᾶς αὐτῆς οὔσης, ἐγκατακεκρυμμένην ἔχει τὴν ἐν αὐτῇ θερμότητα· ὅθεν καὶ ἁπτομένης αὐτῆς, ξηρᾶς οὔσης, οὐδὲν βλαπτόμεθα· ἡνίκα μέντοι προστεθῇ 3) αὐτῇ ἐπιτηδεία ὕλη, λέγω δὴ ὕδωρ, τότε δημοσιεύεται αὐτῆς ἡ θερμότης, ὡς μηδὲ δύνασθαι αὐτῆς ἄνευ βλάβης ἅψασθαί τις.

Δεύτερον σημεῖον, οἱ τοιοῦτοι συνεχῶς ἱδροῦσι καὶ σχεδὸν ἀεὶ σε νενοτισμένον εὑρίσκεται αὐτῶν τὸ σῶμα. τοῦτο δὲ γίνεται, ἀσθενούσης τῆς καθεκτικῆς δυνάμεως, καὶ μὴ ἰσχυούσης κατασχεῖν τὴν τροφὴν, ὥστε καὶ ἀλλοιωθῆναι καὶ πεφθῆναι, ἀλλ' ἐξ αὐτῆς τῆς ἀπεπτουμένης τροφῆς διαδιδράσκει τι μέρος καὶ φέρεται ἐπὶ τὴν ἐπιφάνειαν καὶ ποιεῖ τοὺς ἱδρῶτας.

Τρίτον σημεῖόν ἐστιν ὅτι πρόθυμοί εἰσι τοῦ βήττειν. τοῦτο δὲ ποιοῦσιν ἵνα ἀπαλλαγῶσι τῆς ἐνοχλήσεως τῆς ἐκ τῆς κακοχυμίας καὶ τοῦ βάρους. 4) οἱ δὲ οὐδὲν 5) εὐεργετοῦσι, κἂν βήττωσιν· 6) οὐδὲν γὰρ ἀναφέρεται ἀξιόλογον. εἰ γὰρ ἀνήγετο, εἶχον ἂν ἀποκαθαίρεσθαι καὶ περισώζεσθαι. τοῦτο δὲ γίνεται διὰ τρεῖς αἰτίας· ἢ γὰρ διὰ τὸ εἶναι τὴν ὕλην παχεῖαν καὶ γλίσχραν ὑπὸ τῆς θερμότητος οὕτως κατασκευασθεῖσαν, ἢ διὰ τὸ στεγανὸν καὶ πυκνὸν τοῦ περιέχοντος ὑμένος τὸν πνεύμονα, μὴ 7) διεισερχόμενον, ὥστε φέρεσθαι τὸ πῦον ἐπὶ τὰ βρογχία τοῦ πνεύμονος,* καὶ οὕτως ἐκκρίνεσθαι, ἢ διὰ τὴν ἀσθένειαν τῆς ἀποκριτικῆς δυνάμεως, μὴ ἰσχυούσης ῥοίζῳ τὴν ἐκπομπὴν τοῦ πνεύματος ποιῆσαι, ὥστε ἀπω-

1) αὐτοὺς L. 2) τετάνου L. τάνου M. A. 3) αὐτὸ L. 4) οἱ δὲ om. L. 5) nihil levantur. 6) οὐδὲ — ἀξιόλογόν τι L. 7) διεισερχομένου M.

θῆσαί τι μέρος τῆς ὕλης. διὰ ταύτας τὰς τρεῖς αἰτίας οὐκ ἀνάγεται ἐπὶ τῶν ἐμπυημάτων τι ἀξιόλογον. ὀλίγιστον δὲ πάνυ ἀναπτύουσι, μηδὲν εὐεργετούμενοι.

Τέταρτον σημεῖόν ἐστι, κοιλαίνονται οἱ ὀφθαλμοὶ, καθάπερ καὶ πάντα τὰ μόρια ἰσχναίνονται ἐπὶ τῶν ὁπωσοῦν χρονίων νοσημάτων τά τε ὑγρὰ καὶ στερεά. τῷ γὰρ μήκει τοῦ χρόνου ἐκτήκονται καὶ δαπανῶνται καὶ ἰσχναίνονται, οὐ μόνον τὰ ὑγρὰ καὶ στερεὰ καταξηραινόμενα δαπανῶνται, καὶ σηπεδόνα ὑπομένουσιν, ἀλλὰ πολλῷ μᾶλλον πρότερον τὰ πνεύματα ἐκδαπανῶνται, καὶ διαφοροῦνται διὰ τὸ λεπτομερὲς καὶ κοῦφον. ἐπειδὴ οὖν οἱ ὀφθαλμοὶ ἔξογκοι γίνονται ὑπὸ πνευμάτων μάλιστα, ἐπὶ δὲ τῇ ἐκτήξει διαφοροῦνται τὰ πνεύματα, εἰκότως κοιλαίνονται αὐτῶν οἱ ὀφθαλμοί.

Πέμπτον σημεῖον τοῦτο, ὅτι ἐρυθραίνονται αὐτῶν τὰ μῆλα τοῦ προσώπου διχῶς· ἢ γὰρ τῇ βήξει, ἢ τῇ κακοχυμίᾳ. τῇ μὲν βήξει, ἐπειδὴ σύντονος κίνησίς ἐστιν ἡ βήξ. τῇ οὖν κινήσει θάλπεται τὸ πρόσωπον καὶ τὰ περὶ τὴν κεφαλὴν, καὶ τῇ θάλψει φέρονται αἱματικοὶ χυμοὶ περὶ τὰ μῆλα τοῦ προσώπου, ἐπειδὴ σαρκωδέστερά εἰσιν αὐτὰ 1) παρὰ πάντα τὰ μόρια τοῦ προσώπου καὶ ἐρυθραίνονται. ἢ ἐκ τῆς κακοχυμίας ἀτμοὶ δριμεῖς ἀναπέμπονται περὶ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον. καὶ ἐπειδὴ σαρκώδη εἰσὶ τὰ μῆλα, ἐκεῖσε διαφαίνεται τὸ ἐρύθημα. ἐν τοῖς ἄλλοις δὲ μορίοις οὐ διαφαίνεται, ἐπειδὴ ὀστώδη εἰσὶ φύσει.

Ἕκτον σημεῖόν ἐστιν, ὅτι 2) γρυποῦνται αὐτῶν οἱ ὄνυχες διὰ τὴν δαπάνην καὶ ἔκτηξιν τῶν ὑποκειμένων σαρκῶν τοῖς ὄνυξι. τούτων 3) γὰρ δαπανωμένων καθὸ μὲν ἐπίκεινται τῷ ὀστῷ τῆς σκυταλίδος, κυρτοῦνται οἱ ὄνυχες, 4) καθὸ δὲ τὰ παρ' ἑκάτερα μέρη τῶν ὑποκειμένων σαρκῶν δαπανηθέντων, ἐπὶ τὰ ἐντὸς κοιλαίνονται, καὶ διεισέρχονται καὶ γρυποῦνται οἱ ὄνυχες. τὸ γὰρ τοιοῦτον σχῆμα τῶν ὀνύχων 5) γρύπωσις ὀνομάζεται.

---

1) περὶ M. 2) τρυποῦνται L. 3) οὖν M. A. 4) καὶ καθὸ τα M. A. 5) γρύπῳ M. A.

Ἕβδομόν ἐστι σημεῖον, τὸ ἐπὶ αὐτῶν θερμοὺς εἶναι τοὺς δακτύλους τῆς χειρὸς, ὑπεναντίως τοῖς χρονίοις νοσήμασιν. ἐπὶ γὰρ τῶν χρονίων νοσημάτων, τῷ χρόνῳ ἀσθενοῦν τὸ ἔμφυτον θερμὸν, ψύχονται οἱ δάκτυλοι, ἐπειδὴ τῇ ἀσθενείᾳ οὐκ ἐπεκτείνεται, οὐδὲ ἐλλάμπει τὸ ἔμφυτον θερμὸν, καὶ διὰ τοῦτο ψυχρὰ εὑρίσκονται τὰ ἄκρα. ἐν μέντοι τοῖς ἐμπύοις θερμοὶ εὑρίσκονται οἱ δάκτυλοι, οὐ δι' ὅλου, ἀλλ' αἱ ἄκραι 1) τῶν δακτύλων, ἐπειδὴ ἐκεῖνα τὰ μέρη τῶν δακτύλων σαρκωδέστερά εἰσι. τὸ οὖν θερμὸν, ὡς ἐν σαρκωδεστέροις τόποις ὑπαρχόντων αὐτῶν, διὰ τὴν ἰκμάδα ἐκεῖσε συνελαύνεται τὸ θερμόν. ἡ γὰρ ἰκμὰς τροφή ἐστι τῆς 2) θερμότητος, καὶ διὰ τοῦτο θερμὰ εὑρίσκονται τὰ ἄκρα τῶν δακτύλων. ἢ τοῦτο ὅτι εὐκίνητοί εἰσιν οἱ δάκτυλοι, καὶ ὡς εὐκίνητοι τῇ κινήσει θάλπονται, ἢ ὅτι τὰ πέρατα τῶν φλεβῶν καὶ ἀρτηριῶν ἐκεῖσε ἀποπερατοῦνται. τὰ οὖν πνεύματα τῇ κινήσει ἐκεῖσε συναπελαύνονται καὶ διὰ τοῦτο θερμοὶ εὑρίσκονται οἱ δάκτυλοι.

Ὄγδοόν ἐστι σημεῖον, ὅτι οἱ πόδες 3) οἰδαίνουσι, χρονιζόντων αὐτῶν, ἐπειδὴ πόῤῥω ἀφίστανται οἱ πόδες καὶ ἀμοιροῦσι θερμοῦ. τούτου οὖν ἀμοιροῦντες, τὸ λόγῳ τροφῆς ἐκεῖσε φερόμενον οὐ πέττεται, καὶ ἀπεπτούμενον εἰς ὑγρότητά τινα καὶ εἰς πνεύματα ἀναλύεται, καὶ ἀθροιζόμενον ἐν τοῖς ποσὶν, οἰδαίνονται.

Ἔνατον σημεῖόν ἐστιν, ὅτι οἱ τοιοῦτοι ἀνόρεκτοί εἰσι. διὰ γὰρ τὴν ἀσθένειαν τῆς ὀρεκτικῆς δυνάμεως οὐκ ὀρέγονται, τῷ λόγῳ τῆς κακοχυμίας 4) βλαπτόμενοι.

Δέκατόν ἐστι σημεῖον ὅτι φλύκταιναι αὐτοῖς γίνονται δι' ὅλου τοῦ σώματος. γίνονται δὲ ἐκ τῆς κακοχυμίας, 5) αὐτοῖς ἐκριπτομένων ἀτμῶν τινων δριμέων. καὶ τὰ μὲν ἐν βάθει μόρια διεξέρχονται· ἐπειδὴ δὲ στεγανὸν καὶ πυκνόν ἐστι τὸ δέρμα, στέγονται ἐκεῖσε καὶ γίνονται αἱ φλύκταιναι· ἢ τοῦτο, ὅτι ἡ συνεκτικὴ ὑγρότης ἐκπί-

---

1) τοῦ δακτύλου M. 2) ὑγρότητος L. 3) αὐτ. χρονιζ. οἰδαίν. M. A. 4) βλαπτομένη M. A. 5) αὐτῆς L.

πτει, καὶ ἐκπίπτουσα τὸ δέρμα οὐ διεξέρχεται, ἀλλὰ στέγεται καὶ ὑμενοῦται τὸ δέρμα, καὶ γίνονται αἱ φλύκταιναι.

Δυνατὸν δέ ἐστι πρὸς τούτοις καὶ ἄλλα σημεῖα ἐφευρεῖν, ἅτινά ἐστι ταῦτα, τριχοῤῥοοῦσι, γαστρόῤῥοια αὐτοῖς γίνεται, καὶ δυσώδη εἰσὶ τὰ ἀναπτυόμενα.

Καὶ τριχοῤῥοοῦσι μὲν ἢ ὅτι ἐκ τῆς κακοχυμίας ἀτμοὶ δριμεῖς ἀναπέμπονται 1) περὶ τὴν κεφαλὴν, καὶ ἐκριζοῦσι τὰς τρίχας, ἢ ὅτι τῇ ἀτροφίᾳ καὶ τῇ 2) ἰσχνάνσει ξηραίνεται αὐτῶν τὸ δέρμα τῆς κεφαλῆς, καὶ ἐπὶ τῇ ξηρότητι στεγανὸν γίνεται καὶ οὐ διεξέρχεται λιγνὺς διὰ τοῦ δέρματος, καὶ τοτηνικαῦτα τριχοῤῥοοῦσι.

Γαστρόῤῥοια δὲ αὐτοῖς γίνεται, ἀσθενουσῶν τῶν φυσικῶν δυνάμεων, ἐκ τῆς κακοχυμίας μετασχοῦσαι, καὶ τὰ οἰκεῖα ἔργα οὐ δύνανται ποιῆσαι.

Δυσώδη δέ εἰσι τὰ ἀναπτυόμενα διὰ τὴν τοῦ πύου γένεσιν. τὸ γὰρ πῦον ἐνδείκνυται ὅτι μεγάλην ἔχει σηπεδόνα. ἐκ τούτων οὖν τῶν τριῶν διαγινώσκομεν τοὺς ἐμπυϊκούς.

Εἴρηται δὲ ἡμῖν μικρὸν ἔμπροσθεν πόθεν ὀφείλομεν διαγινώσκειν, πότε ἄρχεται γίνεσθαι ἡ πυοποίησις ἤγουν πότε 3) ἄρχεται εἰς πυοποίησιν τρέπεσθαι τὸ ἀπόστημα. ὅπερ διαγινώσκομεν ἐκ τοῦ ἀλόγου ῥίγους καὶ τοῦ ἑπομένου πυρετοῦ, καὶ ἐκ τοῦ βάρους 4) τῆς συναισθήσεως καὶ τῆς δυσπνοίας. καὶ ταῦτα μὲν ἀναμνήσεως χάριν προείρηται, ἐφ᾽ οἷς παραδίδωσιν ἡμῖν σημεῖα ῥήξεως γινομένης, πόθεν ὀφείλομεν γνῶναι, εἰ ταχέως ἡ ῥῆξις γίνεται τοῦ ἀποστήματος ἢ βραδέως.

Καί φησιν ἐκ τεσσάρων τινῶν σημείων τοῦτο γινώσκομεν, ἀπό τε τῆς ὀδύνης, καὶ τῆς βηχὸς, καὶ τοῦ σιελισμοῦ, καὶ τῆς δυσπνοίας. εἰ μὲν γὰρ ταῦτα πάντα συνεχῶς ἐπιγίνονται καὶ σφοδρῶς καὶ συντεταμένως, γί-

1) ἐπὶ M. 2) ἰσχνότητι M. A. 3) ἄρχεσθαι L. 4) καὶ add. L. συνθέσεως M. A.

νωσκε ὅτι ταχέως ἡ ῥῆξις τοῦ ἀποστήματος γίνεται. εἰ δέ γε μήτε συνεχῶς γίνονται ταῦτα μήτε συντεταμένως, γίνωσκε ὅτι βραδέως 1) γενήσεται ἡ ῥῆξις.

Καὶ τίς ἡ αἰτία τούτων; εἰ μὲν ἐπιτεταμένη γίνεται ἡ ὀδύνη, τῇ ἀνίᾳ καὶ τῇ δήξει τῇ ἀπὸ τοῦ πύου, ἰχώρων τινῶν 2) δριμέων καὶ ἀνιαρῶν δακόντων τὸν περιέχοντα ὑμένα τὸ πῦον, καὶ κινδυνεύοντα 3) διαῤῥαγῆναι κατὰ τὴν αὐτοῦ συνέχειαν. αἰσθητικώτατος δέ ἐστι πάνυ, καὶ διὰ τοῦτο συντεταμένη ἡ ὀδύνη γίνεται, ὑγρότητός τινος ἐκ τοῦ πύου διηθουμένης καὶ φερομένης ἐπὶ λάρυγγα καὶ τραχεῖαν ἀρτηρίαν καὶ φάρυγγα καὶ ἐπιγλωττίδα καὶ γλῶσσαν. καὶ γίνεται ὁ σιελισμὸς, ἀείσε ἀναπτύοντες τὸ ὑγρὸν ἐκεῖνο. ἡ δὲ βὴξ γίνεται, τοῦ πνεύματος 4) συνεξερχομένου, καὶ ἐπιπίπτοντος τοῦ ὑγροῦ, ὡς ἐν ἀσυνηθεστέροις τόποις εὑρισκόμενον, καὶ τῇ προσκρούσει γίνεται ἡ βήξ· οὐδὲν γάρ ἐστιν ἡ βὴξ ἢ μάχη ὑγροῦ καὶ πνεύματος. ἡ δὲ δύσπνοια γίνεται, ἢ ὅτι ὀδύνης ἐπιτεταμένης οὔσης, οὐ δύναται μέγα διασταλῆναι ὁ θώραξ, ἢ ὅτι ὑπόκειται φλεγμονὴ ἐν τῷ θώρακι, καὶ μοῖραν ἐναπολαμβάνει τῆς εὐρυχωρίας τοῦ θώρακος, ἐν ᾧ ὤφειλε τὸ πνεῦμα ἐμφιλοχωρῆσαι εἰσερχόμενον. τούτου οὖν ἐναπολειφθέντος, ἐξ ἀνάγκης ἡ δύσπνοια γίνεται.

Πρὸς τούτοις δὲ καὶ ἕτερα σημεῖα πέντε παραδίδωσι, δι' ὧν ὀφείλομεν γινώσκειν, πότε ἐστὶν ἀγαθὴ ἡ ῥῆξις, καὶ πότε κακίστη. εἰσὶ δὲ ταῦτα ἀπὸ τοῦ πυρετοῦ, ἀπὸ τῆς ὀδύνης, ἀπὸ τοῦ δίψους, ἀπὸ τῆς ὀρέξεως, καὶ ἀπὸ τοῦ ἀναγομένου πύου. εἰ μὲν γὰρ ἐπ' ἀγαθῷ ἡ ῥῆξις γίνεται, εὐθέως ἐν αὐτῇ τῇ ἡμέρᾳ ἐν ᾗ ἡ ῥῆξις γένηται, 5) ἀπύρετοι σχεδὸν γίνονται, ἀλλὰ καὶ ἀνώδυνοι καὶ ἄδιψοι καὶ εὐόρεκτοι. ἀλλὰ καὶ τὸ ἀναπτυόμενον δεῖ λευκὸν εἶναι καὶ συνεστηκὸς καὶ λεῖον καὶ ὁμαλὸν, καὶ 6) μὴ μετέχειν δυσωδίας. εἰ δὲ μετὰ τὸ ῥαγῆναι τὴν ῥῆξιν μὴ παύσηται ὁ πυρετὸς, ἀλλὰ καὶ ἐπιγένηται, καὶ ἡ ὀδύνη ἐπιταθῇ καὶ τὸ δίψος καὶ πάντη ἀνόρεκτοι

---

1) γίνεται L. 2) δριμ. κ. ἀνιαρ. om. L. 3) ῥαγῆναι L. 4) διεξερχ. M. 5) ἀπύρεκτοι M. 6) μὴ om. L.

μείνωσι, καὶ τὸ ἀναπτυόμενον πῦον πολλῆς μετέχει δυσωδίας καὶ πολυποίκιλόν ἐστι, καὶ διαφόρους μετέχει κακοχυμίας, γίνωσκε ὅτι ἐπὶ κακῷ γέγονεν ἡ ῥῆξις. ὅσον γὰρ οὔπω ἀπόλλυται ὁ ἄνθρωπος. εἰ δέ γε τὰ μὲν γένωνται, τὰ δὲ μὴ γένωνται, πρὸς τὴν ἐπικράτειαν οὕτως δεῖ καὶ προσδέχεσθαι.

*Αἱ δὲ ἀποστάσεις αἱ ἐς τὰ σκέλεα ἐν τῇσι περιπνευμονίῃσι καὶ τὰ ἑξῆς.* —

Διαλεχθεὶς περὶ τῶν ἐμπυημάτων, ταυτὸν δὲ 1) εἶπε περὶ φλεγμονῆς τοῦ ὑπεζωκότος τῆς εἰς πῦον μεταβαλλούσης καὶ ῥαγείσης καὶ τοῦ πύου ἐκχυθέντος μεταξὺ θώρακός τε καὶ πνεύμονος, ἔτι γε μὴν καὶ περὶ τῆς γινομένης φθίσεως ἐπὶ τοῖς πάθεσι θώρακός τε καὶ πνεύμονος, νῦν βούλεται εἰπεῖν καὶ περὶ τῶν ἀποστάσεων τῶν γινομένων ἐν ταῖς περιπνευμονίαις. ἡ γὰρ φλεγμονὴ τοῦ πνεύμονος οὐ πάντως εἰς πυοποίησιν τρέπεται, οὐδὲ πάντως εἰς ἐμπύημα ἀποκαθίσταται, ἀλλ᾽ ἔστιν ὅτε εἰς ἀπόστασιν τρέπεται, τῆς ὕλης εἰς ἕτερα μετατιθεμένης μόρια. τὸ σύμπαν οὖν τοῦ λόγου ἐστὶ διαλαβεῖν περὶ τῶν ἐν 2) τοῖς πνευμονικοῖς γινομένων ἀποστημάτων. διμερὴς δὲ ἡ τοιαύτη σκέψις. καὶ ἐν μὲν τῷ πρώτῳ μέρει σημεῖά τινα παραδίδωσιν ὁ συγγραφεὺς οἷς τισι χρώμενοι διαγινώσκομεν, εἰ ὅλως μελέτη ἐστὶ 3) τῇ φύσει τῆς περιπνευμονίας ὑποκειμένης ἀπόστασιν ἐργάσασθαι. τὸ δὲ δεύτερον μέρος τοῦ λόγου, τὸ γνωρίσαι ἡμῖν ἐν ποίοις μέρεσι προσδοκᾶται ἡ ἀπόστασις.

Καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου μέρους τοῦ λόγου. δεῖ τὴν ὕλην ὠμὴν εἶναι καὶ ἄπεπτον, καὶ τὸ νόσημα οὐκ ὀλέθριον, ἀλλὰ καὶ τὴν δύναμιν ἐπ᾽ ἔλαττον. εἰ γὰρ πεπεμμένη ἐστὶν ἡ ὕλη, εἰς ἀπόστασιν οὐ τρέπεται ἡ περιπνευμονία, ἀλλ᾽ ἢ κατ᾽ ἔκρουν ἐκκρίνεται ἡ ὕλη, ἢ κατὰ σύμπεψιν κατὰ μικρὸν τῷ χρόνῳ διαφορεῖται καὶ πέττεται ἡ ὕλη, καὶ οὕτως ἀπαλλάσσονται. τὸ δὲ νόσημα ὀλέθριον εἶναι, 4) ἐπειδὴ προφθάνει ὁ θάνατος τὴν ἀπό-

---

1) εἰπεῖν L. 2) τῇ περιπνεύμονι M. 3) τῇ φύσει om. L. 4) ἐπείτοι γε M. A.

στασιν. πρὸς τούτοις δὲ δεῖ καὶ πυρετὸν συνεχῆ εἶναι καὶ βραχὺν καὶ ἐπίμονον, ἀλλὰ καὶ ὀδύνην ἐπιτεταμένην καὶ μόνιμον. καὶ ὁ σιελισμὸς, 1) μὴ ἐκχωρέῃ τουτέστι μὴ ἀναπτύωσί τι, ἐπειδὴ ἀλλαχόσε ἡ ὕλη ἀπασχολεῖται καὶ χολῶδες οὐκ 2) ἐκχωρέουσι διὰ γαστρός. ἐὰν οὖν ταῦτα πάντα συνέλθωσι, γίνωσκε ὅτι εἰς ἀπόστασιν τρέπεται ἡ περιπνευμονία. εἰ δέ γε παύηται ὁ πυρετὸς, ἀλλὰ καὶ ἡ ὀδύνη παύσηται, ἀπόστασις οὐ γενήσεται, ἐπειδὴ δηλοῖ μηδεμίαν μοχθηρίαν παρενοχλοῦσαν. ἀλλὰ καὶ σιελισμὸς ἐὰν γένηται, εἰς ἀπόστασιν οὐ τρέπεται ἡ περιπνευμονία, 3) ἐπειδὴ διὰ τοῦ πτυέλου κενοῦται ἡ ὕλη καὶ ἀνακαθαίρεται ἡ περιπνευμονία. ἀλλὰ καὶ χολωδῶν ἐκκρινομένων διαχωρημάτων, οὐδ᾽ οὕτως εἰς ἀπόστασιν τρέπεται ἡ περιπνευμονία, ἐπειδὴ λεπτὴ καὶ θερμή ἐστιν ἡ ὕλη. ἐπὶ δὲ τῶν χρονίων νοσημάτων παχεῖαν δεῖ εἶναι τὴν ὕλην καὶ ὠμὴν καὶ ψυχρὰν, ἐν ᾧτινι χρόνῳ καὶ ἡ ἀπόστασις γίνεται, καθὸ καὶ 4) αὐτὸς κατὰ λέξιν ἠνίξατο εἰπὼν, ὅτι ἀδιάκριτοι αἱ ὑποχωρήσιες. ἀδιακρίτους δὲ ὑποχωρήσεις καλεῖ· ἐνταῦθα τὰ λεπτὰ καὶ ὑδατώδη καὶ ὠμὰ ὑποχωρήματα καὶ μηδεμίαν ἔχοντα ἐπιμιξίαν χολώδους ὕλης. ἡ τοιαύτη ὑποχώρησις καὶ ὠμὴν ἐνδείκνυται τὴν ὕλην καὶ παχεῖαν, ἥτις πολλοῦ χρόνου δεῖται, ὥστε πεφθῆναι, ἐν ᾧτινι χρόνῳ, ὡς εἴρηται, ἡ ἀπόστασις γίνεται. ὡς γὰρ διαφόρως μεμαθήκαμεν, τὰ ὀξέα τῶν νοσημάτων, [ἢ] κατ᾽ ἔκρουν κενουμένης τῆς ὕλης, λύονται. τὰ δὲ χρόνια τῶν νοσημάτων ὡς ἐπίπαν κατ᾽ ἀπόσκηψιν καὶ ἀπόστασιν τρέπονται, καὶ οὕτω λύονται, εἰ μή τι ἄρα διὰ ῥώμην δυνάμεώς τινα τῶν νοσημάτων κατὰ σύμπεψιν ἀπαλλαγῶσι κατὰ μικρὸν συμπεττομένης τῆς ὕλης, καὶ οὕτως 5) παυομένης. ὅθεν ἀμέλει καὶ πέψεως ἡμῖν σημεῖα παραδίδωσιν, ἐπὶ τῆς περιπνευμονίας λέγων οὕτως, ὅτι ἐὰν περιπνευμονία ὑποκειμένης, καὶ πεπεμμένη ἐστὶν ἡ ὕλη, καὶ τὰ οὖρα πολλὰ ἐκκρίνονται καὶ παχέα, καὶ τὴν ὑπόστασιν πολλὴν ἴσχει· ἐνδείκνυται γὰρ ὅτι ἡ περιπνευμονία οὐ τρέπεται

---

1) Fort. addas ἐὰν. 2) ἐκχωρεύουσι M. 3) ἐπειδὴ — περιπνευμονία om. L. 4) αὐτὸ M. 5) παυόμενον L.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 212 sur 382

εἰς ἀπόστασιν, ἐπειδὴ καὶ ἔκρουν ἐκκρίνεται ἡ ὕλη διὰ τῶν οὔρων. ἡ δὲ τοιαύτη ἔκκρισις τῶν οὔρων ἰσχὺν καὶ ῥώμην τῆς δυνάμεως ἐνδείκνυται, καθ' ἣν ἰσχύσασα τὴν μὲν ὕλην ἐξέκρινε, τὸ δὲ ἐγκαταλιμπανόμενον πέττει καὶ αὐτὸ, καὶ οὕτως ἀπαλλάσσονται τῆς 1) περιπνευμονίας. εἰ δέ γε τοὐναντίον ὀλίγον ἐκκριθῇ τὸ οὖρον καὶ λεπτὸν καὶ ὑπόστασιν μὴ ἔχον, σχεδὸν παντὶ τρόπῳ εἰς ἀπόστασιν τρέπεται ἡ περιπνευμονία.

Ἐν δὲ τῷ δευτέρῳ μέρει τοῦ λόγου, παραδίδωσιν ἡμῖν σημείωσιν, 2) καθὼς ὀφείλομεν διαγνῶναι εἴτε ἐν τοῖς ἄνωθεν καὶ ὑπερκειμένοις μορίοις τοῦ θώρακος αἱ ἀποστάσεις γίνονται ἐπὶ τῇ περιπνευμονίᾳ, εἴτε ἐν τοῖς κάτω καὶ ὑποκειμένοις. καί φησιν, ὅτι ἐὰν ἄνευ προφάσεως γένηται ἀθρόον δύσπνοια ἐπὶ τῇ περιπνευμονίᾳ, καὶ γενομένη δοκῇ ὑποχαλᾷν, καὶ οἷον ὑφειμένη γίνεσθαι καὶ μειοῦσθαι, εἶτα πάλιν ἐπιταθῇ ἡ δύσπνοια, γίνωσκε ὅτι ἐν τοῖς ἄνωθεν καὶ ὑπερκειμένοις μορίοις, τυχὸν περὶ τὴν κεφαλὴν, ἡ ῥοπὴ τῶν χυμῶν καὶ τῆς ὕλης γέγονε, καὶ ἐκεῖσε περὶ τὴν κεφαλὴν αἱ ἀποστάσεις γίνονται. εἰ δέ γε μηδὲν τούτων εἴη παρενοχλοῦν, ἀλλὰ ζέσις καὶ φλόγωσίς τις περὶ τὸ στέρνον καὶ τὸ διάφραγμα, ἥντινα φλόγωσιν σύνηθες τῷ Ἱπποκράτει φλέγμα καλεῖν. καὶ νῦν οὕτως κατὰ τὴν λέξιν ἐκάλεσε τὴν φλόγωσιν φλέγμα. ἐὰν ὀδύνη ἐστὶν ἐν τοῖς τόποις ἐκείνοις καὶ σκληρία, γίνωσκε ὅτι ἐν τοῖς ὑποκειμένοις μορίοις αἱ ἀποστάσεις γίνονται.

Τίθησι δὲ καὶ προσδιορισμοὺς ἀναγκαίους, ὧν πρῶτον λέγει τοιοῦτον, ὅτι βέλτιόν ἐστι τὰς ἀποστάσεις ἐπὶ τὰ κάτω καὶ ἐν τοῖς σκέλεσι γίνεσθαι μᾶλλον, ἤπερ ἐν τοῖς ὑπερκειμένοις μορίοις. καὶ δήλη ἡ αἰτία. τοσοῦτον γὰρ ἀκινδυνότερόν ἐστι τὸ ἐν τοῖς σκέλεσι γίνεσθαι τὰς ἀποστάσεις, ὅσον καὶ ἀκυρότερά εἰσι τῶν ὑπερκειμένων διὰ τὸ πόῤῥω ἀφεστάναι 3) αὐτά.

Δεύτερον προσδιορισμὸν λέγει ὅτι αὗται αἱ ἀποστάσεις αἱ ἐν τοῖς σκέλεσι γινόμεναι, κάλλιόν ἐστι συριγ-

1) περιπνευμόνου M. 2) καθ' ἣν M. 3) αὐτῶν L.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 213 sur 382

γοῦσθαι αὐτάς. εἰ γὰρ συριγγωθῶσιν, ὡς μονοειδῆ ἔχουσαι τὴν ἐπιῤῥοὴν τῆς ὕλης, ἐκεῖθεν ἀποῤῥεῖ καὶ ἐκκρίνεται, καὶ οὐ κατασπείρεται εἰς διάφορα μόρια ἡ ὕλη ἐκείνη, ὥστε βλάψαι αὐτὰ, ὡς ἂν ἐκεῖθεν διὰ τῶν συριγγωθέντων ἀποστημάτων τῆς ὕλης ἐκκρινομένης καὶ ἀποῤῥεούσης. ἄλλως τε δὲ καὶ διὰ τῶν συρίγγων αὐτῶν τῇ ἀεννάῳ φορᾷ τῆς ὕλης καὶ τῇ ἀεὶ κενώσει ἀποκενοῦται πᾶσα ἡ ὕλη καὶ ἀνακαθαίρεται ἡ 1) περιπνευμονία.

Τρίτον προσδιορισμόν φησι τοιοῦτον, ὅτι αὗται αἱ ἀποστάσεις τὴν μὲν περιπνευμονίαν ἀπαλλάσσουσι προδήλως. ἔστι δ' ὅτε ἐὰν φανῶσι πέψεως σημεῖα ἐν τοῖς κενουμένοις, καὶ αὗται αἱ ἀποστάσεις τάχιστα λύονται καὶ ἀπολύονται. εἰ μὲν γὰρ ἐν τοῖς ἀναπτυομένοις 2) σιελισμὸν φανῶσι πέψεως σημεῖα καὶ συμπεπεμμένα ἐστὶ, γίνωσκε ὅτι ἀπαλλάττονται αἱ ἀποστάσεις. εἰ δέ γε πρὸς τούτοις καὶ ἐν τοῖς οὔροις φανῇ χρηστὴ ὑπόστασις, γίνωσκε ὅτι ἐπὶ ἀπαλλαγῇ εἰσιν αἱ 3) ἀποστάσεις, καὶ ὅσον οὔπω ἀποπαύονται καὶ διαφοροῦνται. εἰ δέ γε μὴ φανῶσιν ἐν τούτοις πέψεως σημεῖα, μήτε ἐν τοῖς πτυέλοις, μήτε ἐν τοῖς οὔροις, ἀλλὰ τὰ τῆς ἀπεψίας καὶ τῆς ὠμότητος 4) ἐπικρατεῖ σημεῖα, γίνωσκε ὅτι εἰς χρόνον ἐκταθήσονται αἱ ἀποστάσεις. ὅθεν τῷ χρόνῳ καὶ χωλοῦνται αὐτῶν τὰ ἄρθρα κατὰ δύο αἰτίας. ἢ γὰρ διὰ τὴν εὐρύτητα ἐκεῖσε φέρονται οἱ χυμοὶ καὶ 5) αἱ ὕλαι, ὥστε περιέχεσθαι αὐτοὺς καὶ τοτηνικαῦτα χωλεύουσι διὰ τὴν εὐρύτητα ὑποδεχόμενα, διὰ δὲ τὴν κίνησιν ἐπὶ τῇ ἐπιτεταμένῃ κινήσει θάλπονται τὰ ἄρθρα, καὶ τῇ θάλψει ἐκεῖσε συῤῥέουσιν οἱ χυμοὶ καὶ ἡ ὕλη. καὶ ἐπὶ τούτῳ χωλοῦνται αὐτῶν τὰ ἄρθρα.

*Λέγει* καὶ τέταρτον προσδιορισμὸν τοιοῦτον, ὅτι κακόν ἐστιν, ἐὰν, 6) γενομένων τῶν ἀποστάσεων, ἐξαίφνης 7) ἀφανεῖς γένωνται, ἢν μὴ ὁ πυρετὸς παύσηται. δηλοῖ γὰρ ὅτι ἐν τῷ βάθει ἐῤῥευσεν ἡ ὕλη καὶ ἐν τοῖς κυριω-

---

1) περιπνεύμονος M. 2) Fort. σιελισμοῖς i. q. πτυέλοις. 3) ὑποστάσεις L. 4) ἐπιφαίνονται L. 5) ἡ ὕλη M. 6) γεννωμένων L. 7) ἀφανὴς γένηται L.

τέροις μορίοις, καί ἐστιν ἐπικίνδυνον. εἰ δέ γε παύσηται ὁ πυρετὸς, παύεται δὲ οὕτως, ἀφανῶν γενομένων τῶν ἀποστάσεων· ἀφανεῖς δὲ γίνονται, ῥωσθείσης τῆς δυνάμεως καὶ ἰσχυσάσης. σὺν τούτοις δὲ 1) εἴη καὶ ὥρα θερινὴ καὶ ἡ ἡλικία ἀκμαστικὴ, καὶ τὸ χωρίον θερμὸν, καὶ τὰ ἐπιβαλλόμενα, καὶ τὰ ἐπιβληθέντα βοηθήματα 2) εἴη θερμὰ, πεπαίνεται ἡ ὕλη ἐν τοῖς ἀποστήμασι καὶ διαφορεῖται. σὺν τούτοις δὲ καὶ ὁ πυρετὸς ἀποπαύεται, καὶ ἐπ᾽ ἀγαθῷ τρόπῳ ἀφανεῖς γίνονται αἱ ἀποστάσεις, ἐὰν ὁ πυρετὸς παυθῇ.

Τῶν δὲ 3) ἐμπυημάτων τῶν ἐκ τῶν περιπνευμονικῶν, οἱ γεραίτεροι μᾶλλὸν ἀπόλλυνται, ἐκ δὲ τῶν ἄλλων ἐμπυημάτων, οἱ νεώτεροι μᾶλλον ἀποθνήσκουσι καὶ τὰ ἑξῆς. —

*Εἰκότως* οἱ γέροντες ἀπόλλυνται ἐν ταῖς περιπνευμονίαις, οἱ δὲ νεώτεροι περισώζονται ἤπερ ἀπόλλυνται, ἐπειδὴ ἀσθενεῖς ἔχουσι τὰς δυνάμεις, 4) ὧν τινων χρείαν ἔχουσιν. ἀσθενῶν γὰρ ὑποκειμένων τῶν δυνάμεων, καὶ περιπνευμονίας οὔσης, οὐκ ἀνακαθαίρονται, ἀλλ᾽ οὕτως ἀπόλλυνται οἱ γέροντες. οἱ δὲ νεώτεροι ἤγουν οἱ ἀκμάζοντες ἐῤῥωμένας ἔχουσι τὰς δυνάμεις, καὶ τῇ ῥώμῃ 5) ἀναπτύουσι, καὶ ἀνακαθαίρεται αὐτῶν ἡ περιπνευμονία, καὶ περισώζονται. ἐπὶ δὲ τῶν ἄλλων ἐμπυημάτων καὶ ἀποστάσεων τῶν ἐν τοῖς παρισθμίοις καὶ παρωτίσι συνισταμένων, οἱ ἀκμάζοντες μᾶλλον ἀπόλλυνται, οἱ δὲ γέροντες περισώζονται. καὶ τίς ἡ αἰτία ὅτι ἐπὶ μὲν τῶν ἀκμαζόντων, ἐπὶ 6) θερμῇ ὕλῃ καὶ χολώδει ταῦτα γίνονται. ἀλλὰ καὶ τὰς αἰσθήσεις περιττὰς ἔχουσι καὶ μεγίστας ὀδύνας ὑπομένουσι· διά τε οὖν τὸ θερμὸν τῆς ὕλης καὶ τὸ περιττὸν τῆς αἰσθήσεως καὶ διὰ τὰς μεγίστας ὀδύνας μὴ φέροντες, 7) ἀπόλλυσθαι. προφθάνει γὰρ ὁ θάνατος τὴν πυοποίησιν. ἐπὶ δὲ τῶν γερόντων οὐ γίνονται ἐπὶ θερμῇ ὕλῃ ταῦτα τὰ πάθη, ἀλλ᾽ οὐδὲ ἠκριβω-

1) Fort. εἰ ᾖ. 2) ὧσι M. 3) ἐμπύων Hipp. 4) ὧν M. A. 5) ἐναποπτύουσι L. 6) θερμῆς ὕλης καὶ χολώδη L. 7) Fort. ἀπόλλυνται.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 215 sur 382

μένας ἔχουσι τὰς αἰσθήσεις· ἀλλ' οὐδὲ μέγισται ὀδύναι γίνονται ἐπ' αὐτῶν, καὶ τοτηνικαῦτα περισώζονται. 1) ἐπεὶ οὖν ταῦτα εἴρηται, ἐν οἷς σὺν Θεῷ καὶ τὸ δεύτερον τμῆμα πεπλήρωται.

## ΑΡΧΗ ΣΥΝ ΘΕΩ ΤΟΥ ΤΡΙΤΟΥ ΤΜΗΜΑΤΟΣ.

*Αἱ δὲ ξὺν πυρετῷ ὀδύναι γινόμεναι περὶ τὴν ὀσφύν τε καὶ τὰ κάτω χωρία καὶ τὰ ἑξῆς.* —

Ἐντεῦθεν ἄρχεται τοῦ τρίτου τμήματος ὁ Ἱπποκράτης καί φησιν, ὁκόσοισιν αἱ ὀδύναι ἤγουν αἱ ἀποστάσεις ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω 2) γίνωνται, κάκισταί εἰσι. δηλοῖ γὰρ ὅτι ἀπὸ τῶν ἀκυροτέρων μορίων ἐπὶ τὰ κυριώτερα μετέστη ἡ ὕλη, πλὴν οὐ πάντως ὀλέθριαι. ἀλλὰ δεῖ συνελθεῖν καὶ τὰ ἄλλα σημεῖα, οἷον ἐάν ἐστιν ὀξὺς πυρετὸς καὶ δύσπνοια καὶ παραφροσύνη, καὶ σφοδρὰ ὀδύνη ἀπὸ τῶν κάτω χωρίων ἐπὶ τὰ ἄνω σύνεστι, τότε ὀλέθριαί εἰσιν αἱ τοιαῦται μεταστάσεις τῆς ὕλης. εἰ δὲ μηδὲν τούτων συνέλθῃ, γίνωσκε ὅτι αἱ ἀποστάσεις εἰς πυοποίησιν τρέπονται.

Καὶ ταῦτα εἰρηκώς φησιν, ὅτι κάκιστόν ἐστι τὸ φλεγμαίνειν τὴν κύστιν, ἐπειδὴ ἡ κύστις νευρώδης ἐστὶ, καὶ διὰ τοῦτο μέγισται 3) γίνονται αἱ ὀδύναι, διὰ τὸ περιττὸν τῆς αἰσθήσεως τῶν νεύρων· πλὴν δὲ ὡς νευρώδης ἡ κύστις καὶ τὸν ἐγκέφαλον εἰς συμπάθειαν ἄγει, ἀλλὰ καὶ

1) ἐπεὶ — πεπλήρωται om. L. 2) γινόμεναι L. 3) αἱ ὀδ. γίν. M. A.

σπασμοὺς ἐπιφέρει διὰ τὸ νευρῶδες· πρὸς τούτοις δὲ καὶ 1) ἐποχὴ οὔρων καὶ διαχωρημάτων γίνεται. ἡ δὲ ἐποχὴ τοῦ οὔρου καὶ τοῦ διαχωρήματος κατὰ δύο αἰτίας γίνεται· ἢ γὰρ δι᾽ ὀργανικὴν βλάβην ἢ δι᾽ ἐπιτεταμένην ὀδύνην. καὶ ὀργανικῶς μὲν οὕτως, φλεγμαίνοντος τοῦ τραχήλου τῆς κύστεως, ἀποστενοῦται ὁ οὐρητικὸς πόρος τῆς κύστεως, καὶ τοτηνικαῦτα ἐπέχεται τὸ οὖρον, εἶτα ἐπίκειται ὁ τράχηλος 2) τῆς κύστεως καὶ αὐτὴ ἡ κύστις τῷ ἐντέρῳ, λέγω δὴ τῷ ἀπευθυσμένῳ, ἐπὶ τῇ φλεγμονῇ 3) ἐπικείμενα ἐναπολαμβάνει τῇ διεξόδῳ 4) τῆς κόπρου καὶ οὐ συγχωρεῖ διεξελθεῖν τὴν κόπρον. καὶ ἐντεῦθεν ἡ ἐποχὴ γίνεται τῆς κόπρου ὀργανικῶς. διὰ δὲ ἐπιτεταμένην ὀδύνην οὕτως· ἐπειδὴ νευρώδης ἐστὶν ἡ κύστις, ἐπὶ τῇ φλεγμονῇ μεγίστας ὑφίσταται ὀδύνας. ἐπὶ οὖν τῇ σφοδρᾷ ὀδύνῃ ἡ φύσις συννεύει ὡς ἐπὶ τὴν οἰκείαν ἀρχὴν καὶ ἐπὶ τὸ βάθος, καὶ οὐκ ἐπιτίθεται ταῖς οἰκείαις ἐνεργείαις. αἱ γὰρ φυσικαὶ ἐνέργειαι ἐν ἐπιτεταμένῃ κινήσει ἐπιτελοῦνται. ἡ δὲ κίνησις ἐπιτείνει τὸν ῥευματισμὸν καὶ 5) τὰς ὀδύνας. ἡ οὖν φύσις, ἵνα μὴ ἐπιταθῇ ἡ ὀδύνη, οὐκ ἐπιτίθεται 6) ταῖς εἰρημέναις ἐνεργείαις, τυχὸν τὴν ἀποκριτικὴν δύναμιν, ὥστε ἀποκρῖναι. καὶ τὸ τηνικαῦτα γίνεται ἡ ἐποχὴ τοῦ οὔρου καὶ τῆς κόπρου. ῥύεται δέ ποτε σπανίως τὴν φλεγμονὴν τῆς κύστεως, οὔρου παχέος καὶ πολλοῦ καὶ πεπυοποιημένου ἀπούρησις. δηλοῖ γὰρ ὅτι ἐπέφθη ἡ ὕλη καὶ οἱ χυμοὶ καὶ φέρονται ἐπὶ τὴν κοιλότητα τῆς κύστεως, καὶ σὺν τῷ οὔρῳ ἐκκρίνεται τὸ πῦον καὶ οἱ χυμοὶ καὶ οὕτως ἀνακαθαίρονται.

## Περὶ κρισίμων.

Δεύτερόν ἐστι κεφάλαιον ἐν ᾧ περὶ κρισίμων ἡμερῶν διαλέγεται. ἐπειδὴ δὲ περὶ κρίσεως ἡμῖν ὁ λόγος, δεῖ ἡμᾶς πέντε τινὰ περὶ κρίσεως ζητῆται, πρῶτον, τί ἐστι κρίσις, δεύτερον, πόθεν ὠνομάσθη κρίσις, τρίτον, ποσαχῶς τελειοῦνται αἱ κρίσεις, καὶ τέταρτον, κατὰ πόσους

---

1) ἐποχὴν L. 2) τῇ κύστει M. τῶν ἐντέρων L. 3) ἐπικείμενον L. 4) τοῦ κόπρου L. 5) τὴν ὀδύνην M. 6) ὡς εἴρηται ταῖς οἰκείαις ἐνεργ. M. A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 217 sur 382

τρόπους 1) τελειοῦνται αἱ κρίσεις, καὶ πέμπτον, ποῖαί εἰσιν αἱ κρίσιμοι ἡμέραι.

Καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου, τί ἐστι κρίσις; κρίσις ἐστὶν 2) ὀξύῤῥοπος καὶ ἀθρόα ἐν νόσῳ μεταβολή.

Δεύτερον πόθεν ὠνόμασται κρίσις; ἐκ μεταφορᾶς τῶν ἐν τῷ δικαστηρίῳ κρινομένων. ὥσπερ γὰρ ἐκεῖσε ὁ καταδικαζόμενος ἐν μέσῳ ζωῆς καὶ θανάτου ἐστὶν, οὕτως ἰδών τις νοσοῦντα καὶ ἐν δυσφορίᾳ διάγοντα ἔφη, 3) ἐλέησον, οὗτος ὁ ἄνθρωπος κρίνεται μεταξὺ ζωῆς καὶ θανάτου.

Τρίτον ποσαχῶς τελειοῦνται αἱ κρίσεις; τετραχῶς. ἢ γὰρ ἐπὶ ἀπαλλαγῇ καὶ ὑγείᾳ τελειοῦνται αἱ κρίσεις, ἢ ἐπὶ μεγίστῃ μεταβολῇ ἐπὶ τὸ βέλτιον ἢ τοὐναντίον· ἢ γὰρ ἐπὶ ὄλεθρον καὶ θάνατον, ἢ ἐπὶ μεγίστῃ μεταβολῇ 4) ἐπὶ τὸ χεῖρον.

Τέταρτον κατὰ πόσους τρόπους γίνονται αἱ κρίσεις; κατὰ δύο. ἢ γὰρ κατ᾽ ἔκρουν κρίνονται τὰ νοσήματα ἢ κατ᾽ ἀπόσκηψιν. ὤφθη δέ ποτε καὶ ὕπνος μακρὸς καὶ 5) βαθὺς μεγίστην μεταβολὴν ἐπὶ τὸ βέλτιον ποιήσας, ὅπερ οὐδὲ κυρίως κρίσιν ὀνομάζουσι διὰ τὸ σπανίως γίνεσθαι καὶ ἐπὶ μόνων τῶν παίδων ὤφθη γινόμενον.

Πέμπτον, 6) ποῖαί εἰσιν αἱ 7) κρίσιμοι ἡμέραι, ἐν αἷς κρίνονται τὰ νοσήματα. ἐκεῖναί εἰσιν αἱ κρίσιμοι ἡμέραι, ἐν αἷς ταῦτα συνέλθῃ, ἐν αἷς πλεῖσται γίνονται κρίσεις καὶ βέβαιοι καὶ τέλειαι συνέλθωσιν, ἐκείνας καλοῦμεν κρισίμους ἡμέρας. τούτων δὲ τῶν κρινουσῶν ἡμερῶν αἱ μὲν τετραδικῶς ἀριθμοῦνται, αἱ δὲ 8) ἑβδομαδικῶς. καὶ ἰσχυρότεραι μέν εἰσιν αἱ ἑβδομαδικαὶ τῶν τετραδικῶν. τούτων οὖν τῶν ἑβδομαδικῶν αἱ μὲν κατὰ διέχειαν ἀριθμοῦνται, αἱ δὲ κατὰ συνέχειαν· καὶ αἱ μὲν ἑβδομαδικαὶ περίοδοι τὰς δύο ἔχουσιν ἑβδομάδας κατὰ 9) διέχειαν,

---

1) γίνονται M. A. 2) ἡ add. M. 3) ἔλεγεν M. μετ. ζωῆς κ. θαν. κρίν. M. A. 4) ἐπὶ τὸ χεῖρον om. M. A. 5) βραδὺς M. 6) ἐστὶ add. M. 7) κρίσεις L. ἐν αἷς — ἡμέραι om. M. A. 8) ἑβδοματικῶς M. 9) συνέχειαν L.

τὴν δὲ τρίτην ἀεὶ κατὰ συνέχειαν. ἑπτὰ γὰρ καὶ ἑπτὰ, τεσσαρεσκαίδεκα, καὶ ἑπτὰ γίνονται εἴκοσι μία. ἀλλὰ τὴν εἰκοστὴν ἔχομεν 1) κρίσιμον, καὶ οὐ τὴν εἰκοστὴν πρώτην, ὡς κατὰ συνέχειαν ταττομένης τῆς τρίτης ἑβδομάδος. αἱ δὲ τετραδικαὶ περίοδοι τὸ ἀνάπαλιν· αἱ μὲν δύο κατὰ συνέχειαν· εἰς γὰρ τὴν ἑβδόμην ἀπαρτίζουσιν, ὡς τῆς 2) τετάρτης τέλος οὔσης τῆς πρώτης τετράδος, 3) ἀρχῆς δὲ πάλιν τῆς δευτέρας τετράδος. ἡ δὲ τρίτη τετρὰς κατὰ διέχειαν, ὅθεν τὴν ἑνδεκάτην ἔχομεν κρίσιμον.

Ταῦτα εἰρηκὼς, προσδιορισμοῖς κέχρηται ὁ Ἱπποκράτης πρὸς τὴν ἤδη λεχθεῖσαν ὑπόθεσιν ὑπ' αὐτοῦ, 4) ὧν πρῶτον προσδιορισμὸν λέγει τοιοῦτον, ὅτι αὗται αἱ ἡμέραι κρίσιμοι ὀνομάζονται, καὶ εἰσὶ διὰ τὸ πλείστας ἐν αὐταῖς γενέσθαι κρίσεις, καὶ βεβαίας αὐτὰς γενέσθαι καὶ ἐπὶ ἀπαλλαγῇ 5) τῶν νοσημάτων. εἰσὶ δὲ καὶ ἕτεραι κρίσεις, ὧν οὐκ ἐμνημονεύσαμεν, αἵτινες καὶ παρεμπίπτουσαι ὀνομάζονται, ὥσπερ ἡ τρίτη καὶ ἡ πέμπτη καὶ ἡ ἐννάτη ἡμέρα. ἔστι δ' ὅτε καὶ ἡ ἕκτη ἡμέρα κρίνει, ἀλλ' ἐπὶ κακῷ. εἰ δέ γε ὁ κρινόμενος ἐν τῇ ἕκτῃ ἡμέρᾳ τὸν κίνδυνον φεύξει, πάντως ὑποτροπιᾷ καὶ νοσεῖ.

Λέγει καὶ δεύτερον προσδιορισμὸν, ὅτι τίς ὁ παραλογισμὸς οὗτος, ὅτι ἐπὶ μὲν τῶν δύο τετράδων τὴν ἑβδόμην λέγομεν κρίσιμον, καὶ οὐχὶ τὴν ὀγδόην, καὶ ἐπὶ μὲν τῶν τριῶν ἑβδομάδων τὴν εἰκοστὴν, καὶ οὐχὶ τὴν εἰκοστὴν πρώτην· λείπει γὰρ ἡμέρα ἐν ἑκάστῃ ὑποθέσει; καὶ λέγει ὅτι οὐκ ἔστιν ἄπορος ὁ λόγος· οὐδὲ γὰρ ὁ ἐνιαυτός τε καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃσι πεφύκασιν ἀριθμέεσθαι οὐδὲν τουτέων ἀτρεκέως. τὸν γὰρ ἐνιαυτὸν τξε' ἡμέραις ἀριθμούντων ἡμῶν, πλείονας ἔχει. ἔχει γὰρ καὶ ἄλλο τέταρτον ἡμέρας καὶ ἑκατοστὸν μέρος, καθ' ἣν καὶ τὸ 6) βίσεξτον ἀπαντᾷ γίνεσθαι. ὁμοίως δὲ καὶ ὁ μὴν οὐδὲ τριάκοντα ἡμερῶν ἐστιν, οὐδὲ εἴκοσι ἐννέα, ἀλλ' εἴκοσι ἐννέα ἥμισυ καὶ ἄλλο μόριον, ὡς οἱ ἀστρονόμοι 7) ἀριθ-

1) κρισίμην M. 2) τετάρτης om. L. Fort. τέλους. 3) ἀρχὴν L. 4) ὃν L. 5) τοῦ νοσήματος M. A. 6) βίσεξστον Codd. Dies bissextus i. e. intercalaris. 7) ἀριθμοῦνται M. A.

μοῦσιν. ἐὰν οὖν οὐδὲ ὁ ἐνιαυτὸς ὅλησιν ἡμέρησιν ἀριθμεῖται, οὔτε οἱ μῆνες, οὐδὲν ἄκαιρον, καὶ ἡμᾶς τῇ μακρᾷ πείρᾳ καὶ τῇ τῶν παλαιῶν μαρτυρίᾳ τὴν ἑβδόμην λέγειν κρισίμην καὶ τὴν εἰκοστὴν, καὶ μὴ ἀποσώζειν ἀκριβῆ ἀπαρίθμησιν.

Τρίτος προσδιορισμός ἐστιν, ἐν ᾧ φησιν, ὅτι ἐπὶ τῶν ὀξέων νοσημάτων καὶ συνεχῶν πυρετῶν ἡμέρας ἀριθμοῦμεν ἐπὶ τῶν κρίσεων· τυχὸν ἡ τετάρτη ἡμέρα ἐπίδηλός ἐστι τῆς ἑβδόμης, καὶ ἡ ἑβδόμη τῆς ἐνδεκάτης, καὶ ἐφεξῆς ὡσαύτως. ἐπὶ δὲ τῶν περιοδικῶν νοσημάτων καὶ τῶν χρονίων, οὐκέτι ἡμέρας ἀπαριθμοῦμεν, ἀλλὰ περιόδους, τουτέστιν ἡ τετάρτη περίοδος ἐπίδηλός ἐστι τῆς ἑβδόμης περιόδου καὶ ἡ ἑβδόμη τῆς ἐνδεκάτης. καὶ ἰστέον 1) ὅτι ἐπὶ τῶν ὀξέων νοσημάτων εὐθέως ἐξ ἀρχῆς δυνατόν ἐστι τὴν ἔκβασιν προγνῶναι τοῦ νοσήματος, εἴτε ἐπὶ ἀγαθῷ γενήσεται ἡ κρίσις, εἴτε ἐπὶ κακῷ. ἐπὶ δὲ τῶν χρονίων νοσημάτων ἀδύνατόν ἐστιν εὐθέως ἐξ ἀρχῆς προγνῶναι τὴν ἔκβασιν τοῦ νοσήματος, ὁποία ἔσται. καὶ τίς ἡ αἰτία, ὅτι ἐπὶ τῶν ὀξέων νοσημάτων ἐξ ἀρχῆς γινώσκομεν τὴν ἔκβασιν, ἐπὶ δὲ τῶν χρονίων οὔ; καὶ λέγομεν ὅτι ἐπὶ τῶν ὀξέων νοσημάτων εὐθὺς ἐξ ἀρχῆς ἡ φύσις 2) ἀγωνίζεται καὶ τὰ αἴτια εἰσβάλλουσιν, ὡς ἔχουσιν ἰσχύος, καὶ οὕτως ἀγωνίζονται, ἐπειδὴ ὀξεῖά ἐστιν ἡ κίνησις. καὶ εἰ μὲν διαφανῶσι πέψεως σημεῖα ἐξ ἀρχῆς, γίνωσκε ὅτι τὰ αἴτια ἴσχυσαν καὶ ἐπὶ κακῷ γίνεται ἡ κρίσις. ἐπὶ δὲ τῶν χρονίων νοσημάτων, ἀδύνατόν ἐστιν ἐξ ἀρχῆς προγνῶναι τὴν ἔκβασιν τοῦ νοσήματος, ἐπειδὴ τὰ χρόνια νοσήματα ἐπὶ ψυχροτέρᾳ ὕλῃ καὶ παχυτέρᾳ γίνονται, καὶ τοτηνικαῦτα βραχεῖα πάνυ γίνεται ἡ κίνησις, ἐπειδὴ οὐδέν ἐστι τὸ κατεπεῖγον, ἀλλὰ χλιαρῶς καὶ βραχέως εἰσβάλλει καὶ ἡ φύσις καὶ ἡ ὕλη· διότι συμμετρεῖ ἑαυτὴν ἡ φύσις 3) καὶ τοτηνικαῦτα ἀδύνατόν ἐστιν ἐξ ἀρχῆς προγνῶναι τὴν ἔκβασιν ἐπὶ τῶν χρονίων νοσημάτων εἴτε ἀγαθὴ γενήσεται, εἴτε κακὴ καὶ ὀλέθριος. καί ἐστι τούτου παρά-

1) ὅτι ἐπὶ τ. ὀξέων om. L. 2) ἀγωνίζεται om. M. A. ἰσχὺν M. A. 3) καὶ — ὀλέθριος om. L.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 220 sur 382

δειγμα τοιοῦτον ἐπὶ τῶν ἐκτός. ἡνίκα δύο παλαισταὶ ἀγωνίζονται πρὸς ἑαυτοὺς, εἰ μὲν ὁ ἕτερος κατισχύει τοῦ ἑτέρου, εὐθέως ἐξ ἀρχῆς διαγινώσκομεν, ὅτι οὗτος ἰσχυρότερός ἐστι, καὶ νικῆσαι ἔχει, ὥσπερ ἐπὶ τῶν ὀξέων νοσημάτων. εἰ δὲ οἱ δύο ἀγωνισταὶ ἰσοσθενῶς ἔχουσι τὴν ἰσχὺν, ἀδύνατόν ἐστιν εὐθέως ἐξ ἀρχῆς εἰπεῖν τὴν ἔκβασιν, ποῖος ἔχει νικῆσαι. οὕτως ἔχει καὶ ἐπὶ τῶν χρονίων νοσημάτων. οἷον γὰρ ἰσοσθενὲς ἔχουσι τὴν προσβολὴν καὶ ἡ φύσις καὶ τὰ αἴτια. καὶ διὰ τοῦτο ἀδύνατόν ἐστιν εὐθέως ἐξ ἀρχῆς προειπεῖν 1) τι περὶ τῆς ἐκρίσεως. πλὴν ὁ Ἱπποκράτης πρὸς παραμυθίαν τοῦ λόγου λέγει, ὅτι ἐπιστήμων καὶ ἀκριβὴς ἰατρὸς ἐπιστάμενος τὰς ἡμέρας τῶν κρίσεων, ποῖαί εἰσιν αἱ κρίσιμοι καὶ ἐπίδηλοι καὶ ποῖαι θεωρηταὶ, οὐ μὴν ἀλλὰ καὶ τὰς ἀνταποδόσεις ὁ γινώσκων τῶν περιόδων, ποῖαί εἰσιν ἐπίδηλοι, ὅτι ἡ τετάρτη περίοδος ἐπίδηλός ἐστι τῆς ἑβδόμης, ἐκ τούτων προγινώσκει καὶ τὴν ἔκβασιν τῶν χρονίων νοσημάτων· ὡς γὰρ αὐτὸς λέγει, ὅτι οὐ λήσεται ὅπῃ τρέψηται τὸ νόσημα.

Τέταρτος προσδιορισμός ἐστιν, ἐν ᾧ φησιν, ὅτι ὡσαύτως καὶ ἐπὶ τῶν κυουσῶν γυναικῶν τὴν ἀπαρίθμησιν ποιεῖται τῶν ἡμερῶν ἐπὶ τῶν κρίσεων 2) εὐθὺς ἐξ ἀρχῆς. τί γὰρ ὅτι αἱ πλεῖσται τῶν γυναικῶν μετὰ τὴν γένναν ἐν τῇ 3) τρίτῃ ἡμέρᾳ πυρέττουσιν. οὐ δεῖ οὖν ἀπὸ τῆς τρίτης 4) τοῦ νοσήματος ἡμέρας τὴν ἀρχὴν ἀριθμεῖν, ἀλλ' ἐξ ἀρχῆς ἀφ' ἧς ἔτεκεν ἡ γυνὴ, ἐπειδὴ προϋπῆρχε τὸ αἴτιον. οὐδὲ γὰρ τῇ τρίτῃ ἡμέρᾳ ἠθροίσθη, ἀλλ' ὡς εἴρηται ἦν πρὸ τούτου, καὶ οὐ διεφαίνετο, ἐπειδὴ ἡ φύσις ἐπὶ τὴν δημιουργίαν τοῦ ἐμβρύου ἐναπησχολεῖτο. ὅταν οὖν 5) ἀπετέχθη τὸ ἔμβρυον, καὶ διὰ τῆς 6) λοχικῆς καθάρσεως ὀφειλούσης κενωθῆναι ἐκείνην τὴν ὕλην κινηθεῖσα ἀνῆψε τὸν πυρετόν. δεῖ οὖν ἐξ ἀρχῆς ἀφ' ἧς ἡμέρας ἔτεκεν ἡ γυνὴ, τὴν ἀπαρίθμησιν ποιεῖσθαι τοῦ νοσήματος, ἐπειδὴ 7) προῆν ἡ ὕλη καὶ μὴ ἀπὸ τῆς τρίτης ἡμέρας, ἀφ' ἧς ὁ πυρετὸς ἀνήφθη.

---

1) τι om. L. 2) εὐθέως M. 3) ἕκτῃ L. 4) ἡμέρ. ἀριθ. τ. ἀρ. τοῦ νοσήμ. M. A. 5) ἐτέχθη M. 6) λογικῆς Codd. Correxi. 7) πρώην Codd. Emendavi.

Οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι παύονται ἢ πρόσθεν· οἱ δὲ κακοηθέστατοι καὶ ἐπὶ σημείων δεινοτάτων βεβῶτες τεταρταῖοι κτείνουσιν ἢ πρόσθεν. —

Ἰστέον ὅτι ὁ Ἱπποκράτης οἶδε τὴν τρίτην ἡμέραν κρίνουσαν. ἔφη γάρ, οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι παύονται ἢ πρόσθεν. ἔμπροσθεν δὲ τῆς τετάρτης ἡμέρας ἡ τρίτη ἐστίν. ἡ γὰρ δευτέρα παρὰ πᾶσιν ὡμολόγηται, ὅτι οὐδέποτε κρίνει. οὐκοῦν περὶ τῆς τρίτης ἡμέρας νῦν λέγει ὁ Ἱπποκράτης. σκόπει δὲ ὅτι ἐνταῦθα [ὅτι] τὸ, εὐηθέστατοι τῶν πυρετῶν, ἐπὶ 1) ἀγαθῷ ἔλαβεν ἀντὶ τοῦ ἁπλούστατοι, ὑπεναντίως τοῖς ἀττικοῖς. οἱ γὰρ ἀττικοὶ 2) πάντως τὸ εὔηθες ἐπὶ κακῷ λαμβάνουσιν. οὕτω γοῦν εὐήθεις ἀνθρώπους καλοῦσιν ἀντὶ τοῦ τυχὸν, ὅτι δυσχερεῖς εἰσιν οὗτοι οἱ ἄνθρωποι. σπανίως δέ ποτε τὸ εὔηθες ἐπὶ ἀγαθῷ λαμβάνουσιν. ὁ μέντοι Ἱπποκράτης ἐπὶ ἀγαθῷ τὸ εὔηθες τέθεικε, καὶ ὅτι ἐπὶ καλῷ καὶ ἐπὶ ἀγαθῷ ἔλαβε, δηλοῖ τὸ ἀντιτάξαι αὐτὸν, οἱ δὲ κακοηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων δεινοτάτων, ἐντὸς τῆς τετάρτης ἡμέρας κτείνουσιν ἢ πρόσθεν, τυχὸν ἐν τῇ 3) τετάρτῃ ἡμέρᾳ. ἀσφαλέστατα δὲ σημεῖα καὶ βέβαια καὶ ἀγαθὰ λέγει ἐπὶ τῶν ἁπλουστάτων καὶ εὐηθεστάτων πυρετῶν ταῦτα· τὸ εὔπνουν εἶναι τὸν ἄνθρωπον, τὸ εὐόρεκτον εἶναι, τὸ πέττειν καλῶς καὶ δεόντως, τὸ ὑπνοῦν εἰς νύκτα, τὸ στρέφεσθαι ῥᾳδίως ἔνθεν καὶ ἔνθεν. ἐὰν οὖν ταῦτα συνδράμωσιν ἐντὸς τῆς τετάρτης ἡμέρας ἢ ἐν τῇ τρίτῃ, παύονται οἱ πυρετοί. δεινότατα δὲ σημεῖα λέγει ἐπὶ τῶν κακοηθεστάτων πυρετῶν, τὸ δύσπνουν εἶναι τὸν ἄνθρωπον, τὸ ἀνόρεκτον, τὸ μὴ καλῶς πέττειν, ἡ ἀγρυπνία, τὸ ὀδυνᾶσθαί τι τῶν ὑποχονδρίων, τὸ ἀλλοφάσσειν τουτέστι τὸ ληρεῖν, τὸ ἄλλο ἀντ᾽ ἄλλου φθέγγεσθαι καὶ τὰ τοιαῦτα. ἐὰν ταῦτα συνέλθωσιν ἐπὶ τῶν κακοηθεστάτων πυρετῶν, ἐντὸς τῆς τετάρτης ἀπόλλυνται ἢ πρόσθεν.

---

1) ἀγαθῶν L. 2) πάντες M. 3) Fort. τρίτῃ legendum.

Μετὰ δὲ ταῦτα ἐν τῷ αὐτέῳ τρόπῳ καὶ κατὰ τὴν αὐτὴν πρόσθεσιν καὶ τὰ ἑξῆς. —

Τὸ λεγόμενόν ἐστι τοιοῦτον, ὅτι αἱ τρεῖς ἑβδομάδες τὴν εἰκοστὴν ἡμέραν ἀποτελοῦσι κρίσιμον τῶν δύο πρώτων ἑβδομάδων κατὰ διέχειαν ἀριθμουμένων, ὡς ποιεῖν τὴν τεσσαρεσκαιδεκάτην κρίσιμον. εἶτα ἡ τρίτη ἑβδομὰς κατὰ συνέχειαν ἀριθμουμένη τὴν εἰκάδα ποιεῖ κρίσιμον. εἰπὼν οὖν, μετὰ δὲ ταύτας ἐν τῷ αὐτῷ τρόπῳ καὶ κατὰ τὴν αὐτὴν πρόσθεσιν, — φησὶν, ὅτι δεῖ κατὰ τὸν αὐτὸν τρόπον ἀριθμεῖν, καὶ ἡ τεσσαρακοστὴ καὶ ἡ ἑξηκοστὴ καὶ ἡ ὀγδοηκοστὴ εὑρίσκονται κρίσιμοι. τριακοστὴν δὲ τετάρτην ἐμνημόνευσεν, ἵνα δείξῃ σοι, ὅτι αἱ δύο 1) πρῶται ἑβδομάδες κατὰ διέχειαν ἀριθμοῦνται, ἡ δὲ ἑτέρα κατὰ συνέχειαν ἀριθμουμένη, ἡ τεσσαρακοστὴ ἡμέρα ὑπαντᾷ κρίσιμος. ἰστέον δὲ ὅτι καὶ τετραδικῶς καὶ ἑβδομαδικῶς ἀριθμούμεναι αἱ περίοδοι τὴν εἰκοστὴν ἡμέραν ἀπαρτίζουσι κρίσιμον. καὶ μάλιστα ταῖς τετραδικαῖς προσέχομεν τὸν νοῦν μέχρι τῆς εἰκοστῆς ἡμέρας. ἀπὸ δὲ τῆς εἰκοστῆς οὐκέτι ταῖς τετραδικαῖς περιόδοις προσέχομεν τὸν νοῦν, ἀλλὰ ταῖς ἑβδομαδικαῖς. ὅθεν 2) ἀπὸ τὴν εἰκοστὴν τριακάδα τετάρτην ἐμνημόνευσε. καὶ τίς ἡ αἰτία τούτου; καὶ λέγομεν ὅτι ἐπὶ τῶν ὀξέων νοσημάτων λεπτή ἐστιν ἡ ὕλη καὶ ὡς λεπτὴ ἐντὸς τῆς τετάρτης 3) πάντως τι πάσχει. καὶ διὰ τοῦτο τετραδικῶς ἀριθμοῦμεν μέχρι τῆς εἰκάδος, ἀπὸ δὲ τῆς εἰκοστῆς οὐκέτι τετραδικῶς, ἀλλ᾽ ἑβδομαδικῶς ἀριθμοῦμεν· ἐπειδὴ ὅσον χρονίζει τὸ νόσημα, τοσοῦτον καὶ ἡ ὕλη νωθροτέρα καὶ παχυτέρα γίνεται, καὶ διὰ τοῦτο καὶ τὸ νόσημα χρονιώτερον γίνεται. καὶ ἑβδομαδικῶς μὲν ἀριθμοῦμεν μέχρι τῆς ὀγδοηκοστῆς ἡμέρας. ἀπὸ δὲ τῆς ὀγδοηκοστῆς οὐκέτι ἡμέρας ἀριθμοῦμεν, ἀλλὰ μῆνας τέσσαρας, καὶ ἑπτὰ καὶ ἕνδεκα, καὶ δεκατέσσαρα. εἶτα λοιπὸν ἀπαριθμοῦμεν ἔτη τέσσαρα καὶ ἑπτὰ καὶ ἕνδεκα καὶ τεσσαρακαίδεκα. εἶτα καὶ τοῦτο πολύς ἐστιν ὁ Ἱπποκράτης ἐν ἀφορισμοῖς ἀποδεικνύων, ἐν οἷς φησιν ὅτι τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν αἱ μεταβολαὶ τῶν ὡρέων καὶ τῶν ἡλι-

---

1) αἱ add. L. 2) Sic! Fort. μετὰ. 3) πάντα M.

κιῶν ἀπαλλάσσουσιν, ἀλλὰ καὶ ἐπὶ τῶν θηλέων ἐπὶ τῶν χρονίων νοσημάτων, ἀπαλλάσσεσθαι αὐτὰς ἐν ταῖς τῶν καταμηνίων ῥήξεσιν. αἱ δὲ ῥήξεις ἐν τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει γίνονται.

Κεφαλῆς δὲ ὀδύναι ἰσχυραὶ καὶ ξυνεχέες σὺν πυρετῷ ξυνεχεῖ καὶ ἰσχυρῷ, δεινὸν καὶ τὰ ἑξῆς. —

Ἐνταῦθα ὀξὺ ὑποτίθεται νόσημα καὶ τὴν ὕλην διάφορα ἐπηρεάζουσαν μόρια. ἀλλὰ τὸ τέως τὴν κεφαλὴν ὑποτίθεται ἐπηρεαζομένην καὶ σημειοῦται κεφαλαλγίαν, οὐ τὴν ἐπὶ πνεύμασι γινομένην. αὕτη γὰρ 1) τονώδης ἐστίν· ἀλλ' οὐδὲ τὴν ἐπὶ χολῇ γινομένην. αὕτη γὰρ δακνώδης ἐστίν· ἀλλ' οὐδὲ τὴν κατὰ συμπάθειαν τῶν μηνίγγων τὴν ἐπὶ φλεγμονῇ γινομένην. οὐδὲ γὰρ ὅλως μέμνηται φλεγμονῆς, ἀλλὰ κεφαλαλγίαν νῦν ὑποτίθεται τὴν ἐπὶ ἐμφράξει αἵματος καὶ πλήθει γινομένην. αὕτη γὰρ ἡ κεφαλαλγία χειρίστη ἐστὶ διὰ τὸ συνεχὲς καὶ ἐπίμονον τῆς ὀδύνης, ἔνδον οὔσης τῶν ἀγγείων τῆς αἱματικῆς ὕλης, καὶ μάλιστα κακίστη ἐστὶν ἡ τοιαύτη κεφαλαλγία, εἰ καὶ ὀξύς ἐστιν ὁ πυρετὸς διὰ τὸ κύριον τοῦ μορίου, πρωτίστου ὄντος. ἐγκέφαλος γάρ ἐστίν. καὶ ἀνέλπιστός ἐστιν ὁ κίνδυνος. εἰ γὰρ ἄνευ πυρετοῦ παγχάλεπός ἐστιν ἡ τοιαύτη κεφαλαλγία, πολλῷ μᾶλλον, εἰ καὶ ὀξὺς πυρετὸς σύνεστιν.

Εἶτα καὶ σημεῖα λέγει ἐπὶ τῆς κεφαλαλγίας τῆς ἄνευ πυρετοῦ ὀξέος, ἐφ' ᾧ ἀνέλπιστος ὁ θάνατος. καί φησιν ὅτι δύσπνους ἐάν ἐστιν ὁ ἄνθρωπος καὶ ἀνόρεκτος καὶ παραφροσύνη σύνεστιν αὐτῷ, ἔσο γινώσκων, ὅτι πάντως ἀπόλλυται ὁ ἄνθρωπος. εἰ δέ γε τυχὸν ἔμπνους ἐστὶν ὁ ἄνθρωπος καὶ εὐόρεκτος καὶ οὐ παραφρονεῖ, γίνωσκε ὅτι καὶ οὕτως οὐ πάντως περισώζεται, διὰ τὸ κύριον τοῦ μορίου. εἰ δέ γε καὶ περισώζεται, παραδίδωσιν ἡμῖν σημεῖα, ἐφ' ὧν λύεται τὸ νόσημα καί φησιν, ὅτι ἡ τοιαύτη κεφαλαλγία ἢ δι' ἐμπυημάτων 2) ἢ δι' αἱμοῤῥαγίας. τί γὰρ ὅτι φέρεται δι' ὑπερώας ἐπὶ θώρακα καὶ 3) πνεύ-

1) τρομώδης L. 2) ἢ δι' αἱμοῤῥαγ. om. M. A. 3) πνεῦμα M. A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 224 sur 382

μονα καὶ δεύτερον πλοῦν ὁδεύουσα ἡ φύσις, πυοποιεῖ τὴν τοιαύτην ὕλην, καὶ εἰς ἐμπύημα μεθίστησι, καὶ τῷ χρόνῳ ἀναπτύεται καὶ ἀνακαθαίρεται καὶ οὕτως περισώζονται.

Εἶτα καὶ λέγει ἡμῖν σημεῖα, ἐφ' ὧν ὀφείλομεν γνῶναι εἴτε δι' αἱμοῤῥαγίας ῥινῶν ἔχει γενέσθαι ἡ ἀπαλλαγὴ τῆς κεφαλαλγίας, εἴτε δι' ἐμπυημάτων. καὶ παραδίδωσιν ἡμῖν 1) σημεῖα τρία, ἀπὸ τοῦ τόπου, ἀπὸ τοῦ χρόνου καὶ ἀπὸ τῆς ἡλικίας.

Καὶ ἀπὸ τοῦ τόπου, εἰ ἔμφραξις 2) γίνεται τῷ πλήθει τοῦ αἵματος ἢ ἐντὸς τοῦ περικρανίου ὀστοῦ ἐν τοῖς ἀγγείοις, ἢ ἐκτὸς τῆς κεφαλῆς. καὶ εἰ μὲν ἐντός ἐστιν ἡ ἔμφραξις, δεύτερον πλοῦν ὁδεύουσα ἡ φύσις εἰς τὰ παρακείμενα μόρια τουτέστιν ἐν ταῖς μήνιγξι πυοποιεῖ τὴν τοιαύτην ὕλην, καὶ διὰ ῥινῶν ἢ καὶ δι' ὤτων ἐκκρίνεται τὸ πῦον, καὶ οὕτως περισώζονται. ὡράθη γὰρ πολλάκις τοῦτο γινόμενον· ἢ φέρεται δι' ὑπερώας ἐπὶ τὸν πνεύμονα καὶ εἰς ἐμπύημα μεθίστησι τὴν ὕλην, καὶ ἀνακαθαίρεται τὸ ἐμπύημα, καὶ περισώζονται. εἰ δὲ ἐκτός ἐστιν, ἐπειδὴ καὶ μύες καὶ ἀξιόλογοι φλέβες εἰσὶ, δῆλον ὅτι καὶ θερμότεροί εἰσιν οἱ τόποι ἐκεῖνοι, καὶ δεῖ διὰ ῥινῶν προσδοκᾷν τὴν ῥύσιν τοῦ αἵματος καὶ οὕτως παύεται ἡ τοιαύτη κεφαλαλγία.

Ἀπὸ δὲ τοῦ χρόνου, ἐὰν ὀξὺς 3) ὁ πυρετὸς εἴη καὶ πάντα ὀξυκίνητά εἰσι, δίψος καὶ τὰ λοιπὰ, γίνωσκε ὅτι δι' αἱμοῤῥαγίας ἔχει 4) λυθῆναι καὶ τάχιον ἡ κεφαλαλγία. εἰ δέ γε βληχρός ἐστιν ὁ πυρετὸς καὶ ὑφειμένα πάντα, καὶ οὐδὲν κατεπείγει, γίνωσκε ὅτι χρονιωτέρα γίνεται ἡ ἀπαλλαγή.

Ἀπὸ δὲ τῆς ἡλικίας, ἐὰν θερμή ἐστιν ἡ ἡλικία, τυχὸν παιδικὴ ἢ ἀκμαστικὴ μετὰ καὶ τῶν ἄλλων συστοίχων, γίνωσκε ὅτι δι' αἱμοῤῥαγίας παύεται τὸ νόσημα. εἰ δὲ

1) διὰ τριῶν σημείων M. 2) γένηται M. 3) εἴη ὁ πυρ. M. 4) παυθῆναι M. A.

παρακμαστικὴ ἐστιν ἡ ἡλικία καὶ γεροντικὴ, γίνωσκε ὅτι δι᾽ ἐμπνημάτων ἡ ἀπαλλαγὴ γίνεται τῆς κεφαλαλγίας.

Εἶτα καὶ γνωρίσματα ἡμῖν παραδίδωσι μελλούσης γίνεσθαι αἱμοῤῥαγίας διὰ ῥινῶν καί φησιν, ὅτι κνῶνται τὴν ῥῖνα, αἱ φλέβες αἱ ἐν τοῖς ὀφθαλμοῖς ἔνογκοι γίνονται, πυραυγῆ φαντάσματα ὁρῶσι πρὸ τῶν ὀφθαλμῶν καὶ τὰ τοιαῦτα.

Δεύτερον κεφάλαιόν ἐστιν, ἐν ᾧ ὑποτίθεται τὴν ὕλην τὴν δριμεῖαν καὶ διαβρωτικὴν οὐκέτι τὴν κεφαλὴν ἐπηρεάζουσαν, ἀλλὰ φερομένην εἰς τὸ ἀκουστικὸν νεῦρον καὶ ποιοῦσαν φλεγμονὴν χαλεπωτάτην. καὶ ἐπικίνδυνός ἐστιν ἡ τοιαύτη διάθεσις διά τε τὸ παράκεισθαι τὸν ἐγκέφαλον, τὴν τοιαύτην ἀρχὴν, καὶ διὰ τὸ τὴν δευτέραν αἴσθησιν ἐπηρεαζομένην εἶναι καὶ πάσχουσαν. τί γὰρ ὅτι καὶ ὀξὺς πυρετὸς συνεδρεύει καὶ σπασμὸς διὰ τὸν ἐγκέφαλον. ἀλλὰ καὶ παραφροσύνη γίνεται, καὶ διὰ τοῦτο χαλεπωτάτη καὶ ἐπικίνδυνός ἐστιν ἡ τοιαύτη διάθεσις. μάλιστα δὲ οἱ ἀκμάζοντες περιτυγχάνοντες τῇ τοιαύτῃ διαθέσει ἀπόλλυνται ἤπερ οἱ γέροντες. καὶ ἡ αἰτία δήλη ἐστίν. οἱ γὰρ ἀκμάζοντες μᾶλλον ἀπόλλυνται διὰ τὸ περιττὸν τῆς αἰσθήσεως. μεγάλας γὰρ ὑφίστανται καὶ σφακελώδεις καὶ σφοδροτέρας τὰς ὀδύνας, καὶ μὴ ὑποφέροντες ἀπόλλυνται. περισώζονται δὲ οἱ γέροντες, ἐπειδὴ οὐκ ἔχουσιν οὕτως ἠκριβωμένην τὴν αἴσθησιν, ἀλλ᾽ ἀσθενῆ καὶ ἀδρανῆ, καὶ οὐχ οὕτως μεγάλας καὶ σφακελώδεις ὑφίστανται τὰς ὀδύνας. εἰ δέ γε συμβαίη ποτὲ τὸν δεύτερον πλοῦν ὁδεῦσαι τὴν φύσιν καὶ πυοποιῆσαι τὴν ὕλην, μᾶλλον οἱ ἀκμάζοντες περισώζονται, ἐὰν ὑπενέγκωσι τὰς ἐν τῷ μέσῳ τῆς πυοποιήσεως ὀδύνας, ἤπερ οἱ γέροντες, ἐπειδὴ τοῖς ἀκμάζουσι καὶ πλούσιόν ἐστι τὸ ἔμφυτον θερμὸν καὶ ἡ δύναμις ἐῤῥωμενεστέρα ἐστὶ, καὶ τοτηνικαῦτα ὕλη ὡς 1) ὅλη μεταβάλλεται καὶ πέττεται ἡ ὕλη καὶ διαφορεῖται τῇ περιουσίᾳ τοῦ θερμοῦ καὶ τῇ ῥώμῃ τῆς δυνάμεως. οἱ δὲ γέροντες ἀπόλλυνται μᾶλλον, ἐπειδὴ οὐκ ἔστι περιουσία θερμοῦ ἐν αὐτοῖς, ἀλλ᾽ ἀμυδρά ἐστι καὶ

1) ὅλην M.

ἀνίσχυρος, ἀλλὰ καὶ ἡ δύναμις ἀσθενεστέρα ἐστὶν ἐπ' αὐτῶν, καὶ τοτηνικαῦτα οὐ πέττεται οὐδὲ διαφορεῖται ἡ ὕλη, ὅθεν τῷ μήκει τοῦ χρόνου καὶ ὑποτροπιασμοὺς ὑπομένουσι καὶ οὕτως ἀπόλλυνται.

Τρίτον κεφάλαιόν ἐστιν, ἐν ᾧ ὑποτίθεται τὴν δριμεῖαν καὶ διαβρωτικὴν ὕλην φερομένην ἐπὶ φάρυγγα καὶ λάρυγγα. καὶ φάρυγξ ἐστὶν ἡ ἔνδον ἀχάνεια τοῦ στόματος, ἡνίκα ἐπὶ τὰ κάτω πιλοῦντες τὴν γλῶσσαν ὁρῶμεν αὐτὴν καὶ ψαύομεν, 1) ἧτινι ἀποπερατοῦνται καὶ οἱ δύο πόροι, ὅ τε τοῦ οἰσοφάγου καὶ ὁ τοῦ λάρυγγος. 2) ἐὰν ἐκεῖ ἐνεχθῇ ἡ ὕλη, χαλεπώτατόν ἐστι, μάλιστα συνεδρευόντων καὶ τῶν χαλεπῶν συμπτωμάτων, λέγω δὴ ὀξὺς πυρετὸς, δύσπνοια, δυσκαταποσία καὶ τὰ τοιαῦτα, ἐπειδὴ καὶ ἡ κατάποσις καὶ ἡ ἀναπνοὴ περὶ τὸ ζῆν ἡμῖν συμβάλλουσι. τούτων δὲ βλαπτομένων, ἀνέλπιστός ἐστιν ἡ ζωή. εἶτα καὶ διορίζει ἑκάτερον καὶ λέγει ἰδίᾳ καὶ χωρὶς τῆς τε λάρυγγος καὶ τῆς φάρυγγος πάθη. καὶ ὑποτίθεται ὁ Ἱπποκράτης τὴν ὕλην τὴν δριμεῖαν καὶ διαβρωτικὴν ἐπὶ φάρυγγα ἐνεχθεῖσαν καὶ καταλέγει τρεῖς διαφορὰς κυνάγχης ὁμωνύμως τῷ γένει ἀμφότερα τὰ πάθη κοινῶς πάσας. οἱ μέντοι ἐξηγηταὶ ὑπὸ διαίρεσιν ἀνάγοντες τὸν λόγον, τέσσαρας διαφορὰς λέγουσι 3) κυνάγχης, καὶ ἑκάστη ἰδίᾳ καὶ χωρὶς ὀνόματα ἐπιτιθέασι. φασὶ γὰρ ὅτι αὕτη ἡ δριμεῖα ὕλη φερομένη ἐπὶ λάρυγγα 4) ἢ εἰς τοὺς ἔνδον μύας τοῦ λάρυγγος φέρεται ἢ εἰς τοὺς ἐκτός, καὶ εἰ μὲν εἰς τοὺς ἔνδον, ποιεῖ φλεγμονὴν ἥντινα φλεγμονὴν καὶ οἱ ἐξηγηταὶ καὶ ὁ Ἱπποκράτης κυνάγχην ὀνομάζουσιν, ἥτις φλεγμονὴ οὔτε τῇ ὁράσει ὑποπίπτει οὔτε τῇ ἁφῇ. ἔνδον γάρ ἐστιν ἡ φλεγμονή. καὶ διὰ τοῦτο κακίστη ἐστὶ καὶ ἐπικίνδυνος. τῆς γὰρ φλεγμονῆς εἰς τοὺς ἔνδον μύας γινομένης, μεγίστη γίνεται ὀδύνη καὶ σφακελώδης, ἀλλὰ καὶ ἡ κατάποσις ἐμποδίζεται καὶ δυσχερὴς γίνεται, ἀλλὰ καὶ δύσπνοια παρακολουθεῖ, καὶ κινδυνεύουσι πνιγμωδῶς.

---

1) ἢ ἔνθα M. A. 2) ἐὰν om. Codd. 3) δυσπνοίας L. 4) καὶ — καὶ M. A.

Εἰ δέ γε εἰς τοὺς ἔξωθεν μύας ἐνεχθῇ ἡ ὕλη καὶ ἡ φλεγμονὴ εἰς αὐτὰ συσταίη εἰς τὰ 1) περὶ τὸν τράχηλον καὶ αὐχένα χωρία, καλοῦσιν οἱ ἐξηγηταὶ τὴν τοιαύτην διάθεσιν παρακυνάγχην, ἥτις οὐδέ ἐστι χαλεπὴ ὥσπερ ἡ πρώτη. ἡ μὲν γὰρ ὀδύνη συνέστη διὰ τὴν φλεγμονὴν, ἀλλ' ὑφειμένη, ἀλλ' οὐδὲ ἡ κατάποσις κωλύεται οὕτως, ἀλλ' οὐδὲ δύσπνοια παρακολουθεῖ, ἐπειδὴ ἔξω ἐστὶν ἡ φλεγμονή. εἰ μέντοι χρονίζει, καὶ οὗτοι ἀπόλλυνται.

Εἶτα ὑποτίθεται φερομένην τὴν ὕλην ἐπὶ φάρυγγα. καὶ ἐνταῦθα ἢ εἰς τοὺς ἔνδον μύας τῆς φάρυγγος φέρεται ἡ ὕλη ἢ εἰς τοὺς ἐκτός. καὶ εἰ μὲν εἰς τοὺς ἔνδον, οὐ γίνεται ὄγκος φλεγμονώδης, ἀλλ' ὄγκος ἐρυσιπελατώδης, ἔχων ἔρευθος, ὡς ἀπὸ χολωδεστέρου καὶ λεπτοτέρου αἵματος γινομένου τοῦ ῥευματισμοῦ, ὅντινα ἐρυσιπελατώδη ὄγκον συνάγχην ὀνομάζουσιν οἱ ἐξηγηταὶ ἰδίως, ἥτις οὐδέ ἐστιν ἐπικίνδυνος, ὥσπερ αἱ πρῶται διαθέσεις. αὕτη δὲ ἡ διάθεσις καὶ ὁρᾶται, ἀνοιγομένου τοῦ στόματος, οὐκ ἔστι δὲ ἐπικίνδυνος, ἐπειδὴ οὐδὲ οὕτως ὀδυνῶνται σφοδρῶς, οὔτε δύσπνοια παρακολουθεῖ, ἀλλ' οὐδὲ δυσχεραίνουσι περὶ τὴν κατάποσιν, εἰ μὴ ἐπ' ὀλίγον τι. εἰ δέ γε ὡς ἐλαχίστη τις μοῖρα τῆς ὕλης ἔλθῃ εἰς τοὺς ἔνδον μύας 2) τῆς φάρυγγος, καὶ ποιήσῃ μικρὸν ἔρευθος, τὸ δὲ πλεῖστον τῆς ὕλης ἐνεχθῇ εἰς τοὺς ἔξω μύας, λέγεται τὸ πάθος παρασυνάγχη, ἥτις περὶ τὸν τράχηλον καὶ τὸν αὐχένα συνίσταται, ἥτις καὶ σαφῶς ὁρᾶται. αὕτη δὲ ἡ διάθεσις ἀκινδυνοτέρα πασῶν ἐστιν, ἐπειδὴ 3) οὐδὲ παρεμποδίζεται τῇ καταπόσει, οὔτε μὴν ὀδύνη παρακολουθεῖ, ἀλλ' οὐδὲ δύσπνοια ἕπεται, ἐπειδὴ ἐκτός ἐστιν ἡ φλεγμονὴ καὶ διὰ τοῦτο ἀκινδυνοτέρα ἐστὶν, εἰ μή τι, ὡς φησὶν Ἱπποκράτης, ἐξαίφνης ἀφανὴς γένηται ἡ τοιαύτη φλεγμονή. ἐὰν γὰρ ἐξαίφνης ἀφανὴς γένηται, δηλοῖ ὅτι ἐγκαταλιποῦσα ἡ ὕλη τὰ ἀκυρότερα μόρια καὶ τὰ ἐπιπολῆς, ἐπὶ τὸ βάθος καὶ ἐπὶ τὰ κυριώτερα μόρια ἔῤῥευσεν ἡ ὕλη. καὶ ὅσον οὔπω κίνδυνος ἕπεται ἀπειλῆς καὶ

1) παρὰ M. 2) τοῦ L. 3) οὐδὲν παρέμποδος γίνεται τῆς καταπ. M. A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 228 sur 382

θανάτου, εἰ μὴ 1) ἄρα ὅτι μετὰ τὸ ἐξαίφνης ἀφανῆ γενέσθαι 2) τὴν φλεγμονὴν καὶ πύου πλῆθος, ἀναγωγὴ γένηται, ἢ πτυέλου πλῆθος ἐκκριθῇ, καὶ οὕτως κενωθεῖσα ἡ ὕλη, ἐλευθερωθῶσι τοῦ κινδύνου.

Τοῖσι δὲ νεωτέροισι πέντε καὶ τριάκοντα ἐτέων. —

Ἰστέον ὅτι ὁ Ἱπποκράτης τὴν ἀκμαστικὴν ἡλικίαν μέχρι τοῦ λε΄ 3) χρόνου εἶναι λέγει· πλὴν ὁ Ἱπποκράτης τὸ ὡς ἐπίπαν θεωρήσας, εἶπε τοῦτο, ἐπείτοι γε ἡ κρᾶσις ἐστὶν ἡ ἐπιτιθεῖσα τοὺς ὅρους ταῖς ἡλικίαις. πολλοὶ μὲν γὰρ θερμοὶ ὄντες τὴν κρᾶσιν καὶ μέχρι τῶν τεσσαράκοντα ἐτῶν καὶ πεντήκοντα ἤκμασαν κατὰ τὴν ἡλικίαν, ἄλλοι δὲ ψυχροὶ ὄντες τῇ κράσει μέχρι τῶν 4) τριάκοντα ἐτῶν ἤκμασαν.

Παραφρονῆσαι γὰρ κίνδυνος τὸν ἄνθρωπον καὶ ἀπολέσθαι. —

5) Ἐπιχειροῦσί τινες καὶ ὅσον ἐκ τοῦ νῦν λεγομένου, καὶ λέγουσιν ἐν ἐγκεφάλῳ εἶναι τὸ ἡγεμονικὸν ὡς καὶ τῷ Γαληνῷ δοκεῖ. ἐὰν γὰρ, πυοποιουμένης τῆς ὕλης ἐν τῇ ἀκοῇ, παραφροσύνη ἐπακολουθῇ, διὰ τὸ 6) ἐπιπαράκεισθαι τὸν ἐγκέφαλον. ἡ δὲ παραφροσύνη βλάβη ἐστὶ τῶν ἡγεμονικῶν ἐνεργειῶν. οὐκοῦν ἐν ἐγκεφάλῳ ἐστὶ τὸ ἡγεμονικόν. ὁ δὲ νέος ἐξηγητὴς λέγει, ὅτι οὐ διὰ τὸν ἐγκέφαλον γέγονεν ἡ παραφροσύνη, ἀλλὰ διὰ τὸν πυρετόν. ἔφη γὰρ ὅτι ὀξὺς πυρετὸς σύνεστιν. ὁ δὲ πυρετὸς ἀπὸ καρδίας 7) ὁρμᾶται. διὰ δὲ τὸν πυρετὸν παραφροσύνη γίνεται. οὐκοῦν ἐν καρδίᾳ ἐστὶ τὸ ἡγεμονικόν.

Οἱ δὲ γαργαρεῶνες ἐπικίνδυνοι ἀποτέμνεσθαι καὶ ἀποκαίεσθαι καὶ ἀποσχάζεσθαι, ἔστ᾽ ἂν ἐρυθροί τε ὦσι καὶ μεγάλοι. —

8) Νῦν διαλέγεται ὁ Ἱπποκράτης ἀπὸ τοῦ γαργαρεῶνος καὶ σημειοῦται καὶ τὰ ἐν αὐτῷ συνιστάμενα πάθη, καὶ συμπλέκει τῷ σημειωτικῷ λόγῳ καὶ θεραπευτικὴν

1) ἄρα] τι M. μετὰ om. L. 2) τὸν ὄγκον L. 3) χρόνου pro ἔτους. 4) μ΄ M. A. 5) περὶ ὠτὸς ὀδύνης L. in mg. 6) ἐπίκεισθαι M. A. 7) ὥρμηται M. A. 8) περὶ γαργαρεώνων L. in mg.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 229 sur 382

θεωρίαν. ἐπειδὴ οὖν πρόκειται αὐτῷ περὶ γαργαρεῶνος διαλεχθῆναι, πέντε τινὰ περὶ τοῦ γαργαρεῶνος ζητήσωμεν· πρῶτον τὴν οὐσίαν αὐτοῦ, δεύτερον τὴν χρείαν, τρίτον τὴν ἐνέργειαν, τέταρτον τὰ πάθη τὰ συνιστάμενα ἐν αὐτῷ, καὶ πέμπτον τὰς θεραπείας.

Καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου. τίς ἡ οὐσία τοῦ γαργαρεῶνος; σαρκώδης ἐστί. κατά τινας δὲ ἁπλῆ ἐστι σὰρξ ἐκ τῆς πήξεως τοῦ αἵματος.

Ἡ δὲ ἐνέργειά ἐστι τοῦ 1) γαργαρεῶνος, τὸ δίκην πλήκτρου τὸ ἐκπνεόμενον πνεῦμα ἀπὸ θώρακος τυγχάνειν καὶ ἀποτελεῖν τὴν φωνήν. τί γὰρ ὅτι τοῦ πνεύματος 2) ἀπωθουμένου ἀπὸ θώρακος, δίκην πλήκτρου προσκροῦον ἐν τῷ γαργαρεῶνι μορφοῦται καὶ οἷον εἰδοποιεῖται καὶ ῥυθμίζεται, καὶ ποιεῖ τὴν ἀπήχησιν τῆς φωνῆς.

Ἡ δὲ χρεία διάφορός ἐστι. τί γὰρ ὅτι χρειώδης ἐστὶν ὁ γαργαρεὼν πρὸς τὰς ἀκρατεῖς καὶ ἀκολάστους καὶ ἀμέτρους τοῦ ἀέρος πνοὰς, τυχὸν ὅτε θερμὸς εἰσπνεῖται ἄγαν ἀὴρ ἢ ψυχρὸς, τούτων ὁ γαργαρεὼν κολάζει τὴν ἀμετρίαν τοῦ ἀέρος καὶ ἄκρατον ἐν τῇ εἰσπνοῇ καὶ ἐν συμμετρίᾳ ἄγει, καὶ οὐκέτι πληκτικὸς εὑρίσκεται ὁ εἰσπνεόμενος ἀὴρ τῆς τραχείας ἀρτηρίας καὶ τοῦ 3) πνεύμονος καὶ τῆς καρδίας. ἀλλὰ καὶ καθ᾽ ἕτερον τρόπον χρειώδης ἐστὶν ὁ γαργαρεών. τί γὰρ ὅτι ἀκαθάρτου εἰσπνεομένου ἀέρος, τυχὸν μετὰ κονιορτοῦ ἢ καπνοῦ, ἢ ἄλλως ἀκαθάρτου αὐτοῦ εἰσπνεομένου, ἀποκαθαίρεται δίκην ἰσθμοῦ τὸ ἀκάθαρτον, καὶ καθαρὸν τὴν εἰσπνοὴν τοῦ ἀέρος ποιεῖται.

Τὰ δὲ πάθη τὰ συνιστάμενα ἐν αὐτῷ διάφορά εἰσι. πάσχει γὰρ καὶ ὁμοιομερῆ πάθη, πάσχει καὶ ὀργανικά. καὶ ὁμοιομερῆ μὲν πάσχει, πάσας τὰς δυσκρασίας, ἡνίκα θερμαίνεται ἢ ψύχεται ἢ ξηραίνεται ἢ ὑγραίνεται. ἢ κατὰ συζυγίαν ἑκάστην δυσκρασίαν πάσχει, τυχὸν θερμαίνεται καὶ ὑγραίνεται ἢ θερμαίνεται καὶ ξηραίνεται

1) θωρακεῶνος L. 2) ἐξωθ. M. 3) πνεύματος τῆς L.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 230 sur 382

καὶ 1) τὰς λοιπάς. ἀλλὰ καὶ ὀργανικὰ πάθη πάσχει, 2) παντοίων τυχὸν ὄγκων. ὁ μέντοι Ἱπποκράτης ὀλίγων παθῶν ἐνταῦθα μέμνηται. φησὶ γὰρ ὅτι ὁ γαργαρεὼν ἢ ἰσχναίνεται καὶ ταπεινοῦται, καὶ λέγεται ἱμὰς ὅπερ ἐστὶ λῶρος, ἢ ὅλως ὀγκοῦται καὶ φλεγμαίνει δίκην κίονος καὶ λέγεται κιονὶς, ἢ 3) καταφερὴς γίνεται ὁ ῥευματισμὸς τῆς ὕλης, καὶ τὸ κάτω μέρος φλεγμαίνει καὶ λέγεται σταφυλὴ, ἐοικυῖα τῇ 4) ῥαγὶ τῆς σταφυλῆς. κακὰ δέ ἐστι τὰ πάθη ταῦτα, ἐπειδὴ μεγάλους καὶ τοὺς κινδύνους ἐπιφέρουσι κατὰ δύο τρόπους. τί γὰρ ὅτι πρῶτον μὲν κωλύεται ἡ κατάποσις καὶ ἡ ἀναπνοή. λοιπὸν δὲ καὶ κατ' ἄλλον τρόπον εἰσὶ τὰ πάθη ταῦτα κακὰ, ὅτι κατὰ τὸ συνεχὲς μεταδίδοται τῷ ἐγκεφάλῳ τὸ πάθος καὶ ποιεῖ παραφροσύνας καὶ σπασμούς.

Λοιπὸν δὲ ἡ θεραπεία ζητείσθω, καί φησιν ὅτι ἐὰν ὅλως φλεγμαίνῃ ὁ γαργαρεὼν καὶ λέγεται κιονὶς, καὶ ἐπίφοβός ἐστιν ἡ θεραπεία, οὔτε 5) τομῇ χρεὼν ἐστι χρήσασθαι, οὔτε δὲ καύσει διὰ δύο αἰτίας. ἐπειδὴ γὰρ εὐαίσθητός ἐστιν ὁ γαργαρεὼν διὰ τὸ πλησιάζειν τὸν ἐγκέφαλον, διὰ τοῦτο μεγάλαι ἐπιγίνονται ὀδύναι καὶ ἐπὶ τῇ τομῇ καὶ ἐπὶ τῇ καύσει, ἀλλὰ δεόντως τοῖς στυπτικοῖς καὶ ἀποκρουστικοῖς χρήσασθαι βοηθήμασιν, ἅτινά ἐστι τὸ ὑδροροσάτον ἢ τὸ ἀφέψημα τὸ ἀπὸ τῆς φακῆς καὶ 6) ξυλοκεράτων καὶ ἀκάνθης αἰγυπτίας καὶ στυπτηρίας καὶ τῶν τοιούτων. εἰ δὲ ἐπὶ τὰ κάτω ὁ ῥευματισμὸς τῆς ὕλης γένηται, ὥστε γενέσθαι σταφυλὴν, τότε ἀδεῶς χρῆσθαι καὶ τῇ τομῇ καὶ τῇ καύσει, μὴ ἐκ βάθους καὶ ἄνωθεν, ἐπείτοι γε ἄφωνος γίνεται ὁ ἄνθρωπος, ἐπειδὴ αὐτό ἐστι τὸ μορφοῦν τὴν φωνήν. ἀλλὰ δεῖ κάτω ἐν ᾧ ἐστιν ἡ φλεγμονὴ, τῇ τομῇ χρήσασθαι καὶ τῇ καύσει· πλὴν δέον προσέχειν τὴν φλεγμονήν. εἰ μὲν γὰρ μετά τινος νομώδους ἢ σήψεώς ἐστιν 7) ἡ φλεγμονὴ, τότε δεῖ ἀποτέμνειν ἢ καίειν κατὰ τὸ ἄνω μέρος τὸ 8) ἐναπομένον καὶ τοῖς εἰρημένοις στυπτικοῖς καὶ ἀπο-

---

1) τὰ λοιπὰ M. 2) παντοίως L. ὄγκον L. 3) κατωφερὴς M. 4) ῥογῇ M. A. 5) τομὴν L. 6) Cerasa. 7) ἡ φλεγ. om. M. 8) ἀπομένον M.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 231 sur 382

κρουστικοῖς δέον χρήσασθαι. εἰ δέ γε μηδὲν τούτων σύνεστιν, ἀλλὰ φλεγμονὴ μόνη, τότε δεῖ κατασχάζειν καὶ τέμνειν. τὸ τηνικαῦτα γὰρ διὰ τῶν τομῶν ἐκκενοῦται ἡ ὕλη καὶ ὑγιάζονται ἐπὶ τῇ κενώσει· πλὴν τοῦτο δεῖ σε ποιεῖν καὶ προκαθαίρειν δέον ἐστὶν ὑπηλάτῳ τὴν γαστέρα καὶ κενοῦν αὐτὴν καὶ 1) ἀρευμάτιστον ποιεῖν τὸν τόπον, καὶ εἶθ' οὕτως καίειν ἢ τέμνειν τὴν σταφυλὴν, καὶ χρῆσθαι τοῖς προειρημένοις βοηθήμασι. πλὴν δεῖ σε καὶ τοῦτο γινώσκειν ὡς πολλάκις μεγάλη ἐστὶν ἡ φλεγμονὴ, ὥστε πνιγμὸν ποιῆσαι, καὶ τὸ τηνικαῦτα οὐ δεῖ ἐγχειρεῖν τῇ θεραπείᾳ, ἐπειδὴ οὐ περιγίνονται τοῦ πάθους, ἀλλὰ πνιγμωδῶς ἀπόλλυνται. δέον οὖν ἐστιν ἐκφυγεῖν τὴν θεραπείαν καὶ μὴ ἐγχειρεῖν διὰ τὸ ἄμεμπτον καὶ ἀνέγκλητον φυλάξαι τὴν τέχνην.

Δεύτερόν ἐστι κεφάλαιον ἐν ᾧ ἐπαναλαμβάνεται περὶ τῶν ἤδη λεχθέντων ἀποστημάτων· ἀλλὰ πρὸ τούτου περὶ τῶν ἐξ ὑποστροφῆς γινομένων νοσημάτων κεφαλαιωδῶς διαλέγεται, καί φησιν ὅτι πυρετοὶ ἀθρόως παύονται, μὴ φανέντων τῶν λυτηρίων σημείων, μηδὲ ἐν κρισίμοις ἡμέραις γινομένων, ἀτελῶς καὶ ἐλλιπῶς, τυχὸν οὔρου 2) πλήθος κένωσις, ἢ γαστρόῤῥοια ἢ αἱμοῤῥαγία, ἀλλ' 3) οὕτως ἀνεπαισθήτως ἀθρόως ἐπαύθησαν οἱ πυρετοὶ, τότε γίνωσκε ὅτι τὰ τοιαῦτα νοσήματα φιλυπόστροφά εἰσι κατὰ τὸ εἰρημένον τῷ Ἱπποκράτει, τὰ γὰρ ἀσήμως ῥαστωνήσαντα φιλυπόστροφά εἰσιν. εἰ δὲ φανέντων τῶν λυτηρίων σημείων, καὶ ἐν κρισίμοις ἡμέραις αὐτῶν φανέντων, τότε ἀσφαλὴς καὶ βεβαία γίνεται ἡ ἀπαλλαγὴ τοῦ νοσήματος.

Τούτων οὕτως προλεχθέντων, διαλέγεται περὶ τῶν ἄνωθεν αὐτῷ λεχθεισῶν ἀποστάσεων, ἀλλὰ πρὸ τούτου δέον ἐστὶν διαιρέσει τινὶ ἐπιμνησθῆναι, ἥντινα διαφόρως εἰρήκαμεν. ἔστι δὲ αὕτη. τῶν νοσημάτων τὰ μέν εἰσιν ὀξέα, τὰ δὲ χρόνια. τὰ δὲ χρόνια νοσήματα διαφόρως γίνονται· ἢ γὰρ δυσλύτως ἔχει τὸ μόριον τῷ πάθει ὥσπερ

1) εὐρευμάτιστον M. A. 2) Num πλήθους? 3) Fort. omissum εἰ.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 232 sur 382

περιπνευμονία καὶ 1) ἕλκος εἰς τὴν κύστιν καὶ νεφρῖτις καὶ τὰ τοιαῦτα, χρόνια ἐνδείκνυται τὰ νοσήματα 2) ἢ διὰ τὸ ὠμὴν καὶ παχεῖαν εἶναι τὴν ὕλην, χρόνια ἐνδείκνυται τὰ νοσήματα, ἢ διά τι περιστατικὸν τυχὸν διὰ λύπην ἐπίμονον καὶ συνεχῆ καὶ φροντίδα ὁμοίως ἐπίμονον, χρόνια γίνονται τὰ νοσήματα. ἐπὶ γὰρ τῶν τοιούτων παθῶν, διὰ τὸ ἀπασχολεῖσθαι τὴν φύσιν, οὐ συμπέττει τὴν ὕλην καὶ τοτηνικαῦτα χρόνια γίνονται τὰ νοσήματα. τὰ δὲ ὀξέα νοσήματα ἐπὶ θερμῇ καὶ λεπτῇ καὶ χολώδει ὕλῃ γίνονται. ἐὰν οὖν 3) ἀποστάσεις ἐπὶ τῶν παθῶν γίνωνται, τῷ τρόπῳ τούτῳ· ἐὰν 4) γὰρ λεπτή ἐστιν ἡ ὕλη καὶ θερμὴ καὶ ἡ δύναμις ἐῤῥωμένη, τότε 5) καὶ πάντως καὶ κατ᾽ ἔκρουν κενοῦται ἡ ὕλη διὰ τῶν φυσικῶν ὑπονόμων, καὶ κριτικῶς παύεται τὸ νόσημα. εἰ δέ γε ὠμή ἐστιν ἡ ὕλη καὶ παχεῖα καὶ γλίσχρα καὶ ψυχρὰ, ὑπόκειται δὲ καὶ ἀσθενὴς ἡ δύναμις καὶ καταβεβλημένη, οἱ τοιοῦτοι φθείρονται καὶ ἀπόλλυνται. εἰ δέ γέ ποτε σπανίως περισώζονται χρόνῳ τινὶ κατακερματιζομένης τῆς ὕλης καὶ εἰς λεπτὰ καταθραυομένης καὶ οἷον συμπεττομένης ἀπό τινος συστοίχου ὥρας θερμῆς ἢ ἡλικίας ἢ καταστήματος θερμοῦ γινομένου, λύεται τὸ νόσημα δι᾽ οὔρων τυχὸν 6) κατὰ σμικρὸν συμπεττομένης, σπανίως δὲ διὰ γαστρὸς καὶ οὕτως λύεται τὸ νόσημα καὶ 7) περισώζονται. εἰ δὲ ὠμῆς καὶ παχείας καὶ 8) γλίσχρου οὔσης τῆς ὕλης καὶ ἔῤῥωται ἡ δύναμις, τότε ἡ φύσις δεύτερον πλοῦν ὁδεύουσα ἀποδιώκει τὴν ὕλην ἀπὸ τῶν κυριωτέρων μορίων ἐπὶ τὰ ἀκυρότερα μόρια καὶ εἰς ἀπόστασιν τρέπεται τὸ νόσημα. καὶ εἰ μὲν ἐπ᾽ ἔλαττόν ἐστιν ἐῤῥωμένη ἡ δύναμις, ἐπὶ τὰ παρακείμενα μόρια πέμπει τὴν ὕλην, τυχὸν ἐπὶ τὰ παρίσθμια. εἰ δὲ ἐπὶ πλέον ἔῤῥωται, ἐπὶ τὰ ἄκρα ἀποδιώκει τὴν ὕλην καὶ οὕτως γίνονται αἱ 9) ἀποστάσεις. εἰ δέ γε λεπτῆς οὔσης τῆς ὕλης καὶ θερμῆς, ἀσθενής τε ἡ δύναμις, τότε μὴ ἰσχύουσα ἡ φύ-

---

1) ἕλκωσις M. A. 2) ἢ — νοσήματα om. L. 3) ἀποστασίαι M. 4) οὖν M. 5) πάντη τε add. M. 6) κατὰ — γαστρὸς om. L. 7) περισώζονται] διὰ γαστρὸς δὲ σπανίως L. 8) Sic! 9) ἀποστασίαι M.

σις ἀπωθῆσαι ἐπὶ τοὺς φυσικοὺς ὑπονόμους τὴν ὕλην, ἐξ ἀνάγκης διὰ τὴν οἰκείαν ἀσθένειαν ἐπὶ τὰ παρακείμενα μόρια πέμπει τὴν ὕλην, καὶ τότε πάλιν εἰς ἀπόστασιν τρέπεται τὸ νόσημα, οὐ διὰ τὴν ὕλην, ἀλλὰ διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως. καὶ οἱ μὲν ἐξηγηταὶ ταῦτα καὶ μόνα ἡμῖν 1) παραδίδωσιν, ὁ μέντοι Ἱπποκράτης ἀπὸ τῆς ἡλικίας λαμβάνει τὴν ἔνδειξιν, καί φησιν ὅτι ἐπὶ τῶν ἀκμαζόντων, ὡς ἐπίπαν αἱ ἀποστάσεις γίνονται, ἐπ' ἔλαττον δὲ ἐπὶ τῶν παρακμαζόντων, ἐπὶ δὲ τῶν γερόντων οὐδόλως γίνονται αἱ ἀποστάσεις. εἰ μὲν γὰρ ἀκμαστική ἐστιν ἡ ἡλικία 2) καὶ θερμὴ καὶ λεπτὴ ἡ ὕλη, ἀσθενὴς δὲ ἡ δύναμις, εἰς ἀποστασίαν τρέπεται τὸ νόσημα. εἰ δὲ ἀκμαστικῆς οὔσης τῆς ἡλικίας, ὠμὴ καὶ παχεῖα καὶ ψυχρὰ καὶ γλίσχρα ἐστὶν ἡ ὕλη, ἐῤῥωμένη δὲ ἡ δύναμις, πάλιν εἰς ἀπόστασιν τρέπεται τὸ νόσημα. ἐπὶ δὲ τῶν παρακμαζόντων ἐπ' ἔλαττον γίνονται αἱ ἀποστάσεις. τί γὰρ ὅτι ὠμὴ καὶ παχεῖα καὶ ψυχρά ἐστιν ἡ ὕλη ἐπ' αὐτῶν, ἐῤῥωμένη δὲ 3) τὸ τέως ἡ δύναμις καὶ διὰ τοῦτο εἰς ἀπόστασιν τρέπεται τὸ νόσημα. ἐπὶ μέντοι τῶν γερόντων ἀμφότερά εἰσι καὶ ὠμὴ καὶ ψυχρὰ καὶ παχεῖα ἡ ὕλη, καὶ ἡ δύναμις ἀσθενὴς, καὶ τοτηνικαῦτα φθείρονται καὶ ἀπόλλυνται. ἀπόστασις γὰρ αὐτοῖς οὐ γίνεται. ταῦτα εἰρηκὼς θεώρημα 4) πάνυ ἀναγκαῖον καὶ ἀσφαλὲς ἐπάγει, καί φησιν, ὅτι ἐπὶ πάντων τῶν ἀποστάσεων τῶν ἤδη λεχθεισῶν συνεχεῖς καὶ ἀδιάκοποί εἰσιν οἱ πυρετοί. εἰ δὲ μετὰ τὸ ἤδη προγενέσθαι χρόνῳ τινὶ τὴν συνέχειαν τῶν πυρετῶν διαδέξηται διάλειμμα, εἶτα μετὰ τὸ διάλειμμα ἐπιγένωνται πλανῆταί τινες πυρετοὶ, γίνωσκε ὅτι εἰς τεταρταῖον πυρετὸν τελευτᾷ.

*Ἀλλὰ χρὴ τὰ τοιαῦτα τοῖσιν ἄλλοισι μηχανήμασι πειρᾶσθαι κατισχναίνειν.* —

Τὸ λεγόμενον τοιοῦτόν ἐστιν, ὅτι ἐπὶ τῆς κιονίδος οὐ δεῖ χρῆσθαι τομῇ ἢ καύσει διὰ τὸ ἀφορήτους γίνεσθαι αἱμοῤῥαγίας, ἀλλὰ καὶ μεγίστας ὀδύνας καὶ παραφροσύ-

1) Fort. παραδιδοῦσιν. 2) καὶ — ἡλικίας om. L. 3) τὸ τέως om. L. ἀποστασίαν M. 4) πάνυ om. M. A.

νας καὶ σπασμοὺς καὶ τὰ τοιαῦτα. ἀλλὰ δεῖ ἐπὶ τῆς τοιαύτης διαθέσεως, λέγω δὴ ἐπὶ τῆς κιονίδος, τοῖς ἄλλοις μηχανήμασι χρῆσθαι, τυχὸν τοῖς ἀποκρουστικοῖς καὶ τοῖς στύφουσι καὶ τοῖς συμπέττουσιν ὁποῖά ἐστιν ἄκανθα αἰγυπτία καὶ ὄμφαξ καὶ 1) κικὶς καὶ φακὴ καὶ στυπτηρία σχιστὴ καὶ ἕτερα πλεῖστα βοηθήματα πρὸς τὸ πάθος ἁρμόζοντα. —

Ἐν τουτέῳ τῷ καιρῷ ἀσφαλὲς διαχειρίζειν. —

Καλῶς πάνυ καὶ θαυμασίως ἐχρήσατο τῇ λέξει, εἰρηκὼς διαχειρίζειν. πλατικωτέρως γὰρ τοῦτο πεποίηκε καὶ οὐκ εἶπεν, ἀσφαλὲς χειρουργεῖν. ἡ γὰρ χειρουργία, πᾶσα ἡ διὰ 2) τῶν χειρῶν γινομένη ἐπιμέλεια τοῖς νοσοῦσι, χειρουργία ὀνομάζεται παρὰ τὸ τὴν χεῖρα ὀργᾷν. καὶ γὰρ καὶ τὸ διακαίειν χειρουργία ὀνομάζεται καὶ τὸ διαβρέχειν καὶ καταπλάττειν καὶ τὸ διατέμνειν καὶ ἁπλῶς πάντα τὰ διὰ τῶν χειρῶν γενόμενα, χειρουργία λέγεται. ἐπειδὴ οὖν τὸ πλεῖστον τῶν ἰδιωτῶν χειρουργίαν τὴν διὰ τοῦ σιδήρου τομὴν καὶ μόνην καλοῦσι, τοῦτο ἐκφυγὼν ὁ Ἱπποκράτης, ἵνα μὴ ἁπλῶς καὶ ὡς ἔτυχεν, ὡς ὁμολογούμενον, λαμβάνωσιν οἱ ἄνθρωποι, ἐκτέμνουσι τὴν σταφυλὴν ἢ τὴν κιονίδα, ἔφη πλατικῇ τῇ φωνῇ ἀσφαλὲς διαχειρίζειν. δεῖ γὰρ καὶ ἐπὶ τῆς σταφυλῆς τοῖς προῤῥηθεῖσι βοηθήμασι χρήσασθαι, καὶ 3) ὅταν κατὰ τὸ κάτω μέρος ἔλθῃ ἡ ὕλη, καὶ ἐκεῖσε γένηται ἡ φλεγμονὴ, τότε δεῖ χρήσασθαι τῇ κατασχάσει καὶ τῇ τομῇ. —

Ὅστις δ᾽ ἂν τῶν πυρετῶν μηκύνῃ περιεστηκῶς διακειμένου τἀνθρώπου, μήτε ὀδύνης ἐχούσης, μήτε διὰ φλεγμονὴν καὶ τὰ ἑξῆς. —

Φησὶν ὅτι ἐὰν ὁ πυρετὸς ἐπίμονός ἐστι καὶ συνεχὴς, ἄνευ ὀδύνης ὑποκειμένης ἐν τῷ βάθει καὶ ἄνευ φλεγμονῆς καὶ ἄνευ τινὸς ἄλλης προφάσεως, τότε γίνωσκε, ὅτι εἰς ἀπόστασιν τρέπεται τὸ νόσημα μετὰ οἰδήματος. ἰστέον δὲ ὅτι πάντες οἱ παλαιοὶ πάντα ὄγκον οἴδημα ἐκάλουν, ἀλλὰ μετὰ προσδιορισμοῦ. προσδιορίζονται γὰρ οὕτως,

---

1) κικίδες M. 2) αὐτῶν M. 3) ὅτε M.

οἴδημα μετὰ ζέσεως ὅπερ ἐδήλουν τὸ ἐρυσίπελας· οἴδημα ἐκάλουν ἐκεῖνον τὸν ὄγκον, τὸν 1) εἴκοντα τῇ ἁφῇ καὶ ἀνώδυνον ὅπερ ἐστὶ τὸ κυρίως οἴδημα. οἴδημα ἐκάλουν καὶ τὸ σκληρὸν καὶ ἀντίτυπον, ὅπερ ἐστὶν ὁ σκίρος. ἐνταῦθα μέντοι οἴδημα τὴν φλεγμονὴν 2) ἐκάλεσεν ὁ Ἱπποκράτης.

Μᾶλλον δὲ γίνονται αἱ τοιαῦται ἀποστάσεις καὶ ἐν ἐλάσσονι χρόνῳ τοῖσι νεωτέροισι πέντε καὶ τριάκοντα ἐτέων. —

Οὐ τοῦτο λέγει ὁ Ἱπποκράτης, ὅτι ὡς ἐπίπαν ἐπὶ τῶν ἀκμαστικῶν αἱ ἀποστάσεις μάλιστα γίνονται, ἐπὶ δὲ τῶν γερόντων οὐ γίνονται ὅλως ἀποστάσεις, ἀλλὰ λέγει ὅτι μάλιστα καὶ ὡς ἐπίπαν ἐπὶ τῶν ἀκμαζόντων γίνονται αἱ ἀποστάσεις, διὰ τὸ πλούσιον τοῦ ἐμφύτου θερμοῦ. γίνονται δὲ καὶ ἐπὶ τῶν γερόντων, ἀλλὰ σπανίως διὰ τὴν ὀλιγότητα τοῦ θερμοῦ.

Καὶ ἐπιλαμβάνειν πεπλανημένῳ τρόπῳ. —

Ἀπορία ἐνταῦθα ἀναφύεται, ἥτις ἐν διαφόροις ἀπορεῖται· ἔχει δὲ οὕτως· διὰ τί ἐπὶ μόνου τοῦ τεταρταίου προηγοῦνται πλανῆται, ἐπὶ δὲ τῶν ἄλλων πυρετῶν τυχὸν τοῦ ἀφημερινοῦ ἢ ἐπὶ τοῦ τριταίου οὔ; καί ἐστι πρώτη λύσις αὕτη, ὅτι διὰ τοῦτο ἐπὶ τῶν τεταρταίων προηγοῦνται πλανῆται, ἐπειδὴ ἐν διαφόροις τίκτεται μορίοις, καὶ ἐν μὲν τούτῳ τῷ μορίῳ ἀπὸ χολῆς ἔχει τὴν γένεσιν, ἐν 3) ἑτέρῳ δὲ ἀπὸ φλέγματος, ἐν ἄλλῳ δὲ 4) ἀπὸ αἵματος τρυγώδους. καὶ ἐπὶ τούτῳ ἤγουν ἐπὶ τῆς ἐν ἑκάστῳ μορίῳ φερομένης καὶ ἐκπεμπομένης ὕλης, διάφοροι καὶ αἱ εἰσβολαὶ γίνονται. ὅταν μέντοι τύχωσι τὰ μέτρα τοῦ μελαγχολικοῦ, τότε ὁ τεταρταῖος 5) τύπος ἐπικρατεῖ καὶ τῷ λόγῳ τούτῳ προηγοῦνται πλανῆται. πιθανὴ δέ ἐστιν ἡ λύσις αὕτη, οὐ μὴν τὸ ἀληθὲς ἔχει. ὅσον γὰρ ἐπὶ τοῦτο, ἐὰν ἐν διαφόροις γεννᾶται ὁ μελαγχολικὸς, οὐκοῦν 6) καὶ διάφοροι τεταρταῖοι γενήσονται, πλέον δὲ δύο

---

1) εἰκότα L. 2) ἐδήλωσεν L. 3) ἑτέροις M. 4) τοῦ τρυγ. τοῦ αἵμ. M. A. 5) τόπος L. 6) εἰ add. L.

1) ἤτοι τὸ πλεῖστον τρεῖς τεταρταῖοι γενήσονται, ἅτινα καὶ σπανίως γίνονται. ἕτεροι δὲ ἑτέραν λύσιν λέγουσιν ἀπὸ τῆς γεννήσεως τοῦ μελαγχολικοῦ ὁρμώμενοι, ὅτι οὗτος ὁ χυμὸς ἐκ τοῦ τρυγώδους τοῦ αἵματος γίνεται, καὶ ἐφ᾽ ὅσον ἐν τῷ τέως 2) τρύξ ἐστιν, ἀνάψει ἐφήμερον· γίνεται μελαγχολικὸς καὶ ἐκ τῆς ὑπεροπτηθείσης χολῆς καὶ ἐφόσον τοτέως ἐστὶν ἡ χολὴ, τριταϊκὸν ποιεῖται τὸν κλόνον καὶ περίψυξιν. γίνεται μελαγχολικὸς καὶ ἀπὸ τοῦ ἀπογεωθέντος φλέγματος, ἀλλ᾽ ἐφ᾽ ὅσον φλέγμα ἐστὶν, ἀφημερινὴν ποιήσει τὴν περίψυξιν. ὅταν μέντοι ἀναλάβωσι τὰ μέτρα τοῦ μελαγχολικοῦ, τότε τεταρταϊκὴν ποιοῦνται τὴν περίοδον. καὶ αὕτη δὲ τὸ πιθανὸν ἔχει μόνον. ὅσον γὰρ ἐπὶ τοῦτο, ἔχει τις εἰπεῖν, ὅτι 3) ἴσος γενήσεται τύπος παροξυσμοῦ πρὸ τοῦ τεταρταίου. εἰ μὲν χολή ἐστιν ἡ ἐξυπερωπτημένη, τριταϊκὸν 4) ποιεῖ τὸν παροξυσμὸν καὶ μόνον· εἰ δὲ φλέγμα, ἀφημερινόν. ἀλλὰ νῦν ὁρῶμεν ὅτι οἱ πλανῆται διάφοροι 5) ἢ καὶ πολλοὶ εἰσβάλλουσι, καὶ ἀτάκτως καὶ ἀλληνάλλως ὑπαντῶσιν οἱ παροξυσμοὶ ἐπὶ τῶν πλανήτων. διὸ λέγουσιν ἑτέραν λύσιν, ἥντινα δέον ἐστὶ πειθαρχῆσαι, ἀπὸ τῆς συστάσεως τοῦ χυμοῦ λαμβάνοντες τὴν λύσιν. φησὶ γὰρ ὅτι ἐφ᾽ ὅσον λεπτότερός ἐστιν ὁ μελαγχολικὸς χυμὸς, θερμότερος τέως ἐστὶ καὶ τὰ τῆς χολῆς ποιεῖ, καὶ ἑτοίμως διὰ τὴν λέπτυνσιν διεξέρχεται τὸ βάθος, καὶ φέρεται ἐπὶ τὰ αἰσθητικὰ νεῦρα καὶ ποιεῖ τὸν κλόνον καὶ τὴν τριταϊκὴν περίψυξιν. ἐφ᾽ ὅσον δὲ παχύς ἐστι, ψυχρὰς αὔρας πέμπει ἐπὶ τὰ αἰσθητικὰ νεῦρα καὶ περὶ τὴν ἐπιφάνειαν, καὶ ποιεῖ περίψυξιν 6) ἀφημερινήν. οὕτως γίνονται οἱ πλανῆται καὶ προηγοῦνται τῷ τεταρταίῳ. ὅταν μέντοι εἰδοποιηθῇ καὶ ἀποτελεσθῇ ὁ κυρίως μελαγχολικὸς, τότε λοιπὸν τεταρταϊκῶς παροξύνει, ὅθεν ἀμέλει τινὲς καὶ τέσσαρας μῆνας ἐτεταρτάϊσαν, ἕτεροι δὲ καὶ ἑπτὰ καὶ ἐννέα· ἄλλοι δὲ καὶ ἐνιαυτὸν καὶ δύο ἔτη, τινὲς δὲ καὶ ἐκινδύνευσαν.

---

1) εἴτε M. 2) τρὺξ ἀναφανεῖ ἐφήμερος L. 3) ἴσως M. A. 4) ποιήσεται M. A. 5) εἰπεῖν L. ἀλληνάλλου M. 6) ἄμφω M. A.

Ὅστις δ᾽ ἂν ἐν πυρετῷ μὴ θανατώδει φῇ τὴν κεφαλὴν ἀλγέειν, ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι καὶ τὰ ἑξῆς. —

Ἰστέον ὅτι καὶ νῦν περὶ τῶν ὀξέων νοσημάτων διαλέγεται, σημειούμενος αὐτὰ εἴτε δι᾽ ἐμέτων εἴτε δι᾽ αἱμοῤῥαγίας μέλλει γίνεσθαι ἡ κατ᾽ ἔκρουν κρίσις. καὶ πρῶτον λέγει κοινὰ σημεῖα ἀμφοτέρων τῶν κενώσεων, ὅτι κοινῶς ἐπ᾽ ἀμφοτέρων κεφαλαλγίαι γίνονται αὐτοῖς καὶ 1) δυσφορία καὶ τάραχος τῶν ὀφθαλμῶν. λέγει δὲ καὶ ἴδια σημεῖα ἑκάστου, καὶ πρῶτον 2) τῆς δι᾽ ἐμέτων γινομένης κενώσεως λέγει, ὅτι ἐπὶ τῶν δι᾽ ἐμέτων μελλόντων 3) κενοῦσθαι κριτικῶς σὺν τοῖς ῥηθεῖσι σημείοις καὶ ὀρφνώδη τινὰ ὁρῶσι πρὸ τῶν ὀφθαλμῶν. ἐπὶ γὰρ τῷ ἐμέτῳ χολή ἐστι πάντως ἡ ἔχουσα ἐμεθῆναι, ἐπειδὴ 4) ὀξὺ ὑπεθέμεθα νόσημα. ἐν οὖν τῇ τοιαύτῃ κινήσει φέρεταί τι μέρος τῆς χολώδους τοιαύτης ὕλης περὶ τὸν ἐγκέφαλον. ὁ οὖν ἐγκέφαλος δεχόμενος τὴν τοιαύτην χολώδη ὕλην δι᾽ οἰκείαν ἰσχὺν καὶ ῥώμην δυνάμεως ἀποδιώκει τὴν ὕλην εἰς τὰ παρακείμενα μόρια, καὶ λοιπὸν μέρος τι τῆς ὕλης πέμπεται ἐπὶ τοὺς ὀφθαλμοὺς διὰ τοῦ ὀπτικοῦ νεύρου μολύνον τὸ ὀπτικὸν πνεῦμα, καὶ τοτηνικαῦτα ὀρφνώδη ὁρῶσι πρὸ τῶν ὀφθαλμῶν. ὀρφνώδη δέ εἰσι τὰ μέλανα ὁρώμενα κατὰ φαντασίαν. καὶ μὴ ἀπορήσῃς, ὅτι πῶς ἐπὶ τῇ ξανθῇ χολῇ ὀρφνώδη τινὰ μελάσματα ὁρῶσιν. ὤφειλον γὰρ ξανθὰ ὁρᾶν. ἡ γὰρ χολὴ ξανθή ἐστι, πῶς οὖν μέλανά τινα ὁρῶσιν; οὐδὲ γὰρ ἀπορεῖ τις ἐπὶ τοῦ πυρὸς, ὅτι πῶς τοῦ πυρὸς ἐρυθροῦ ὄντος, μέλας ἐστὶν ὁ ἐξ αὐτοῦ γινόμενος καπνός. τί γὰρ ὅτι ἐκ τοῦ ξηρότερον εἶναι τὸ περίττωμα, καὶ γεωδέστερον τὸν καπνὸν τοῦ πυρὸς, διὰ τοῦτο μέλας φαίνεται. γίνεται δὲ αὐτοῖς καὶ καρδιωγμὸς τρόπῳ τοιούτῳ. φερομένη ἡ χολώδης ὕλη περὶ τὸν στόμαχον δάκνει αὐτὸν καὶ γίνεται ὀδύνη. οὐδὲν γάρ ἐστι καρδιαλγία ἢ δῆξις καὶ ἀνία καὶ ὀδύνη περὶ τὸν στόμαχον. καρδίαν γὰρ οἱ παλαιοὶ τὸν στόμαχον ἐκάλουν. οὐδέποτε γὰρ χολὴ ἀπὸ καρδίας ἐμεῖται, ἀλλ᾽ ἀπὸ τοῦ στομάχου καὶ

1) δυσφορίαι M. 2) Addam περί. γινομένης om. L. 3) κενοῦσθαι om. L. 4) ὀξὺν — νόσον M.

τῆς γαστρός. ἐπεὶ δὲ ἐν τῷ στομάχῳ ἀθροιζομένη ἡ χολὴ δῆξιν καὶ ἀνίαν καὶ περίτασιν ἀπεργάζεται, τοτηνικαῦτα τῇ δήξει καὶ τῇ ἀνίᾳ γίνεται αὐτοῖς συστολὴ καὶ περίψυξις τῶν ἄκρων μορίων, καὶ ῥῖγος. ἐπὶ δὲ τῇ δήξει καὶ τῇ τάσει καὶ τῇ ἀνίᾳ συστέλλει ἡ φύσις ἑαυτὴν καὶ συννεύει ἐπὶ τὸ βάθος. καὶ τοτηνικαῦτα 1) χηρεύοντες ἀπὸ τῆς φυσικῆς ἐλλάμψεως καὶ τοῦ ἐμφύτου θερμοῦ στερηθέντες περιψύχονται καὶ ῥιγῶσιν. ἀλλὰ καὶ τὰ ὑποχόνδρια αὐτῶν ἀνασπᾶσθαι δοκοῦσι καὶ ψυχρότερά εἰσιν ἐπὶ τῶν τοιούτων, τὰ δὲ ἄνω μέρη θερμότερα, ἐπειδὴ ἡ χολώδης ὕλη ἐπὶ τὰ ἄνω μόρια φερομένη, δῆλον καὶ ἡ φύσις μετὰ τῶν οἰκείων ὀχημάτων, αἵματος λέγω καὶ 2) πνεύματος, ἐκεῖσε ὥρμηται. καὶ διὰ τοῦτο 3) ὅσον ἐστέρηνται τῆς ἀπὸ τῆς φυσικῆς ἐπικουρίας, τὰ ὑποχόνδρια ψυχρότερά εἰσι, τὰ δὲ ἄνω ὡς ἐν ἀπολαύσει αὐτῆς τυγχάνοντα. λοιπὸν δὲ καὶ ἡ χολώδης ὕλη ἐκεῖσε ἤθροισται· διὰ τοῦτο θερμότερά εἰσι. πολλάκις δὲ αὐτὴ ἡ χολὴ παχυτέρα ἐστὶν, 4) ὥστε ἐμεθῆναι ἀδύνατον. τότε καὶ εὔκρατον παρέχομεν, ὥστε ἐμεθῆναι αὐτήν. τὸ γὰρ εὔκρατον κατακερματίζει αὐτὴν, καὶ σύγχυσιν ἐν αὐτῇ ποιεῖται καὶ ἐπιπολάζειν αὐτὴν ἀπεργάζεται, καὶ οὕτως ἀπεμεῖται ἡ χολή. οὕτως γὰρ καὶ ἐπὶ τῶν ἔξω ἐπιτηδεύομεν ἐπὶ τῆς ἰλύος, ἡνίκα ἀγγεῖον βουλόμεθα καθᾶραι ἔχον τρυγίαν ἢ σωλῆνας ἔχοντας 5) ἰλὺν, ἐπιβάλλομεν ὕδωρ καὶ ἀνατινάσσομεν, καὶ συναναμίγνυται ἡ ὕλη τῷ ὕδατι, ὁμοίως καὶ ἡ τρὺξ, καὶ οὕτως καθαίρομεν τὰ ἀγγεῖα καὶ τοὺς σωλῆνας. οὕτως οὖν καὶ ἐπὶ τῆς παχυτέρας χολῆς γίνεται. παρέχομεν τὸ εὔκρατον, καὶ 6) ποιεῖ τὴν χύσιν καὶ λεπτύνει αὐτὴν καὶ ἔκρουν ἀπεργάζεται, καὶ ὑπερπολάζουσα ἐμεῖται καὶ παύονται τὰ συμπτώματα. καὶ ταῦτα μὲν, ἐὰν ἔῤῥωται ἡ δύναμις· εἰ δὲ ἀσθενής ἐστιν ἡ δύναμις, καὶ διὰ τὴν ἀσθένειαν μὴ ἐμῆται ἡ χολὴ, καὶ τροφὰς παρέχομεν, οὐ τὰς βαρυνούσας δὲ, ἀλλὰ τὰς φαρμακώδεις, οἷον τυχὸν χυλὸν πτισάνης καὶ

---

1) χηρεύοντες om. L. στερηθέντα L. 2) φλέγματος M. A. 3) ὅσοι M. 4) καὶ διὰ τὴν παχύτητα οὐκ ἐμεῖται M. A. 5) ὕλην L. A. ὑλὴν M. Scripsi ἰλὺν. 6) ποιεῖται M. φύσιν pro χύσιν L.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 239 sur 382

μελίκρατον καὶ οἶνον κεκραμμένον. αἱ γὰρ τοιαῦται τροφαὶ ἔχουσι καὶ τὸ τρέφον, καὶ τὰ 1) φαρμάκου ποιεῖν. ἡ γὰρ πτισάνη καὶ τρέφει, ἀλλὰ καὶ ῥυπτική ἐστι. τὸ δὲ μελίκρατον καὶ αὐτὸ ἔχει τι καὶ τρόφιμον, ἀλλὰ καὶ τμητικὸν καὶ λεπτυντικόν. ὁ δὲ οἶνος καὶ τρέφει καὶ 2) τονεῖ καὶ στύφει. καὶ διὰ τῶν τοιούτων τροφῶν ῥωννυμένη ἡ δύναμις ἐπιγίνεται καὶ ἀπεμεῖ τὴν χολώδη ὕλην, καὶ παύεται ἡ καρδιαλγία.

Ἔστι δὲ ἕτερον σημεῖον κατὰ τὸν Γαληνὸν ἐπὶ τῶν ἐμεῖν μελλόντων, τὸ κραδαίνεσθαι ἐπὶ τῶν τοιούτων τὸ κάτω χεῖλος, διὰ τὸν ὑμένα τὸν ὑπαλείφοντα ἀπὸ τοῦ στομάχου καὶ μέχρι τοῦ κάτω χείλους φέρεσθαι. τοῦ γὰρ στομάχου δακνομένου καὶ ἀνιωμένου, δῆλον καὶ 3) ὁ ὑμὴν οὗτος διὰ τὴν κοινωνίαν ἐξ ἀνάγκης 4) κραδαίνεται ἐπὶ τῶν μελλόντων ἐμεῖν τὸ κάτω χεῖλος.

Τούτων δὲ οὕτως ἐχόντων, παραδίδωσιν ἡμῖν καὶ τὰ σημεῖα τῆς δι᾽ αἱμοῤῥαγίας γινομένης κριτικῶς κενώσεως, καί φησιν, ὅτι σὺν τῇ κεφαλαλγίᾳ 5) καὶ τῇ ταραχῇ καὶ συστροφῇ τῶν ὀφθαλμῶν, ἐπειδὴ ταῦτα κοινὰ ὑπῆρχον σημεῖα ἀμφοτέρων τῶν κενώσεων, ἐὰν μηκέτι ὁρῶσιν ὀρφνώδη καί τινα μελάσματα πρὸ τῶν ὀφθαλμῶν, ἀλλὰ μαρμαρυγάς τινας καὶ πυραυγῆ φαντάσματα ὁρῶσι, τότε γίνωσκε ὅτι δι᾽ αἱμοῤῥαγίας γίνεται ἡ κένωσις. εἰ μὲν γὰρ λεπτοτάτη τις καὶ ἀτμώδης ποιότης τῆς ὕλης ἐνεχθῇ ἐπὶ τὰ ὀπτικὰ νεῦρα, τότε τὰ πυραυγῆ καὶ τὰς μαρμαρυγὰς καὶ τὰ μελάσματα ὁρῶσιν. εἰ δὲ ἐνεχθῇ παχυτέρα ὕλη ἐπὶ τοὺς ὀφθαλμοὺς, ἐναπολαμβάνει τοὺς πόρους τῶν ὀπτικῶν νεύρων, καὶ τότε οὐ δύναται διεξελθεῖν τὸ ὁρατικὸν πνεῦμα, καὶ παντελῆ ποιεῖται ἀορασίαν. εἰ δέ γε 6) πρὸς τοῦτο κνῶνται 7) τῆς ῥινὸς, ἔστι δὲ καὶ ἐρυθρὰ τὰ μῆλα τοῦ προσώπου, γίνωσκε ὅτι δι᾽ αἱμοῤῥαγίας γίνεται ἡ 8) κένωσις ἐπὶ τούτων καὶ τὰ ὑποχόν-

---

1) φαρμακουποιεῖν M. Emendes τὸ φάρμακον πιεῖν aut τὰ τοῦ φ. ποιεῖ. 2) Fort. τονοῖ. 3) οὐ μὴν Codd. Dedi ὁ ὑμὴν. 4) κραδαίνεσθαι L. A. 5) καὶ τῇ ταραχῇ om. M. ἡ συστροφὴ M. 6) πρὸ τούτου M. 7) τὸ ἄκρον τῆς ῥινὸς M. A. 8) κεφαλαλγία M. A.

δρια ἀνασπῶνται. καὶ τοῦτο δὲ κοινὸν ὑπῆρχεν. ὁ μέντοι Ἱπποκράτης ὡς ἰδικὸν τέθεικεν αὐτὸ ἐπὶ τῶν αἱμοῤῥαγεῖν μελλόντων. ἁπλῶς οὖν καὶ ἐπὶ τούτων ἀνασπᾶται τὰ ὑποχόνδρια, τυχὸν ἄνευ ὀδύνης καὶ φλεγμονῆς. ἐὰν γὰρ ἁπτομένου σου τὰ ὑποχόνδρια ὦσι μαλθακὰ καὶ ὁμαλὰ, καὶ μήτε ὀδύνη σύνεστι, μήτε φλεγμονὴ, ἀλλ᾽ ἀνασπῶνται, ἔσο γινώσκων, δι᾽ αἱμοῤῥαγίας γίνεσθαι τὴν 1) κένωσιν.

Ἐκ τοῦ διανασπᾶσθαι τὰ ὑποχόνδρια καὶ τὸν τόπον ἤγουν διὰ ποίας ῥινὸς προγινώσκει ὁ Ἱπποκράτης τὴν αἱμοῤῥαγίαν γίνεσθαι καί φησιν, ὅτι ἐὰν τὸ δεξιὸν ὑποχόνδριον ἀνασπᾶται, γίνωσκε ὅτι ἐκ τοῦ δεξιοῦ μέλλει γενέσθαι μέρους ἡ αἱμοῤῥαγία· εἰ δὲ τὸ ἀριστερὸν, ἐκ τοῦ ἀριστεροῦ· εἰ δὲ τὰ ἀμφότερα ὑποχόνδρια ἀνασπῶνται, ἐξ ἀμφοτέρων τῶν ῥινῶν ἡ αἱμοῤῥαγία γίνεται. ἡ γὰρ φύσις ἔστ᾽ ἂν ἔῤῥωται καὶ ταῖς οἰκείαις δυνάμεσι κατὰ τὸν οἰκεῖον σκοπὸν κέχρηται, κατ᾽ εὐθυωρίαν καὶ κατ᾽ εὐθὺ τὰς ὕλας πέμπει καὶ ἀποδιώκει, ὥσπερ καὶ ἄριστος τοξότης κατ᾽ εὐθὺ τοῦ σκοποῦ 2) πέμπει τὸ βέλος, καὶ μὴ δι᾽ ἀφυΐαν τῇδε κἀκεῖσε περιάγεται.

Ἦν δὲ καὶ καρδιωγμὸς τουτέῳ προσγένηται, χολώδης ἔμετος παρέσται. —

Ἐπειδὴ παράκειται ἡ καλουμένη ἀορτὴ τῷ στομάχῳ, μεταλαμβάνει τῆς δήξεως τῆς περὶ τὸν στόμαχον ἀθροιζομένης χολῆς. ἔστι δ᾽ ὅτε ἀναγγέλλεται καὶ αὐτῇ τῇ καρδίᾳ, καὶ διὰ τοῦτο καρδίαν τὸν στόμαχον ὀνομάζουσιν ἐκ τοῦ μεταδίδοσθαι ἐκ τοῦ σύνεγγυς τὴν δῆξιν 3) τῇ καρδίᾳ.

Ἦν δὲ καὶ ῥῖγος ἐπιλάβῃ καὶ τὰ κάτω τοῦ ὑποχονδρίου ψυχρὰ ᾖ καὶ τὰ ἑξῆς. —

Ἰστέον, 4) ἔστι ῥῖγος τὸ λόγῳ κρίσεως γινόμενον, ὅπερ αὐτὸς ἐν ἀφορισμοῖς εἶπεν, ὑπὸ καύσου ἐχομένῳ, ῥίγεος ἐπιγενομένου, λύσις. ἔστι ῥῖγος καὶ τὸ προηγούμενον τοῦ πυρετοῦ ὡς ἐν τριταίοις. ἔστι ῥῖγος τὸ παρεμπῖπτον, τὸ

---

1) κεφαλαλγίαν M. A. 2) πέμπει om. L. 3) τῆς καρδίας L.
4) ὅτι M.

λόγῳ συμπτώματος γινόμενον. ἐνταῦθα δὲ ῥῖγος λέγει τὸ ἐπὶ τῇ δήξει τοῦ στομάχου γινόμενον. ἐπὶ γὰρ τῇ ἀθροίσει τῆς χολῆς ἐπὶ τὸν στόμαχον δάκνεται καὶ ἀνιᾶται, καὶ μεταλαμβάνει τῆς δήξεως ἡ ἀορτὴ καλουμένη ἀρτηρία, καὶ συστέλλεται τὸ ἔμφυτον θερμὸν καὶ συννεύει, ὡς ἐπὶ τὴν οἰκείαν ἀρχὴν, ἐπὶ τὸ βάθος, καὶ ἀμοιροῦνται τὰ ἐπιπολῆς μόρια τῆς ἐλλάμψεως τοῦ ἐμφύτου θερμοῦ, περιψύχονται καὶ γίνεται τὸ ῥῖγος. —

Ἢν δέ τι καὶ πίῃ ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα ταχέως ἐμεῖται. —

Παρακελεύεται οὖν ἡμῖν ἀναμιμνήσκεσθαι τῶν συμβεβηκότων ὡς πολλάκις 1) τὰ γινόμενα ὠφελήσαντα. τί γὰρ ὅτι οὐκ ἐμεῖται καὶ ἡ χολὴ, ἢ διὰ πάχος ἢ 2) δι' ἀσθένειαν τῆς δυνάμεως. καὶ δεῖ καὶ σὲ μιμεῖσθαι τοῖς πράγμασι, καὶ χρήσασθαι, εἰ μὲν παχεῖά ἐστιν ἡ ὕλη, καὶ διὰ τοῦτο οὐκ ἐμεῖται, τῷ εὐκράτῳ. εἰ δὲ ἀσθενής ἐστιν ἡ δύναμις, δεῖ σε καὶ 3) τροφαῖς χρήσασθαι, ἔστι δ' ὅτε καὶ στερεωτέραις τροφαῖς χήσασθαι οἷά ἐστι μῆλα καὶ σταφυλαὶ καὶ σταφίδες καὶ ῥόοκοκκα. καὶ γὰρ ῥωννυμένη ἡ δύναμις, ἐπεγείρεται καὶ 4) ἀποδιώκει, καὶ ἀπεμεῖ τὴν χολώδη ὕλην.

Τουτέων δὲ οἷσι μὲν ἂν ὁ πόνος ἄρξηται τῇ πρώτῃ ἡμέρᾳ, τεταρταῖοι μάλιστα πιεζοῦνται καὶ πεμπταῖοι, εἰς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται. —

5) Ἐνταῦθα ὁ Ἱπποκράτης πόνον τὴν κεφαλαλγίαν ἐκάλεσεν, εἰπὼν ἣν ἄρξηται πονέειν, τυχὸν 6) πονεῖν τὴν κεφαλήν. κεφαλαλγίαν δὲ ὑποτίθεται, οὐ μὴν λόγῳ κρίσεως γινομένην. αὕτη γὰρ τὸ μέγιστον μίαν ἡμέραν ἐπικρατεῖ, ὡς αὐτός φησιν, ὅτι ὁκόσοισι κρίσις γίνεται, τουτέοισιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ. ἀλλὰ 7) καὶ κεφαλαλγίαν ὑποτίθεται τὴν λόγῳ συμπτώματος γινομένην, ἥτις ἕως τῆς ἑβδόμης παρεκτείνεται. τὸ δὲ ἀληθὲς εἰπεῖν, ὅτι καὶ τῇ λόγῳ κρίσεως ἁρμόζει κεφα-

---

1) αὐτὰ M. 2) διαθέσεως M. A. 3) εὐτροφῇ L. Fort. εὐτροφίᾳ. 4) διώκει M. 5) ἐντεῦθεν M. 6) πριεῖν! Codd. 7) καὶ om. M.

λαλγίᾳ καὶ τῇ λόγῳ συμπτώματος. καὶ γὰρ καὶ λόγῳ συμπτώματός ἐστιν ἡ τοιαύτη κεφαλαλγία, 1) ἐπειδὴ ἐξ ἀρχῆς ἀπὸ τῆς πρώτης ἡμέρας λέγει γίνεσθαι τὴν κεφαλαλγίαν, καὶ μάλιστα ἐὰν ἐξ ἀρχῆς γενομένη ἐν τῇ τρίτῃ παύσηται, τότε καὶ λόγῳ συμπτώματος ἐπέχει. ἀλλὰ ἐπέχει ἡ τοιαύτη κεφαλαλγία, ἐπειδὴ μέχρι τῆς κρίσεως συνεκτείνεται, καὶ οὕτως ἀπαλλάσσονται. ὅτι δὲ μέχρι τῆς ἑβδόμης λέγει παρεκτείνεσθαι τὴν τοιαύτην κεφαλαλγίαν, αὐτὸς ἐπὶ λέξεώς φησιν ὅτι ὁκόσοισιν ἄρξηται ἡ κεφαλαλγία τῇ πρώτῃ ἡμέρᾳ, τεταρταῖοι 2) πιεζοῦνται, ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσονται ἤγουν αὔξεται αὐτῶν ἡ κεφαλαλγία ἀπὸ τῆς πρώτης ἡμέρας καὶ γίνεται προσθήκη ἕως τῆς τετάρτης καὶ πιεζοῦνται καὶ κρατοῦνται, καὶ οὐκέτι ἀναβιβασμὸν δέχονται, ἀλλὰ στάσις γίνεται καὶ ἀκμὴ μέχρι τῆς ἑβδόμης, καὶ οὕτως ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ λύεται καὶ παύεται.

Εἶτα ἔφη, ὁκόσοι δὲ τῇ τρίτῃ ἄρξονται πονεῖν τὴν κεφαλὴν, πεμπταῖοι πιεζοῦνται καὶ ἀπαλλάσσονται ἢ ἐνναταῖοι ἢ ἑνδεκαταῖοι. ὅθεν τινὲς λέγουσιν ὅτι ἀπροσφόρως τοῦτο εἴρηκεν, ἐὰν ἀπὸ τῆς τρίτης ἄρξωνται τρὶς καὶ ἑπτὰ, δέκα. οὐκοῦν ἐν τῇ δεκάτῃ ἔχουσιν ἀπαλλαγῆναι. καὶ πῶς ἔφη, ἢ τῇ ἐννάτῃ ἢ τῇ ἑνδεκάτῃ ἀπαλλάσσονται; καὶ λέγομεν ὅτι τοῦτο ἔφη, ἵνα δείξῃ τὴν δεκάτην μηδέποτε κρίνουσαν, ἀλλὰ τὴν ἑνδεκάτην ἢ τὴν ἐννάτην 3) κρινούσας. καὶ διὰ τί μὴ μόνης τῆς ἑνδεκάτης ἐμνημόνευσεν ἢ μόνης τῆς ἐννάτης, ἀλλὰ τῶν δύο ἐμνημόνευσε; καὶ λέγομεν, τοῦτο παρὰ τὴν σύστασιν τῆς ὕλης ἀπὸ θεωρίας εἴρηκε καὶ τὸν τόνον τῆς δυνάμεως. ἐὰν γὰρ λεπτή ἐστιν ἡ ὕλη καὶ ἐῤῥωμένη ἡ δύναμις, τῇ ἐννάτῃ ἀπαλλάσσονται. εἰ δὲ παχυτέρα ἐστὶν ἡ ὕλη καὶ ἀσθενὴς ἡ δύναμις ὡς ἂν πλείονος χρόνου δεομένη, τῇ ἑνδεκάτῃ ἔφη 4) παύσασθαι, καὶ διὰ τοῦτο ἀμφοτέρων ἐμνημόνευσεν. εἶτα λέγει, οἳ δ᾽ ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι, τουτέοισι τῇ τεσσαρεσκαιδεκάτῃ κρίνεται ἡ νοῦσος. καὶ πάλιν 5) ἐνίστανταί τινες λέγοντες, ὅτι ἐὰν

---

1) ἐπειδὴ — ἐπειδὴ om. M. A. 2) πιέζονται M. 3) κρίνουσαν M. 4) παύονται L. 5) ἀνίστανται M.

ψηφίσῃς ἀπὸ τῆς πρώτης ἡμέρας πέντε καὶ ἑπτὰ, δώδεκα, εἰς τὴν δωδεκάτην ἢ τὸ μέγιστον εἰς τὴν τρισκαιδεκάτην κρίνεται ἡ νοῦσος, πῶς οὖν ἔφη ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ κρίνεσθαι τὸ νόσημα; καὶ λέγομεν ὅτι τοῦτο εἴρηκεν, ἵνα δείξῃ μὴ εἶναι κρισίμους, μήτε τὴν δωδεκάτην μήτε τὴν τρισκαιδεκάτην, ἀλλὰ τὴν τεσσαρεσκαιδεκάτην. ἄλλως τε δὲ παχυτέραν ἔλαβε τὴν ὕλην, καὶ ἐν τῷ μέσῳ δεηθῆναι μιᾶς καὶ δύο ἡμερῶν ἐν τῇ πέψει, καὶ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ὑπαντῆσαι τὴν κρίσιν. καὶ διὰ τοῦτο τῆς τεσσαρεσκαιδεκάτης ἐμνημόνευσεν.

**Καὶ τὰ ἄλλα κατὰ λόγον αὐτέοισι τῶν πρόσθεν γίγνηται, εἰς τὴν τεσσαρεσκαιδεκάτην κρίνεται ἡ νοῦσος. —**

Λέγει ὅτι ἐὰν τῇ πέμπτῃ ἄρξωνται πονεῖν τὴν κεφαλὴν, καὶ μηδὲν πλημμεληθῇ ὑπὸ τοῦ ἀῤῥώστου, ἢ ἀμέλεια 1) γένηται ὑπὸ τοῦ ἰατροῦ, τῇ τεσσαρεσκαιδεκάτῃ ἀπαλλάσσονται ἡμέρᾳ. τὰ δὲ ἄλλα κατὰ λόγον καλεῖ τὰ ἀνωτέρω εἰρημένα, ἵνα ἀρίστη γένηται ἡ κατάκλισις, καὶ τὰ οὖρα καὶ τὰ διαχωρήματα, καὶ ἵνα εὔπνους ἐστὶν ὁ ἄνθρωπος, καὶ τὰ τοιαῦτα, ὡς ἀνωτέρω εἴρηται κατὰ λόγον ὑπαντῆσαι, γίνωσκε ὅτι τῇ τεσσαρεσκαιδεκάτῃ κρίνεται ἡ νοῦσος καὶ ἀπαλλάσσονται.

**Γίνεται δὲ καὶ τὰ τοιαῦτα τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξίν. —**

Ταῦτα τὰ πάθη μάλιστα γίνονται, τυχὸν ὁ ἔμετος, τοῖς ἀνδράσι καὶ ταῖς γυναιξίν. 2) εἰπὼν δὲ ἀνδράσι καὶ γυναιξὶ τὴν τελείαν ἡλικίαν ἐδήλωσε, λέγω δὴ τὴν ἀκμαστικήν. ἐν γὰρ τῇ ἀκμαστικῇ ἡλικίᾳ ἀθροίζεται ἡ χολὴ, καὶ διὰ τοῦτο ἐμεῖται. λέγει γὰρ καὶ ἀλλαχοῦ, ὅτι οἱ ἀκμάζοντες τριταίοις ἁλίσκονται.

**Τοῖσι δὲ νεωτέροισι γίνεται μὲν καὶ τουτέοισι, μᾶλλον δὲ ἐν τοῖσι συνεχέσι πυρετοῖσι, καὶ μάλιστα ἐν τοῖσι γνησίοισι τριταίοισι. —**

Νεωτέρους [φησὶ] τοὺς μειρακιώδεις τῇ ἡλικίᾳ τυχὸν ἐκάλεσε. τοῖς δὲ μειρακίοις οὐ γίνεται ἔμετος ὡς ἐπίπαν

---

1) γίνεται L. 2) εἰπὼν — γυναιξὶ om. L.

χολῆς. εἰ δὲ καὶ γίνεται, σπανιάκις, ἐπειδὴ ἐπ᾽ αὐτῶν χολὴ οὐκ ἀθροίζεται, ἀλλὰ τὸ αἷμα μάλιστα πλεονάζει. εἰ δὲ καὶ ἐμοῦσι, σπανίως ποτὲ ἐν τοῖς συνεχέσι πυρετοῖς, συνεχεῖς δὲ εἶπε τοὺς συνόχους, καὶ ἐν τοῖσι γνησίοισι τριταίοισι περιπίπτει, ἐπειδὴ ἐπὶ τούτων φλέγμα οὐκ ἀθροίζεται.

*Οἷσι δ᾽ ἂν ἐν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσιν ἀντὶ τοῦ μὲν ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι. —*

Ὅπερ λέγει, τοιοῦτόν ἐστιν, ὅτι τοιούτῳ τρόπῳ, κατὰ τὸν αὐτὸν τρόπον, τυχὸν περιεστηκῶς ὄντος τοῦ νοσήματος, ὡς ἤδη καὶ ἐπὶ τῆς κατ᾽ ἔκρουν δι᾽ ἐμέτων κρίσεως, καὶ ἐνταῦθα καὶ ἐπὶ τῆς αἱμοῤῥαγίας περιεστηκότι νοσήματι ὑποτίθεται γίνεσθαι τὰ σημεῖα τῆς αἱμοῤῥαγίας, τυχὸν τὸ συνεῖναι τὴν κεφαλαλγίαν, καὶ μηκέτι ὀρφνώδη ὁρᾷν πρὸ τῶν ὀφθαλμῶν, ἀλλὰ μαρμαρυγὰς καὶ λόφους ἀλεκτρυόνων καὶ πυραυγῆ τινα, ἀλλὰ καὶ τὸ ἀνασπᾶσθαι τὰ ὑποχόνδρια, καὶ τὸ κνᾶσθαι τὸ ἄκρον τῆς ῥινὸς, καὶ τὸ ἐρυθρὰ εἶναι τὰ μῆλα τοῦ προσώπου, τότε γίνωσκε ὅτι ἡ κατ᾽ ἔκρουν κρίσις δι᾽ αἱμοῤῥαγίας μέλλει γίνεσθαι. προστίθησι δὲ καὶ τοῦτο ἐνταῦθα, ὅτι ὅτε μέμνηται ὁ Ἱπποκράτης διὰ χολῆς ἔμετον, οὐ τὴν ἄκρατον λέγει χολὴν ἐμεῖσθαι, ἀλλὰ τὴν συμμεμιγμένην μετὰ φλέγματος· τότε γὰρ ἄριστόν ἐστιν ὁ ἔμετος. σπανίως δέ ποτε, 1) ἐὰν ἐμεθῇ ἄκρατος χολὴ ἅπαξ. ὁ δὲ ἐπίμονος ἔμετος τῆς ἀκράτου χολῆς μεγάλους τοὺς κινδύνους ἐπιφέρει. δήξεις γὰρ καὶ ἀνίας καὶ ἑλκώσεις ἀπεργάζεται, δι᾽ ὧν παροδεύει μορίων.

*Τοῖσι δὲ πέντε καὶ τριάκοντα ἐτέων καὶ γεραιτέροισι. —*

Φησὶν ὅτι τοῖς παρακμάζουσι τῇ ἡλικίᾳ ὁ ἔμετος τῆς χολῆς γίνεται, τοῖς δὲ γέρουσιν οὐδόλως. καὶ λέγομεν ὅτι ἡ παρακμαστικὴ ἡλικία 2) οὐκέτι γεννητικὴ χολῆς, ἀλλ᾽ ἡ ἀκμαστική. καὶ λέγομεν ὅτι τὴν προθησαυρισθεῖσαν ἀπὸ τοῦ θέρους ἢ τοῦ θερικοῦ καταστήματος χολὴν ταύ-

---

1) ὅταν M. 2) οὐκ ἔστι M.

την ἐμοῦσι. γίνωσκε δὲ ὅτι τινὰ τῶν ἀντιγράφων ἔχει, τοῖσι δὲ πέντε καὶ τριάκοντα, τινὰ δὲ τεσσαράκοντα ἔχει. καὶ διὰ μὲν τοῦ εἰπεῖν πέντε καὶ τριάκοντα τὸ πέρας τῆς ἀκμαστικῆς ἐδήλωσεν ἡλικίας, ἀρχὴν δὲ τῆς 1) παρακμαστικῆς. διὰ δὲ τοῦ εἰπεῖν τεσσαράκοντα ἐτῶν τὸ πέρας τῆς παρακμαστικῆς ἐδήλωσεν, ἀρχὴν δὲ τῆς 2) τῶν γερόντων ἡλικίας 3) ἐμνημόνευσεν.

Τοῖσι δὲ παιδίοισι σπασμοὶ γίνονται. —

Ἐνταῦθα γενόμενος ὁ Γαληνὸς λέγει τὴν αἰτίαν καὶ μόνην, καθ᾽ ἣν σπῶνται οἱ παῖδες, λέγων ὅτι σπῶνται οἱ παῖδες διὰ τὴν εὐπάθειαν τῶν νεύρων. εὐπαθῆ γάρ εἰσι τὰ νεῦρα ἐπ᾽ αὐτῶν, καὶ ἑτοίμως τοτηνικαῦτα σπῶνται. ἡμεῖς δὲ λέγομεν ὅτι ἐνταῦθα τὸν σπασμὸν ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ἐπεὶ ὁ σπασμὸς ὀξύ ἐστι πάθος. ἐνταῦθα δὲ περὶ ὀξέων νοσημάτων αὐτῷ ὁ λόγος. ἡ δὲ αἰτία καθ᾽ ἣν γίνεται ὁ σπασμὸς τοῖς παιδίοις, διάφορός ἐστι. γίνεται γὰρ αὐτοῖς ὁ σπασμὸς ἢ διὰ τὴν ἀσθένειαν τῶν 4) ψυχικῶν δυνάμεων, ἢ διὰ τὸ ἀδδηφάγα εἶναι, ἢ διὰ τὸ κλαυθμυρίζεσθαι αὐτά. καὶ διὰ μὲν τὴν ἀσθένειαν τῶν ψυχικῶν δυνάμεων οὕτως· τριττῶν γὰρ 5) ὄντων κατὰ γένος ἡμῖν δυνάμεων, 6) ψυχικῶν, ζωτικῶν, φυσικῶν, τὸ διττὸν γένος καλῶς καὶ ἐῤῥωμένως διάκειται ἐν τοῖς παισὶν, αἱ ζωτικαὶ καὶ φυσικαί. καὶ αἱ μὲν ζωτικαὶ ὡς δηλοῖ πλούσιον εἶναι ἐπὶ τῶν παίδων τὸ ἔμφυτον θερμὸν, κατὰ τὸ εἰρημένον ἐν ἀφορισμοῖς, τοῖσι δὲ παιδίοισι πλεῖστόν ἐστι τὸ ἔμφυτον θερμόν. ἀλλὰ καὶ αἱ φυσικαὶ δυνάμεις ἐῤῥωμέναι εἰσὶν, ὡς δηλοῖ τὸ τρέφεσθαι καὶ αὐξάνειν. κατὰ μέντοι τὰς ψυχικὰς ἀῤῥώστως διάκεινται τὰ παιδία. οὐ γὰρ λογίζονται δεόντως, οὔτε μὴν εὐκίνητα κατὰ τὰς πράξεις εἰσὶ, καὶ μάλιστα 7) κατὰ τοὺς πρώτους καιρούς. διὰ οὖν τὸ εὐκίνητον εὐπαθῆ καὶ εὐεπηρέαστά εἰσι τὰ νεῦρα ἐπ᾽ αὐτῶν, καὶ διὰ τοῦτο σπῶνται.

Ἀλλὰ καὶ διὰ τὸ ἀδδηφάγα εἶναι πάλιν σπῶνται. ὑπὸ γὰρ τῆς ἀδδηφαγίας καὶ τῆς ἀπεψίας, ἀθροίζουσι

---

1) παρακμῆς M. 2) ὁμογερόντων M. A. 3) ἐμήνυσεν M. A. 4) νεύρων add. L. 5) Sic! 6) ψυχικῆς etc. M. 7) ἐν τοῖς etc. M.

χυμους παχεῖς καὶ γλίσχρους καὶ ψυχροὺς καὶ ὠμοὺς, καθ' ἣν εἴωθε τὸ νευρῶδες γένος τρέφεσθαι, καὶ τοτηνικαῦτα διὰ τὸ πάχος ἐμφράττονται τὰ νεῦρα καὶ οὕτως σπῶνται.

Ἀλλὰ καὶ διὰ τὸ κλαυθμυρίζεσθαι αὐτὰ σπῶνται. ἐν γὰρ τῷ κλαυθμυρίζειν κίνησις γίνεται τοῦ ἐγκεφάλου. τῇ οὖν κινήσει χύσις γίνεται τῶν πνευμάτων καὶ τῶν χυμῶν καὶ φέρονται ἐπὶ τὰ νεῦρα οἱ χυμοὶ καὶ ἐμφράττουσιν αὐτὰ, καὶ οὕτως σπῶνται.

Σπασμὸν δὲ ἐνταῦθα οὐ τὸν ἐπὶ ξηρότητι λέγει γίνεσθαι ἐπὶ τῶν παίδων, ὅστις καὶ ἀνίατός ἐστιν, ἀλλὰ τὸν ἐπὶ πλήθει καὶ ἐμφράξει ὑποτίθεται σπασμὸν, ὡς δηλοῖ τὸ ἐπάγειν αὐτὸν, ἢν καὶ ἀγρυπνῶσιν. ἡ δὲ ἀγρυπνία ξηρότητα ἐντίθησι τῷ σώματι, καὶ ἐπὶ 1) ξηρότητι γίνεται. πρὸς ὅ ἐστιν εἰπεῖν, ὅτι ἡ ἀγρυπνία οὐ μόνον ξηραίνει, ἀλλὰ καὶ ὑγραίνει. εἰ μὲν γὰρ ξηρὸν παραλάβῃ ἡ ἀγρυπνία τὸ σῶμα, τῇ διαφορήσει ἐπὶ πλέον ξηραίνει αὐτό· εἰ δὲ περιττωματικὸν καὶ ὑγρὸν, χύσιν ποιεῖται αὐτῶν τῶν ὑγρῶν, καὶ ὑγραίνει τὸ σῶμα ἡ ἀγρυπνία οὕτως καὶ φυλάττει. ὅτι δὲ περὶ τοῦ ἐπὶ πλήθει καὶ ἐμφράξει σπασμοῦ ὁ λόγος τῷ Ἱπποκράτει, δηλοῖ τὸ ἐπάγειν αὐτὸν, ἢν καὶ ἡ γαστὴρ ἐπέχηται. τοῦτο δὲ τὸ σημεῖον πληρώσεως. ἄλλως τε δὲ φύσει ἀδδηφάγα ὄντα τὰ παιδία, δίϋγρά εἰσι καὶ διὰ τοῦτο τὸν ἐπὶ πλήθει ὑφίστανται σπασμόν. ἰστέον δὲ ὅτι εἰ μὲν ἕν ἐστι τὸ σπασθὲν μόριον, μία ἔκφυσις πέπονθεν· εἰ δὲ διάφορά εἰσι τὰ μόρια τὰ σπασθέντα, διαφόρους δηλοῖ καὶ ἐκφύσεις πεπονθυίας. εἰ δὲ ὅλον τὸ σῶμα ἐσπάσθη, 2) τότε δηλοῖ τὴν πρώτην ἀρχὴν, λέγω δὴ τὸν ἐγκέφαλον, πεπονθυῖαν. δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι γίνεται σπασμὸς καὶ διὰ φόβον. ἀλλ' οὗτος ὁ φόβος ἢ μέγιστός ἐστιν ἢ ὑφειμένος. καὶ εἰ μὲν μέγας ἐστὶ καὶ φοβερὸς ὁ φόβος, ὥστε ὑπερβαίνειν τὴν αἴσθησιν, ὥσπερ βροντὴ μεγίστη ἢ ἀστραπὴ, καὶ 3) ἐκπλαγῇ ἡ αἴσθησις, τότε καὶ ἀπόλλυνται οἱ ἐκ-

---

1) ξηρότητα L. 2) λέγω L. 3) ἐκπληγῇ M.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 247 sur 382

φοβούμενοι. εἰ δὲ ὑφειμένος ἐστὶν ὁ φόβος, σπασμὸν ποιεῖται.

*Καὶ τὸ χρῶμα μεταβάλλουσι χλωρὸν ἢ πελιδνόν.* —

Ἰστέον δὲ ὅτι τὰ εἰρημένα τῷ Ἱπποκράτει περὶ τοῦ σπασμοῦ, τὰ μὲν αἰτίου λόγον ἐπέχουσιν, οἷον, ἡ ἐποχὴ τῆς γαστρὸς, ἡ ἀγρυπνία, ἡ ἀδδηφαγία, καὶ ὁ κλαυθμυρισμὸς, τὰ δὲ σημείου, οἷον τὰ χρώματα. εἰ μὲν γὰρ χύσις γένηται τοῦ αἱματικοῦ χυμοῦ, τότε ἐρυθρὸν τὸ χρῶμα γίνεται. εἰ δὲ ὁ φλεγματικὸς χυμὸς χυθῇ, συναναμίγνυται τῷ αἵματι, καὶ χλωρὸν 1) γίνεται χρῶμα. εἰ δέ γε 2) πιληθῇ καὶ ἀποσφιγγῇ ὁ αἱματικὸς χυμὸς, ὑποπέλιον γίνεται χρῶμα. εἰ δὲ ἔτι πλέον πιληθῇ ὁ αἱματικὸς χυμὸς καὶ ἀποσφηνωθῇ, 3) τότε μέλαν γίνεται χρῶμα.

*Οἷά περ ἐν τῇσι φρενίτισι.* —

Λέγει ὅτι ἐπὶ πληρώσει σπασμὸς τοῖς παιδίοις συμβαίνει γίνεσθαι τοῖς μέχρι ἑπτὰ ἐτῶν. τὰ δὲ πρεσβύτερα τῶν παίδων καὶ οἱ ἄνδρες τουτέστιν ἡ μειρακιώδης καὶ ἀκμαστικὴ ἡλικία τῷ ἐπὶ ξηρότητι σπασμῷ ὡς ἐπίπαν περιπίπτουσιν. εἰ δὲ ἐπὶ σπασμῷ τῷ ἐπὶ ξηρότητι ἐκεῖνα συμβῇ τὰ 4) ὅμοια σημεῖα ἐπιγενέσθαι, οἷά περ ἐπὶ τῶν φρενιτικῶν, οἷά εἰσι τὸ δοκεῖν κροκύδας ἐκλέγειν, καὶ ἀνασπᾶν ἀπὸ τῶν ἱματίων, καὶ καρφολογεῖν, καὶ κατὰ τὸ συνεχὲς τὰς χεῖρας ἐπὶ τὸ πρόσωπον ἀπάγειν, ἐὰν ταῦτα ἐπιφανῶσιν ἐπὶ τῷ σπασμῷ τὰ σημεῖα τοῖς ἀνδράσι, τότε γίνωσκε ὅτι καὶ ἐπιληψίαις ἐπιπίπτουσι καὶ ἀποπληξίαις καὶ οὕτως ἀπόλλυνται.

*Καὶ τῶν ἄλλων τεκμαίρεσθαι ξύμπασι τοῖς σημείοισιν ὡς ἐφ᾽ ἑκάστοισιν ἕκαστα διαγέγραπται.* —

5) Ἰστέον ὅτι ἄλλο ἐστὶ τὸ ξυντεκμαίρεσθαι καὶ ἄλλο σημείωσις. τὸ γὰρ ξυντεκμαίρεσθαι, τὸ μετὰ λόγου σημειοῦσθαι. ὁ δὲ λόγος αὐτὴν τὴν οὐσίαν ἀνιχνεύει τοῦ πράγματος. ἡ δὲ ἁπλῶς σημείωσις τῇ πείρᾳ ἕπεται, μὴ

1) ἀναδέχεται τὸ M. A. 2) πιληθῇ M. A. Fort. ἀποσφιγχθῇ. 3) τὸ L. 4) ὅμοια om. M. 5) Ἰστέον ὅτι om. L.

δυναμένης αἰτίαν ἀποδοῦναι τῆς σημειώσεως. θαυμάσαι δέ ἐστι τὴν μεγαλόνοιαν τοῦ Ἱπποκράτους, ὅτι διὰ δύο λέξεων τά τε καθόλου συμπεριέλαβε καὶ τὰ κατὰ μέρος. εἰρηκὼς γὰρ τὰ ἐφ᾽ ἑκάστοις, τὰ καθόλου ἐσήμανεν. εἰρηκὼς δὲ τὰ ἕκαστα, τὰ κατὰ μέρος ἐδήλωσε. διὰ γὰρ τοῦ ἐφ᾽ ἑκάστοις περὶ τῶν καθόλου διελέχθη οὕτως· διελέχθη γὰρ περὶ οὔρων, περὶ διαχωρημάτων καὶ ἱδρώτων καὶ ἐμέτων καὶ τῶν τοιούτων. διὰ δὲ τοῦ ἐπάγειν, ἕκαστα ἰδίᾳ γέγραπται, περὶ τῶν κατὰ μέρος 1) διελέχθη. καὶ ὅτι αἱ διαφοραὶ τούτων ἤδη 2) ἐγράφησαν. παραδέδωκε 3) γὰρ ἡμῖν οὔρου διαφορὰς, οἷόν ἐστι τὸ κριμνῶδες, τὸ πιτυρῶδες καὶ νεφελῶδες καὶ ἐναιώρημα καὶ τὰ τοιαῦτα. ἀλλὰ καὶ διαχωρημάτων διαφορὰς παραδέδωκεν. ἐμνημόνευσε γὰρ τρύζοντος διαχωρήματος καὶ ὑφαίμου καὶ μέλανος καὶ τῶν τοιούτων. ἀλλὰ καὶ ἱδρώτων διαφορὰς παραδέδωκεν. ἔφη γὰρ, ποῖοι κατὰ φύσιν εἰσὶν ἱδρῶτες, καὶ ποῖοι παρὰ φύσιν καὶ ὅτι οἱ μὲν θερμοί εἰσιν ἱδρῶτες, οἱ δὲ ψυχροὶ, καὶ ἢ δι᾽ ὅλου τοῦ σώματος γίνονται ἢ ἐν μέρει τοῦ σώματος. ἀλλὰ καὶ περὶ πτυέλου 4) διελέχθη διαφορᾶς ἀφρώδους καὶ ὑποπύου καὶ τῶν τοιούτων. ἀλλὰ καὶ ἐμέτου ἔφη διαφορὰς χολώδους καὶ φλεγματώδους, καὶ συναναμεμιγμένων τούτων καὶ τὰ τοιαῦτα. σκόπει οὖν μεγαλόνοιαν ἀνδρὸς, πόσα διὰ δύο λέξεων ἐσήμανεν. ἐκ τούτων οὖν ἁπάντων τῶν ἤδη εἰρημένων σημείων προγνώσῃ τοὺς τεθνηξομένους καὶ 5) σωθησομένους ἐπὶ τῶν ὀξέων νοσημάτων.

*Χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προγινώσκειν τούς τε περιεσομένους καὶ τεθνηξομένους καὶ τὰ ἑξῆς.* —

Εἰπὼν ὀρθῶς προγινώσκειν ἐσήμανε τὸ ἀκριβῶς καὶ τὸ ἀεὶ καὶ ὡς ἐπίπαν προγινώσκειν. τὸν γὰρ τοιοῦτον οὐ λήσεται, ὅπῃ τρέψηται τὸ νόσημα, ἀλλὰ γινώσκειν καὶ τοὺς ἀπολλυμένους καὶ τοὺς περισωζομένους τῇ ἀκριβεῖ προγνώσει.

---

1) διηλέχθη Codd. 2) ἐγεγράφησαν M. A. 3) δὲ L. 4) διηλέχθη Codd. 5) ἐσομένους M. A.

*Τὰ σημεῖα ἐκμανθάνοντα ταῦτα πάντα δύνασθαι κρίνειν.* —

Ἀντὶ τοῦ ἐκμελετᾷν τὸ μανθάνειν εἶπεν, ὅτι δεῖ σε ἀεὶ ἐκμελετᾷν καὶ ἔχειν κατὰ νοῦν τὰ σημεῖα ταῦτα τὰ ὑπ' ἐμοῦ λεχθέντα. ἐὰν γὰρ ἀείσε ἐκμελετᾷς αὐτὰ, δύνασαι καὶ κρίνειν, ποίας εἰσὶ δυνάμεως, εἴτε ἀγαθὰ 1) ἢ κακά. τὰ ἀγαθὰ ἀγαθά ἐστι, καὶ τὰ κακὰ κακά ἐστιν.

*Εἰσλογιζόμενον τὰς δυνάμεις αὐτῶν πρὸς ἀλλήλας.* —

Τὸ λεγόμενον ἐνταῦθα, τοιοῦτόν ἐστιν, ὅτι οὐ δεῖ προσέχειν τῷ ἀριθμῷ τὰ σημεῖα, ἀλλὰ τῷ ἀξιώματι καὶ τῇ δυνάμει τῶν σημείων. πολλάκις γὰρ ἓν σημεῖον ἀγαθόν ἐστι, πολλὰ δὲ κακὰ, καὶ περιγίνεται τὸ ἓν σημεῖον διὰ τὴν ἰσχύν. οὕτως γοῦν πολλάκις εἰσερχόμενος εἰς τὸν ἄῤῥωστον εὑρίσκω αὐτὸν εὔσφυκτον, καὶ τῇ εὐσφυξίᾳ εὔπνουν, πολλὰ δὲ σημεῖα κακὰ ἐν τοῖς κενουμένοις, τυχὸν δι' οὔρων καὶ ὑποχωρημάτων καὶ ἱδρώτων, καὶ λέγω ὅτι διὰ τὴν ἰσχὺν τῆς εὐσφυξίας περιγίνεται ὁ ἄνθρωπος. καὶ ἰδοὺ ἓν σημεῖον τὸ κῦρος 2) εἶχε παρὰ τὰ πολλά. ἔστι δ' ὅτε 3) σημειούμεθα ἐκ τῶν κενουμένων καὶ ἐκ τῶν ἐνεργειῶν. καὶ ἀναγκαιότεραι αἱ ἐκ τῶν ἐνεργειῶν σημειώσεις ἤπερ τῶν κενουμένων, ἐπειδὴ αἱ ἐνέργειαι ὑπὸ δυνάμεων ἐπιτελοῦνται. καὶ αἱ δυνάμεις τριτταί εἰσιν ἢ ψυχικαὶ ἢ ζωτικαὶ ἢ φυσικαί. καὶ αἱ μὲν ψυχικαὶ σημειώσεις τιμιώτεραί εἰσι καὶ τῷ ἀξιώματι καὶ τῇ δυνάμει τῶν ζωτικῶν. καὶ πάλιν αἱ ζωτικαὶ τιμιώτεραί εἰσι τῶν φυσικῶν. διὰ τοῦτο οὖν ὁ Ἱπποκράτης λέγει ὅτι δεῖ τὰς σημειώσεις οὐ τῷ ἀριθμῷ προσέχειν, ἀλλὰ τῷ ἀξιώματι.

*Εὖ μέντοι χρὴ εἰδέναι περί τε τῶν τεκμηρίων καὶ τῶν σημείων.* —

Παρακελεύεται ὁ Ἱπποκράτης τὸν ἰατρὸν καὶ τῷ λόγῳ κεχρῆσθαι καὶ τῇ πείρᾳ. ταῦτα δὲ ἔφη καὶ ὡς δογματικὸς καὶ ὡς ἐμπειρικός. διὰ γὰρ τοῦ εἰπεῖν αὐτὸν, ὅτι χρὴ εἰδέναι, 4) καὶ περὶ τῶν τεκμηρίων τὸ ἐπιστημονικὸν ἐδήλωσε τοῦ λόγου. διὰ δὲ τοῦ εἰπεῖν καὶ τῶν ἄλλων

1) εἴτε M. 2) ἔσχε M. A. 3) σημειούμενος M. A. 4) καὶ om. M.

σημείων, τὸ στοχαστικὸν τῆς πείρας ἐδήλωσε. δεῖ οὖν τὸν ἰατρὸν καὶ δογματικὸν εἶναι καὶ ἐμπειρικόν.

Ἐπειδὴ καὶ ἐν Λιβύῃ καὶ ἐν Δήλῳ καὶ ἐν Σκύθῃσι φαίνεται τὰ προγεγραμμένα ἀληθεύοντα σημεῖα. —

Ἀποροῦσί τινες λέγοντες, ὅτι πῶς ὁ Ἱπποκράτης βραχυλόγος ὢν, ἐνταῦθα φαίνεται πολλῷ λόγῳ κεχρημένος. ἤδη γὰρ ἀνωτέρω εἰπὼν, ὅτι ἐν παντὶ ἔτει καὶ πάσῃ ὥρᾳ ἠδύνατο εἰπεῖν καὶ ἐν πάσῃ χώρᾳ τὰ αὐτά ἐστι σημεῖα, καὶ ἐν τούτῳ ἀρκεσθῆναι, ἀλλὰ πολυλογίᾳ ἐχρήσατο καὶ ἑκάστην χώραν ἐμνημόνευσε, Λιβύην καὶ Δῆλον καὶ Σκυθίαν; καὶ λέγομεν ὅτι ἐπίτηδες τοῦτο πεποίηκεν, ἀποκρουόμενος ἀπορίαν μεγίστην. ἵνα γὰρ μήτις ἀπορήσῃ αὐτῷ, 1) ὁτιοῦν καὶ ἐν τῇ θερμοτάτῃ χώρᾳ καὶ ἐν τῇ ψυχροτάτῃ τὰ αὐτὰ σημειά ἐστι, τὰ ἀγαθὰ ἀγαθὰ, καὶ τὰ κακὰ κακά. ταύτην οὖν τὴν ἀπορίαν 2) προανακρουόμενος παραδειγματικῶς ἐμνημόνευσε καὶ τῆς θερμοτάτης χώρας καὶ τῆς ψυχροτάτης καὶ τῆς εὐκράτου; ὅτι ἐπὶ πάσης χώρας τὰ ἀγαθὰ σημεῖα ἀγαθά ἐστι καὶ τὰ κακὰ κακά ἐστι. καὶ διὰ τοῦ μνημονεῦσαι Λιβύης, τὴν θερμοτάτην χώραν ἐδήλωσε, διὰ δὲ τῆς Σκυθίας, τὴν ψυχροτάτην, διὰ δὲ τῆς Δήλου, τὴν εὔκρατον.

Ποθεῖν δὲ χρὴ οὐδενὸς νοσήματος τοὔνομα καὶ τὰ ἑξῆς. —

Ἴσως τις ἀπορεῖ ὅτι ὁ Ἱπποκράτης πάντα προθέμενος παραδοῦναι τὰ ὀξέα νοσήματα, οὔτε γὰρ τοῦ συνόχου ἐμνημόνευσεν οὔτε τοῦ καύσου, καίτοι καὶ αὐτῶν ὀξέων νοσημάτων ὄντων· 3) προσαπολογεῖται ὁ Ἱπποκράτης, λέγων ὅτι οὐ περὶ τὴν ὀνομασίαν τῶν νοσημάτων σπουδάζω ζητεῖν, ὅτι τοῦ δεῖνος νοσήματος ὀνομαστὶ οὐκ ἐμνημόνευσα, ἀλλὰ δεῖ σκοπεῖν, ἐάν τι τῶν 4) ἀναγκαίων παρέλειπα σημείων. περὶ γὰρ σημείων ὁ λόγος, οὐ περὶ ὀνομάτων. ἔστι δὲ εἰπεῖν ὅτι καὶ τούτων τῶν νοσημάτων ἐμνημόνευσε δυνάμει, κἂν μὴ ὀνομαστί. καὶ σύνοχον μὲν ἐμνημόνευσεν, ἡνίκα ἔλεγεν, οἵ τε γὰρ

1) cur. 2) προνοούμενος L. 3) προαπολ. M. 4) ἀνάγκων L. παρέλιπεν M.

εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι παύονται, ὁ δὲ σύνοχος ἐντὸς τῆς τετάρτης κρίνεται. ἀλλὰ καὶ τοῦ καύσου ἐμνημόνευσεν, ἐν οἷς ἔλεγεν, ὅτι τινὰ τῶν νοσημάτων τῇ 1) ἑβδόμῃ κρίνεται, ὁ δὲ καῦσος τῇ ἑβδόμῃ κρίνεται πάντως. ἢ εἰπὲ ὅτι τοῦτο πεποίηκεν, ἐπειδὴ ἐγίνωσκεν, ὅτι οὐ παντὶ ἔθνει ἡ αὐτὴ ὀνομασία τῶν 2) ὀνομάτων ἐστὶν, ἀλλ' ἑτέρως 3) ὠνόμασται, καὶ ἀλληνάλλως κέχρηνται τοῖς ὀνόμασι τῶν νοσημάτων. ἄλλως γὰρ παρὰ Σύροις καὶ ἄλλως παρ' Αἰγυπτίοις καὶ ἄλλως παρὰ Ῥωμαίοις. καὶ διὰ τοῦτο τῶν μὲν ὀνομάτων κατεφρόνησε, τῶν δὲ πραγμάτων καὶ αὐτῶν τῶν σημείων φροντίδα καὶ σπουδὴν ἐποιήσατο, ἐν οἷς σὺν θεῷ ἥ τε παροῦσα πραγματεία πληροῦται, καὶ τὰ σχόλια τοῦ προγνωστικοῦ. δόξα τῷ θεῷ. ἀμήν.

---

1) τετάρτῃ M. 2) Fort. νοσημάτων. 3) ὀνομάζεται L.

# ΣΤΕΦΑΝΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΚΑΙ ΙΑΤΡΟΥ ΕΞΗΓΗΣΙΣ ΕΙΣ ΤΗΝ ΤΟΥ ΠΡΟΣ ΓΛΑΥΚΩΝΑ ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΝ.

1) Ὅτι μὲν οὐ τὴν κοινὴν μόνον ἁπάντων ἀνθρώπων φύσιν, ὦ Γλαύκων, ἐπίστασθαι χρὴ τὸν ἰατρὸν, ἀλλὰ καὶ τὴν ἰδίαν ἑκάστου, πάλαι τε πρὸς Ἱπποκράτους ὀρθῶς εἴρηται καὶ ἡμῖν δὲ ἐπ' αὐτῶν, ὡς οἶσθα, τῶν ἔργων τῆς τέχνης ἱκανῶς ἐσπούδασται. —

Τὸ προοίμιον δύο ταῦτα ὑποτείνεται, πρῶτον μὲν, πόθεν ἡ τῆσδε συγγραφῆς ὑπόθεσις γέγονεν, ὅτι Γλαύκων ὁ τὴν αἰτίαν ποιησάμενος. δεύτερον δὲ δείκνυσι, ποῖα μὲν ἑρμηνεύεσθαι τῷ λόγῳ δυνατὸν, ποῖα δὲ ἀδύνατον. τὰ μὲν οὖν κοινὰ τῷ λόγῳ δυνατὸν παραδιδόναι, τὰ δ' ἴδια οὐκέτι. τίς γὰρ δύναται τὸ ποσὸν καὶ τὸ ποιὸν τῆς ἐν ἑκάστῳ ἰδιότητος φωρᾶσαι; τινὲς μὲν οὖν ὑπέλαβον, 2) αὐτὸν τὴν κοινὴν φύσιν ἐνταῦθα λέγειν τῶν ἀνθρώπων τὴν ὑγρὰν καὶ θερμὴν λέγοντες, ὅτι ἐν ἐπι-

---

**Codices.**

A. **Codex Ambrosianus L. 110.** chartaceus, forma quart. saec. **XV.** olim **Pinellianus**, unicus est graecus, quem huius commentarii superstitem in itineribus meis reperi.

G. Versio latina Augustini Gadaldini Mutinensis medici.

1) Codex Ambrosianus Galeni verba haud raro omittit, quae apud Gadaldinum latine leguntur. 2) Galenum.

κρατείᾳ τοῦ ὑγροῦ καὶ θερμοῦ ὁ ἄνθρωπος ἔχει τὴν φύσιν. οὗτοι δὲ δοκοῦσί μοι τῶν ὑπ' αὐτοῦ τοῦ συγγραφέως εἰρημένων ἔν τε ταῖς περὶ κράσεων καὶ ταῖς ἄλλαις αὐτοῦ ἁπάσαις πραγματείαις ἐπιλελῆσθαι. σχεδὸν γὰρ ἀποφαίνεται πανταχοῦ τὰς τῶν ἀνθρώπων κράσεις, ὅτι εἶναι τέσσαρας μὲν ἁπλᾶς, τέσσαρας δὲ συνθέτους, καὶ πρός γε τούτων ἁπασῶν τὴν εὔκρατον. καὶ ἔστιν εὑρεῖν ταύτας ἁπάσας ἐπὶ τῶν ἀνθρωπείων σωμάτων. τί δήποτ' οὖν τὰς λοιπὰς παρέντες τὴν θερμὴν καὶ ὑγρὰν εἰρήκασιν, ἣν καὶ μοχθηρὰν ὑπολαμβάνει, καὶ σηπεδονωδῶν αὐτὴν ἀποφαίνεται νοσημάτων αἰτίαν εἶναι. ἡμεῖς δὲ λέγομεν, ὅτι τῆς φύσεως ὄνομα παρά τε τῷ Ἱπποκράτει, καὶ παρὰ τῷ Γαληνῷ κατὰ τεσσάρων φαίνεται σημαινομένων. σημαίνει γάρ ποτε τὴν κρᾶσιν ὅταν 1) λέγῃ· τῶν φύσεων αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα εὖ ἢ κακῶς πεφύκασι· ποτὲ δὲ τὴν μορίων κατασκευὴν, ὥσπερ ὅταν λέγῃ· τινὰς εἶναι τὴν φύσιν στενοθώρακας, καὶ ἄλλους ὅσοι τὰ σκέλη οἷον ἐλαφρότερα καὶ πρὸς τὴν ἀναλογίαν 2) τῶν ἄλλων λεπτότερα ἔχουσι. σημαίνει δέ ποτε καὶ τὴν τῶν σωμάτων διοικητικὴν δύναμιν, ὅταν λέγῃ ὁ Ἱπποκράτης· φύσιες νούσων ἰητροί. σημαίνει δὲ καὶ τὴν ὁρμὴν τῶν ψυχῶν, ὅταν λέγῃ, φύσιες ζώων ἀδίδακτοι. ἐνταῦθα τοίνυν τὸ τῆς φύσεως ὄνομα φέρει οὐ κατὰ τῆς κράσεως, οὐδὲ κατὰ τῆς τῶν ψυχῶν ὁρμῆς, ἀλλὰ κατὰ τῶν λοιπῶν δύο. ἔστι γὰρ εὑρεῖν τῷ ὄντι κοινήν τινα δύναμιν ἐπὶ πάντων ἀνθρώπων, οἷον τὴν ἀλλοιωτικὴν καὶ τὴν ἀποκριτικὴν καὶ τὴν καθεκτικὴν καὶ τὴν ἑλκτικὴν, ἀλλὰ μὴν καὶ τὴν εὐαισθητικὴν καὶ τὴν κινητικὴν, καὶ πᾶς ἄνθρωπος πάσας ἔχει τὰς δυνάμεις, καὶ οὐχὶ παῖς μὲν ἔχει, ἀκμάζων δὲ οὐκ ἔχει, γέρων δὲ οὐκ ἔχει, ἀλλὰ 3) πάντες ὁμοίως αὐτὰς ἔχει ἐν θέρει καὶ ἐν πάσῃ ὥρᾳ καὶ χώρᾳ καὶ ἐν πάσῃ καταστάσει, ὥστε καὶ τὰς ὑπὸ τούτων γινομένας ἐνεργείας ἔχουσι. καὶ λέγονται ταῦτα εἶναι κοινὰ πάντων ἀνθρώπων ἅπασιν ὁμοίως ὑπάρχοντα. ἀλλὰ μὴν καὶ τὴν τῶν μορίων κατασκευὴν

---

1) λέγει A. 2) pro superiorum ratione G. Fort. legit ἄνω. λεπτοτέραν A. 3) πάντας A. Fort. ἔχουσι.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 254 sur 382

πάντες ὁμοίως ἔχουσιν. οὐ γάρ ἐστιν ὅστις οὐκ ἔχει κεφαλήν τε καὶ χεῖρα καὶ πόδας. οὐδὲ γὰρ εἴ τις τέρας ἐτέχθη, παρὰ τοῦτο τὸν καθόλου λόγον αἰτιᾶσθαι χρὴ, ὡς οὐχὶ ὑγιῶς εἰρημένον. ἅπαντες γοῦν οἱ κατὰ τὴν φύσιν ἔχοντες τὰς χεῖρας καὶ τοὺς πόδας, καὶ ἁπλῶς ὅλον τὸ σῶμα διῃρημένον ἔχουσι τοῖς αὐτοῖς μορίοις, καὶ οὐ διαφέρουσι. αὕτη μὲν οὖν ἐστιν ἡ κοινὴ φύσις. ἔστι δὲ καὶ ἐν ἑκάστῳ ἰδία διαφορά. ἡ μὲν ἐν τῷ Πλάτωνι ἀλλοιωτικὴ διαφέρει τῆς ἐν τῷ Δίωνι διαφορᾷ τινι ἀῤῥήτῳ καὶ λόγῳ ὑποπεσεῖν μὴ δυναμένῃ. καὶ χρὴ διὰ τούτων ἰδίων ὑποχωροῦντας διὰ τὴν περὶ αὐτὰς δυσχέρειαν περὶ τῶν κοινῶν ποιεῖσθαι τὸν λόγον, ἵνα οὕτως ἐξ αὐτῶν ἐπὶ τὰ κατὰ μέρος ἐφαρμόζοντες τὸν λόγον, μὴ πάντα σφαλλώμεθα.

1) Οὐ μὴν γράφειν γε δυνατὸν ὥσπερ τὴν κοινὴν, οὕτω καὶ τὴν ἰδίαν ἑκάστου, ἀλλ' ὑπεναντίως ἔχει τὰ γράμματα πρὸς τὰς πράξεις ἄλλοθί τε πολλαχόθι καὶ οὐχ ἥκιστά ἐν τοῖς νῦν ὑπ' ἐμοῦ προκειμένοις. —

*Διὰ μὲν τῶν εἰρημένων ἀνωτέρω τὴν κατὰ μέρος ηὔξησε χρείαν, διὰ δὲ τῶν νῦν λεγομένων τὴν τούτων θήραν τε καὶ κατάληψιν, ὡς ἀδύνατον οὖσαν ὑποπεσεῖν τῷ λόγῳ, δηλοῖ καί φησιν, ὑπεναντίως ἔχειν ὥσπερ τὰ κοινὰ πρὸς τὰ κατὰ μέρος, οὕτω καὶ τὰ γράμματα πρὸς τὰς πράξεις. ἐν μὲν γὰρ τῷ πράττειν τὰ τῆς τέχνης ἔργα καὶ μεταχειρίζεσθαι τὰ κατὰ μέρος ζητοῦμεν. εἰσιόντες γοῦν παρά τινι τῶν ἀῤῥώστων, οὐ τὴν κοινὴν θεραπεύομεν, ἀλλὰ τὴν ἰδίαν αὐτοῦ φύσιν. ἐν δὲ τοῖς λόγοις τὰ κατὰ μέρος ἀδύνατον μὲν λέγειν τε καὶ ἑρμηνεύειν, τῇ δὲ περὶ τῶν κοινῶν ὑπάγομεν αὐτὰ διδασκαλίᾳ· καὶ τοῦτό ἐστιν οὐ μόνον ἐν τῷ περὶ πυρετῶν λόγῳ, ἀλλὰ κἂν τοῖς ἄλλοις παθήμασι. καὶ γὰρ καὶ περὶ ἐκείνων μὲν τοῖς ἔργοις τὸ μερικὸν θεραπεύομεν, ἐν δὲ τοῖς λόγοις τὸ καθόλου διδάσκομεν.*

---

1) κείμενον A. Sed κείμενον i. e. Galeni verba omisit. Statim sequitur ἐξήγησις.

*Ἠξίωσας μὲν γὰρ ἡμᾶς ἰαμάτων τινά σοι καθόλου μέθοδον ὑποτυπώσασθαι καὶ τὰ ἑξῆς.* —

Ἐνταῦθα πιστώσασθαι μᾶλλον τὸν ἑαυτοῦ λόγον βουλόμενος, ὅτι δὴ τὰ κατὰ μέρος ἐστὶν ἀδύνατον ἑρμηνεύειν τὸν λόγον, καὶ ταῦτα ἐπήγαγεν, ἐν ᾧ δείκνυσι μὲν 1) ἑαυτὸν αἰτήσαντα θεραπευτικὴν αὐτῷ διὰ συντόμων γράψειν μέθοδον. ἀλλ' ἐπειδὴ ταύτην, φησὶν, οὐκ ἐνδέχεται προβῆναι, εἰ μὴ διὰ τεττάρων τούτων, ποσότητός τε καὶ ποιότητος, καὶ τρόπου χρήσεως καὶ τοῦ καιροῦ, χρὴ δηλονότι καὶ τούτους κατορθῶσαι. ἡ μὲν οὖν ποιότης ἀπὸ τῆς διαθέσεως εἴδους λαμβάνεται. εἰ μὲν θερμὸν τὸ νόσημα, ψυχόντων ἡμῶν, εἰ δὲ ψυχρὸν, θερμαινόντων, ὥσπερ γε καὶ εἰ ξηρὸν, ὑγραινόντων, καὶ εἰ ὑγρὸν, ξηραινόντων. ἀλλ' οὐκ 2) ἀρκεῖ ταῦτα μόνον ἡμᾶς εἰδέναι, ἀλλὰ καὶ τὸ ποσὸν χρὴ μετρῆσαι τῶν προσαγομένων βοηθημάτων, ὅπερ οὐκέτι ἀπὸ τοῦ εἴδους, ἀλλ' ἀπὸ τοῦ ποσοῦ τῆς διαθέσεως καὶ τοῦ κατὰ αὐτὴν μεγέθους λαμβάνεται. ἐγνωκὼς γὰρ εἰ τύχει, ὅτι δεῖ ψύξαι, εἰ 3) μὴ εἰδείημεν καὶ τὸ μέτρον ὁπόσον δεῖ ψύξαι, σφάλλεσθαι μὲν περὶ τὴν ἴασιν ἀναγκαῖον. ὡς ὅσοι γε τὸ ποσὸν ἠγνόησαν, ἢ ἀτελέστερον ἐχρήσαντο τοῖς βοηθήμασιν, ἤγουν καὶ εἰς ἐναντίαν τὸ σῶμα φέροντες τὴν δυσκρασίαν ἔλαθον. χρὴ δὲ καὶ τὸν τρόπον εἰδέναι τῆς χρήσεως, οἷον εἰ τύχει, στομάχῳ πάσχοντι πῶς δεῖ προσάγειν τὰ βοηθήματα, ἔσωθεν ἢ ἔξωθεν. πολλάκις γὰρ ἀθεράπευτος ὢν ὁ στόμαχος οὐκ ἀνέχεταί τινος τῶν προσφερομένων φαρμάκων ἔνδοθεν. ἐπὶ τούτου γοῦν ἀγαπῶμεν ἔξωθεν 4) προσάγειν τὴν ἴασιν· ἀλλὰ καὶ δυσεντερία, ἕλκος δὲ αὕτη ἐν ἐντέροις, ποτὲ μὲν διὰ τῶν κάτω, ποτὲ διὰ τῶν ἄνω τὸν τρόπον ἡμῖν τῆς χρήσεως ὑπαγορεύει. τοῦ μὲν γὰρ ἕλκους ἐν τοῖς λεπτοῖς ἐντέροις ὄντος, διὰ τῶν ἀνωτερικῶν βοηθημάτων τὴν θεραπείαν ποιούμεθα· κάτω δὲ ἐν τοῖς παχέσιν ὑπάρχοντος, τοῖς κατωτερικοῖς χρώμεθα. καὶ ἔστιν οὐχ ὁ τυχὼν οὗτος σκοπός. ἁπάντων μὲν τοιούτων ἐστὶ δυσδιαγνωστότατος ὁ καιρὸς, ὀξύτατος ὢν,

---

1) Fort. αὐτόν. 2) ἄρχει A. sufficit G. Unde scripsi ἀρκεῖ. ἡμῶν A. 3) μὲν A. ἴδημεν A. 4) προσάγει A.

καθὰ καὶ Ἱπποκράτης ἐν ἀφορισμοῖς ἀπεφήνατο εἰρηκὼς, ὁ δὲ καιρὸς ὀξύς. τῷ γὰρ ἀεὶ ῥεῖν τὰ ἡμέτερα σώματα, καὶ ἄλλοτε ἄλλως ἔχειν, ἀνάγκη καὶ τὰ βοηθήματα ἐπ᾽ αὐτῶν διάφορα εἶναι, καὶ ἄλλα καθ᾽ ἕκαστον καιρόν. οὐ δυνάμεθα γοῦν τὸν καιρὸν, ὀξύτατον ὄντα, καταλαβεῖν, οὐδ᾽ ἄν τις αὐτῷ συμπαρομαρτῆσαι δυνήσαιτο, ὥστε τὸ πρόσφορον εὐκαίρως προσαγαγεῖν βοήθημα. καὶ διὰ τοῦτο τὰς ἀποτυχίας ὁρῶμεν γινομένας οὐ μόνον τοῖς ἰδιώταις, ἀλλὰ καὶ τοῖς ἀρίστοις ἰατροῖς. ἀλλ᾽ οἱ μὲν ἰδιῶται παρὰ τὴν ἑαυτῶν ἀπειρίαν πταίουσι, οἱ δὲ τεχνῖται διὰ τὴν τοῦ πράγματος ἀκαταληψίαν. τεσσάρων τοίνυν τούτων ὄντων σκοπῶν, οἱ μὲν δύο κοινοί τε καὶ εὐδιάγνωστοι καὶ τοῖς ἰδιώταις, ὅ τε τρόπος τῆς χρήσεως καὶ ἡ ποιότης. τίς γὰρ οὐκ οἶδεν ὅτι τὸ θερμὸν δεῖ ψύχειν, καὶ τὸ ψυχρὸν θερμαίνειν; ἀλλὰ καὶ ὁ τρόπος τῆς χρήσεως, εἰ καὶ τῆς ποιότητός ἐστι δυσκολώτερος, ἀλλὰ οὐ πάντη 1) δυσφώρατος. τὰ δὲ λοιπὰ δύο ἴδιά τε καὶ δυσδιάγνωστα, ὅ τε καιρὸς καὶ ἡ 2) ποσότης καὶ οὐκ ἐνδέχεταί τινα πάθος τι κωλῦσαι, μὴ τούτοις τοῖς σκοποῖς χρησάμενον. ἐν αὐτοῖς γὰρ ἤδη τοῖς ἔργοις τὴν τέχνην αὐτῶν ἐξ ἀνάγκης δεόμεθα. εἰ τοίνυν ἀναγκαῖόν ἐστι διὰ τούτων ποιεῖσθαι τὰς θεραπείας, καὶ δίχα τούτων οὐκ ἐνδέχεται τὴν ἴασιν ἐπιτελεσθῆναι, ἐπεὶ ἑκάστου ἰδία ἐστὶ, τὰ δὲ ἴδια γράφειν ἐστὶ δυσχερὲς, ἐξ ἀνάγκης ἐπὶ τὰ κοινὰ τρεπόμεθα, καὶ ταῦτα διδάσκομεν προηγουμένως εἰς τὰς θεραπείας οὐδὲν ἡμῖν συμβαλλόμενα, κατὰ δεύτερον δὲ λόγον. ἐκεῖνα γὰρ τοῖς κατὰ μέρος ἐφαρμόζοντες, ὀλιγάκις ἀποτυγχάνομεν.

*Καὶ μὲν δὴ καὶ μέγα τὸ ποσὸν εὐστόχως συναρμοσθὲν εἰς δύναμιν ὁ αὐτὸς ἀνὴρ ἔγραψε καὶ τὰ ἑξῆς. —*

Καλῶς προστέθειται τῷ λόγῳ τὸ εὐστόχως. στοχαστικὸν δέ ἐστι τὸ ποσόν. καὶ οὐκ ἄν τις δύναιτο σταθμίσασθαι τοῦτο κατὰ ἀκρίβειαν, ἀλλὰ ἕκαστος ὡς ἂν ἔχῃ φρονήσεως, οὕτω πλησίον τοῦ ἀκριβοῦς ἀφικνεῖται. καὶ ταύτῃ

---

1) δυσφόρατος A. 2) ποιότης A. quantitas G.

πολλοὶ 1) τῶν ἰατρῶν τῶν πέλας διήνεγκαν τῶν ἀφρονεστέρων ἐκείνων, ὄντες ἀμείνονες τοῦ ποσοῦ καταστοχάζεσθαι· 2) τῶν δ᾽ εἰς δύναμιν ἐπὶ τῶν βοηθημάτων παραληπτέον, ἢ ἐπὶ τῆς τοῦ κάμνοντος δόσεως, ἢ ἐπὶ τοῦ ἰατρεύοντος. ἐπὶ μὲν τῶν βοηθημάτων οὕτως, ὅταν προσάγωμεν σώματι νοσοῦντι ἢ τροφὴν ἢ φάρμακον, χρὴ τούτων ἐξετάζειν οὐ τὸν ὄγκον, ἀλλὰ τὴν δύναμιν 3) *..... καὶ ἐν μικροῖς πολλὴν. ἀμέλει γοῦν τῶν ἑρπετῶν ἰὸς ἐλάχιστος μὲν τῷ ὄγκῳ, μέγιστος δὲ τῇ δυνάμει· ἕρπει γοῦν αὐτίκα περὶ τὴν καρδίαν, παρὰ ἧπαρ, παρ᾽ ἐγκέφαλον, καὶ ταῖς ἀρχαῖς τὸ ὅλον συνδιαφθείρει. λάχανα πολὺν μὲν ὄγκον ἔχει, δύναμιν δὲ ἐλαχίστην· σφόδρα γὰρ ὀλίγην παρέχει τῷ σώματι τροφήν. διὰ τοῦτο πολλοὶ τῶν ἰδιωτῶν 4) θαυμάζουσι.

Ἱπποκράτης μὲν καὶ τοῦτο πρῶτος ἁπάντων ὧν ἴσμεν γέγραφεν καὶ τὰ ἑξῆς. —

Ἀτέχνους μέν φησι τοὺς ἀλόγως μετιόντας τὴν τέχνην, καθὰ καὶ ὁ Πλάτων ἐμφαίνει λέγων· 5) τέχνην δ᾽ ἐγὼ οὐ καλῶ, ὃ ἂν εἴη ἄλογον πρᾶγμα, τεχνίτας δὲ, τοὺς ταῖς Ἱπποκρατείαις μεθόδοις κατὰ τῶν νοσημάτων ὁπλιζομένους. ἔχουσι τοίνυν οἱ τεχνῖται πλέον τῶν ἀτέχνων ἐκ τῆς τοιαύτης διαγνώσεως, καθὰ καὶ ὁ Ἱπποκράτης ἐν προγνωστικῷ δείκνυσι λέγων· προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖς νοσέουσι τά τε παρόντα καὶ τὰ προγεγονότα καὶ τὰ μέλλοντα ἔσεσθαι, πιστεύοιτ᾽ ἂν γινώσκειν τὰ τῶν νοσεόντων πράγματα. ἐκ δὲ τούτων ἐν ἐκείνοις ἀποδείκνυσι καὶ τὴν θεραπείαν ἄριστα αὐτῷ προβησομένην. ἀλλὰ πόθεν αὐτῷ ἡ διάγνωσις ἔσται; ἢ δηλονότι ἐκ τοῦ εὐμεθόδως τῇ τέχνῃ χρήσασθαι. τὸ δὲ εὐμεθόδως οὐδ᾽ ἕτερόν ἐστιν ἢ κατὰ διαίρεσιν ὀρθὴν, ὥστε τὰ γένη λαβόντα καὶ τῶν οἰκείων διαφορῶν εἰς εἴδη τέμ-

---

1) Excellentes medici caeteris imprudentioribus praestant G. unde emendavi *ἀφρονεστέρων*. Codex *εὔφρον*. 2) Fort. τό. 3) quippe multa invenire licet, quae in magna mole parvam vim, vel in parva magnam obtineant. G. Desunt igitur: *ἔστι γὰρ εὑρεῖν πολλὰ ἐν πολλῷ ὄγκῳ ὀλίγην δύναμιν κατέχοντα.* 4) G. asteriscum, lacunae signum, adpinxit. 5) In Phaedro.

νοντα, οὕτως εἴς τι καταντᾷ ἄτομον, ὃ μηκέτι τομὴν ἐπιδέχεται. τοῦτο καὶ Μνησίθεος πεποίηκε, φιλοσοφίαν τε καὶ τὴν ἄλλην παιδείαν ἠκριβωμένος, καὶ κατὰ τὴν ἰατρικὴν δὲ τὰ πρωτεῖα φέρων. οὗτος 1) πρώτως ἐπεχείρησε μεθ' Ἱπποκράτην μεθόδῳ τὴν ἰατρικὴν συστήσασθαι, τοιαύτῃ διαιρέσει χρώμενος. καὶ εἰ δοκεῖ, τὴν ἐκείνου διαίρεσιν εἰς μέσον παραγάγωμεν. ἔλεγε τοίνυν ὁ Μνησίθεος, ὅτι ὁ ἰατρὸς ἢ τοῖς ὑγιαίνουσι φυλάττει τὴν ὑγείαν, ἢ τοῖς νοσήσασι θεραπεύει τὰς νόσους. ἀλλὰ τὴν μὲν ὑγείαν φυλάττει διὰ τῶν ὁμοίων, τὴν δὲ νόσον ἀναιρεῖ διὰ τῶν ἐναντίων, καὶ διὰ παντὸς τὰς αἰτίας τῶν νοσημάτων ἐκκόπτει. αὗται δὲ αἰτίαι ἢ τῷ πολλῷ πλεονάζουσι ἢ τῷ ποιῷ. τὸ δὲ ποσὸν ἢ ἐν πνεύμασιν ἢ ἐν ὑγροῖς θεωρεῖται, καὶ τὸ ποιὸν αὖθις ἢ δακνῶδές ἐστιν ἢ ἁλμῶδες ἢ ὀξῶδες ἢ δριμὺ ἢ θερμὸν ἢ ψυχρόν. ἀλλὰ καὶ τούτων ἕκαστον αὖθις 2) αἰτίων γίνεται. ἢ γὰρ οἱ χυμοὶ τοιοῦτοι γεγόνασιν, ἢ ὑπὸ τῆς ἐξαρχῆς φύσεως, 3) ἀντοχηθείσης κατὰ τὴν πρώτην σύμπηξιν τοῦ ζώου, ἢ ὑπό τινος ἐπικτήτου κράσεως πλημμεληθείσης ὕστερον. *

Καὶ γὰρ ὥρα τρέπει τὰς τῶν χυμῶν ἰδέας. τίς γοῦν ἀγνοεῖ, ὅτι τοῦ θέρους ὁ καιρὸς εὔφορός ἐστι χολῆς, φλέγματος δὲ ὁ χειμὼν, καὶ μήν γε καὶ αἵματος τὸ ἔαρ, μελαγχολικοῦ δὲ χυμοῦ τὸ φθινόπωρον. ἀλλὰ μὴν καὶ ἡ χώρα 4) ταὐτὰ δύναται ταῖς ὥραις καὶ ἡλικίαις, καὶ τὸ τῆς διαίτης εἶδος τοιοῦτον ἢ τοῖον ὑπάρχον. ἀλλὰ μὴν καὶ οἱ πόνοι τρέπουσι τοὺς χυμούς. οὗτοι δὲ συνίστανται ἢ περὶ ψυχὴν ἢ περὶ σῶμα, * 5) τῆς δὲ ψυχῆς, ἢ λαγνείαις ἀλόγοις χρώμενοι. καὶ γὰρ καὶ ἀφροδισίων κατάκορος χρῆσις, τὸ τῆς ψυχῆς ὑποκείμενον πνεῦμα διαφοροῦσα, λέγοιτ' ἂν εἶναι 6) ψυχηγὸς πόνος. ἀλλὰ μὴν καὶ 7) φροντίδες καὶ λῦπαι τὰς εἰρημένας τῶν χυμῶν ἐργά-

---

1) Fort. πρῶτος. μεθ' Ἱπποκράτους A. 2) Fort. αἴτιον. Sed et horum singula ab aliis rursus causis fieri. G. 3) ἀντιχηθείσης A. Gadaldinus hoc verbum non vertit. Itaque probabiliter idem legit. Emendavi. Lacuna et in A. et apud G. notatur. 4) ταῦτα A. eadem G. 5) Lacunam notat G. 6) animalis labor G. Fort. ψυχικός. 7) φροντίδαι A.

ζονται ποιότητας. καὶ οὗτος ὁ Μνησίθεος διαιρῶν ἐπὶ ταῦτα κατήντησε μεθ' ἃ λοιπὸν οὐκ ἔστι διελθεῖν. ἀλλ' ἐπειδὴ πρὸς φιλόσοφον διαλεγόμενος τὸν Γλαύκωνα, γένους ἐμνημόνευσε καὶ διαφορῶν καὶ εἰδῶν 1) ἀτόμων, ἐν οἷς ἐκεῖνος διεπέπλαστό γε καὶ ἐσπαργάνωτο, καὶ ταῦτα σχεδὸν εἰπεῖν ἐτρέφετο, παρὰ Πλάτωνος αὐτὰ μανθάνων, διὰ τοῦτό φησιν, ὅτι τὴν τούτων ὑπόμνησιν ἐποιήσαμεν, οὐχ ἵνα σε διδάξω τὰ σά. τοῦτο γὰρ ἂν εἴη γελοῖον· ἀλλ' ὅτι 2) [μὴ] καὶ πρὸς τὴν τῶν διδασκομένων ἐπαγγελίαν ἡ τοιαύτη διαιρετικὴ χρησιμεύει μέθοδος, καὶ ὅτι 3) δι' αὐτῆς κατ' αὐτῆς πταισμάτων αἱ τῶν ἰατρῶν ἀποτυχίαι γίνονται, ὧν ἠξίους μαθεῖν τὰς αἰτίας. νῦν γοῦν ἄκουε, φησίν. ἡ τῶν διαιρέσεων διαφωνία καὶ ἡ τῶν πολλῶν ἰατρῶν ἀποτυχία ἐκ τοῦ μοχθηροῦ τῆς διαιρέσεως γίνεται κατὰ τρόπους τρεῖς, τινῶν μὲν ἀρκεσθέντων τοῖς πρώτοις γένεσι, μηκέτι αὐτὰ τεμόντων εἰς ἕτερα εἴδη κατὰ μέρος, ὥσπερ οὖν καὶ οἱ μεθοδικοὶ πεποιήκασι, 4) στεγνὸν μόνον καὶ ῥοῶδες καὶ ἐπιπεπλεγμένον ἀξιοῦντες εἰδέναι καὶ μηκέτι ταῦτα διαιροῦντες. τινὲς μὲν τὰ γένη διεῖλον· ἀτελῶς μέντοι προῆλθεν αὐτοῖς ἡ διαίρεσις, καὶ οὐδὲ μέχρι τῶν ἀτόμων, ὥσπερ οὖν οἱ περὶ τὸν Ἐρασίστρατον φαίνονται πεποιηκότες. ἄλλοι δὲ καὶ ἄλλως διεῖλον, ἀντιθέντες οὐσιώδεσι διαφοραῖς 5) τὰς ἀπὸ συμβεβηκότων, ὥσπερ ἀμέλει καὶ Ἀρχιγένης ἐποίησεν. ἐκεῖνος γὰρ ἔλεγεν, ὅτι τῶν πυρετῶν οἱ μέν εἰσι σφοδροί, οἱ δὲ χρόνιοι· ἔστι δὲ τὸ μὲν σφοδρὸν τῆς οὐσίας τῶν πυρετῶν οἰκεῖον· τῆς γὰρ θερμότητός ἐστι χαρακτηριστικόν, ἥτις ἐστὶν οὐσία τοῦ πυρετοῦ· τὸ δὲ χρόνιον συμβεβηκός· συμβέβηκε γὰρ τοῖς πυρετοῖς ἢ ἐπὶ πολὺν ἢ ἐπ' ὀλίγον ἐκτείνεσθαι χρόνον. ἔλεγε τοίνυν ὅτι τῶν πυρετῶν οἱ μέν εἰσι σφοδροί, οἱ δὲ χρόνιοι, δέον τῷ μὲν σφοδρῷ τὸ ἀμυδρὸν ἀντιτιθέναι, τῷ δὲ χρονίῳ τὸ ὀλιγοχρόνιον. οὕτως οὖν περὶ τὰς διαιρέσεις σφαλλόμενοι καὶ τὴν τῶν αἱρέσεων συνεστήσαντο διαφωνίαν.

---

1) καὶ G. 2) cruce signat hanc negationem A. et om. G. 3) Fort. διὰ τῶν. 4) γυμνὸν A in mg. στεγνόν. Strictum G. 5) ταῖς A.

Ὅστις δὲ καὶ τὰ κατὰ φύσιν ἅπαντα καὶ τὰ παρὰ φύσιν εἰς τὴν τοιαύτην ἀνάγων μέθοδον, ἐξ ἁπάντων τούτων τῶν κατὰ τὴν διαίρεσιν ἀνενδεῆ λαμβάνοι τὴν ἔνδειξιν, μόνος ἂν οὗτος εἰς ἀνθρωπίνην δύναμιν ἀναμάρτητος εἴη περὶ τὰς ἰάσεις καὶ τὰ ἑξῆς. —

Ἡμεῖς τοίνυν τὴν τοῦ Μνησιθέου παραδεδώκαμεν διαίρεσιν, καὶ τῶν κακῶν περὶ τούτων ἀπεδείξαμεν τὴν μοχθηρίαν. φέρε καὶ τὴν κατ᾽ αὐτὸν τὸν συγγραφέα παραδώσωμεν, δι᾽ ἧς ἀξιοῖ πάντα κατὰ φύσιν, καὶ πάντα παρὰ φύσιν εἰδέναι, καὶ ἀφ᾽ ἑκάστου τινὰ λαβεῖν ἔνδειξιν. τὰ μὲν οὖν κατὰ φύσιν ἢ στοιχεῖά ἐστιν ἢ κράσεις ἢ χυμοὶ ἢ μόρια ἢ δυνάμεις ἢ ἐνέργειαι ἢ ἡλικίαι. ἀλλὰ μὴν καὶ ὧραι καὶ χῶραι καὶ 1) νεώτεραι καταστάσεις. τούτων δ᾽ ἕκαστον ὑποδιαιρεῖται. τῶν γὰρ στοιχείων τὸ μὲν θερμὸν, τὸ δὲ ψυχρὸν, τὸ δὲ ξηρὸν, τὸ δὲ ὑγρόν. καὶ τῶν κράσεων ἐννέα διαφοροὶ, τέσσαρες μὲν ἁπλαῖ, τέσσαρες δὲ σύνθετοι, καὶ πρὸς τούτοις ἡ εὔκρατος. καὶ τῶν χυμῶν ὁ μέν ἐστιν αἱματικὸς, ὁ δὲ φλεγματικὸς, ὁ δὲ ξανθοχολικὸς, ὁ δὲ μελαγχολικός. καὶ τῶν μορίων τὰ μὲν ἄρχει, τὰ δὲ ἄρχουσιν ὑπηρετεῖ, τὰ δὲ συμφύτους μόνον 2) ἔχει δυνάμεις, τὰ δὲ συμφύτους ἅμα καὶ ἐπιῤῥύτους. τὰ μέν ἐστιν ὁμοιομερῆ, τὰ δὲ ὀργανικά· καὶ τῶν ὁμοιομερῶν τὰ μὲν ἐνεργὰ, τὰ δὲ χρειώδη. καὶ πάλιν τῶν ὀργανικῶν, τὰ μὲν ἐνεργὰ, τὰ δὲ χρειώδη.

Καὶ τῶν δυνάμεων αἱ μέν εἰσι φυσικαὶ, αἱ δὲ ψυχικαί. καὶ τῶν ψυχικῶν, αἱ μέν εἰσιν αἰσθητικαὶ, αἱ δὲ κινητικαὶ, αἱ δὲ ἡγεμονικαί. καὶ τῶν αἰσθητικῶν, ἡ μὲν ὀπτικὴ, ἡ δὲ ἀκουστικὴ, ἡ δὲ ὀσφραντικὴ, ἡ δὲ γευστικὴ, ἡ δὲ ἁπτική. αἱ μὲν κινητικαὶ τοῖς κινουμένοις διαιρεῖται μορίοις. τοσαῦται γάρ εἰσι κατ᾽ εἶδος αἱ κινητικαὶ δυνάμεις, ὅσα καὶ τῶν κινουμένων μόρια. 3) * καὶ αὕτη μὲν ἡ τῶν ψυχικῶν δυνάμεων διαίρεσις. τῶν δὲ φυσικῶν, ἡ μέν ἐστι ζωτικὴ ἡ ἐκ καρδίας ὁρμωμένη καὶ διὰ τῶν ἀρτηριῶν ἐπὶ παντὶ σώματι χορηγουμένη, αἱ δὲ τῷ ὄντι

---

1) νεώτεροι A. 2) ἔχον A. 3) G. e conjectura addit: Rectricum (sc. facultatum) alia imaginatrix, alia cogitatrix, alia memoratrix existit.

16

φυσικαί· καὶ τούτων αἱ μὲν πρῶται, αἱ δὲ δεύτεραι. καὶ τῶν πρώτων ἡ μὲν διαπλαστικὴ, ἡ δὲ γεννητικὴ, ἡ δὲ αὐξητική. τῶν δὲ δευτέρων, αἵτινες καὶ ταῖς πρώταις ὑπηρετοῦσιν, ἡ μὲν ἑλκτικὴ, ἡ δὲ καθεκτικὴ, ἡ δὲ ἀλλοιωτικὴ, ἡ δὲ ἀποκριτική. ἡ τῶν 1) ἐνεργειῶν ὑποδιαίρεσις ἡ αὐτή ἐστι τῇ τῶν δυνάμεων· ὅσαι γὰρ δυνάμεις, 2) τοσαῦται καὶ ἐνέργειαι.

Τῶν δὲ ἡλικιῶν ἡ μὲν παιδικὴ, ἡ δὲ ἀκμαστικὴ, ἡ δὲ παρακμαστικὴ, ἡ δὲ γεροντική. καὶ τῶν ὡρῶν ἡ μὲν ἐαρινὴ, ἡ δὲ θερινὴ, ἡ δὲ φθινοπωρινὴ, ἡ δὲ χειμερινή. καὶ τῶν χωρῶν ἡ μέν ἐστι θερμοτέρα, ἡ δὲ ψυχροτέρα, ἡ δὲ ξηροτέρα, ἡ δὲ ὑγροτέρα. 3) καὶ τῶν καταστάσεων ὁμοίως. καταστάσεις δὲ λέγομεν τὰς μερικὰς τοῦ ἀέρος μεταβολὰς, αἵτινες οὐκ ἐξ ἀνάγκης σύμφωνοι γίνονται τῇ ὥρᾳ. ἐπεί τοι πολλάκις ἐστὶν εὑρεῖν ἐν θέρει χειμερινὴν κατάστασιν καὶ ἐν χειμῶνι θερινὴν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. αὕτη μὲν οὖν ἡ τῶν κατὰ φύσιν διαίρεσις.

Μεταβῶμεν δὲ λοιπὸν ἐπὶ τὸ ἕτερον τμῆμα τὸ τῶν παρὰ φύσιν. ταῦτα γὰρ κατὰ γένος εἰσὶ τρία· τὰ μὲν γὰρ ποιεῖ, τὰ δὲ γίνεται· τὰ δὲ 4) ἕπεται. ποιεῖ μὲν τὰ αἴτια, γίνεται καὶ τὰ νοσήματα, ἕπεται δὲ τὰ συμπτώματα. τῶν δὲ αἰτίων, τὰ μέν ἐστι προκαταρκτικὰ, τὰ δὲ προηγούμενα, τὰ δὲ συνεκτικά. καὶ τῶν νοσημάτων, τὰ μέν ἐστιν ὁμοιομερῆ, τὰ δὲ ὀργανικὰ, τὰ δὲ κοινά. καὶ τῶν ὁμοιομερῶν τὰ μὲν ἁπλᾶ, τὰ δὲ σύνθετα, καὶ τὰ μὲν κατὰ ψιλὴν ποιότητα, τὰ δὲ μεθ᾽ ὕλης ἐπιῤῥύτου. καὶ τῶν ὀργανικῶν τὰ μὲν παρὰ τὴν διάπλασιν, τὰ δὲ παρὰ τὸν ἀριθμὸν, τὰ δὲ παρὰ τὸ μέγεθος, τὰ δὲ παρὰ τὴν σύνθεσιν. καὶ τῶν παρὰ τὴν διάπλασιν, τὰ μὲν παρὰ τὸ σχῆμα, τὰ δὲ παρὰ τὸν πόρον, τὰ δὲ παρὰ τὴν κοιλότητα, τὰ δὲ παρὰ τὴν τραχύτητα, τὰ δὲ παρὰ τὴν λειότητα. καὶ τῶν παρὰ τὸν ἀριθμὸν, τὰ μὲν ἐλλείπει, τὰ

---

1) ἐνεργειῶν om. A. G. lacunae nota. 2) τοσαῦται καὶ om. A. G. lacunae nota. 3) G. addit: alia calidior et siccior, vel calidior et humidior, vel frigidior et siccior, vel frigidior et humidior; alia temperata. 4) ἕπε A.

δὲ πλεονάζει, καὶ τῶν ἐλλειπόντων τὰ μὲν 1) ὅλα ἐλλείπει, τὰ δὲ 2) μέρη. καὶ τῶν πλεοναζόντων τὰ μὲν ἐκ τοῦ γένους τῶν κατὰ φύσιν, τὰ δὲ ἐκ τοῦ γένους τῶν παρὰ φύσιν. καὶ τῶν παρὰ τὸ μέγεθος, τὰ μὲν ἐνδεῖ, τὰ δὲ ὑπερβάλλει. καὶ τῶν παρὰ τὴν θέσιν, τὰ μὲν γίνονται ἐκ τῆς κατὰ φύσιν θέσεως τῶν 3) μορίων ἐξαλλαττομένης, τὰ δὲ τῆς πρὸς ἄλληλα κοινωνίας παραβλαπτομένης. αὕτη καὶ τῶν νοσημάτων ἡ διαίρεσις. τῶν δὲ συμπτωμάτων, τὰ μὲν ἐν βλάβαις ἐνεργειῶν θεωρεῖται ὥσπερ ἀπεψία καὶ ἀμβλυωπία καὶ ἥτις ἄλλη βλάβη, τὰ δὲ ἐν διαθέσει σωμάτων, ὥσπερ ὅταν ἄχροια καταλάβη τὸ σῶμα, ὥσπερ ἐπὶ τῶν ἰκτέρων, καὶ ἥτις ἄλλη διάθεσις, τὰ δὲ ἐν ἐκκρινομένοις καὶ ἐπεχομένοις, ὥσπερ ἐν διαῤῥοίαις καὶ ἐπισχέσει γαστρὸς, ἐν ἰσχουρίαις τε καὶ τῷ καλουμένῳ διαβήτῃ. τῆς δὲ βλάβης τῶν ἐνεργειῶν ἡ μέν ἐστι παντελὴς, ἡ δὲ ἀμυδρὰ, ἡ δὲ πλημμελής. καὶ εἰς τοῦτο ἡμῖν ἡ τοῦ συγγραφέως τελευτάτω διαίρεσις, 4) ἀρξαμένη ἀπὸ τῶν γενικωτάτων, προελθοῦσα δὲ ἐπὶ τὰ ἄτομα διὰ μέσων τῶν ὑπ᾽ ἀλλήλων εἰδῶν, ἃ γένη μέν ἐστι τῶν μετὰ ταῦτα, εἴδη δὲ τῶν πρὸ αὐτῶν, καὶ διὰ τοῦτο καὶ τῆς τῶν παραλλήλων προσηγορίας τετύχηκεν.

Ἀρξώμεθα οὖν ἀπὸ τῶν πυρετῶν, ἐπειδὴ καὶ σὺ τῆς τούτων ἰάσεως μάλιστα ἠξίου σοι τὴν μέθοδον λεχθῆναι καὶ τὰ ἑξῆς. —

Ἐντεῦθεν λοιπὸν ἄρχεται τὸ ὑπὸ τοῦ Γλαύκωνος αἰτηθὲν ποιεῖν. καὶ πρῶτόν γε τῆς θεραπείας τὴν μέθοδον παραδίδωσι τῶν ἐφημέρων πυρετῶν. ἐφημέρους δὲ καλοῦσι πυρετοὺς τοὺς ἐπὶ τῷ πνεύματι θερμαινομένους, οἵτινές εἰσιν ἁπλούστατοι καὶ εὐηθέστατοι, καὶ μιᾶς ἡμέρας χρόνον εἰς γένεσιν ἔχοντες ἀρκοῦντα. γίνονται δὲ οὗτοι ἢ ὑπὸ σωματικῶν κινήσεων ἢ ὑπὸ ψυχικῶν, σωματικῶν μὲν, ἐν κόποις καὶ στεγνώσεσι καὶ μέθαις, ψυχικῶν δὲ, ἔν τε 5) φροντίσι καὶ λύπαις καὶ θυμοῖς καὶ τοῖς τοιούτοις. ἐκ τούτων γὰρ ἁπάντων συντριβόμενον

---

1) ἄλλα A. tota G. 2) μέρει A. 3) μορρίων A. ἐξαλλατομένων A. 4) ἀρξάμενοι A. 5) φροντίσεσι A.

1) [τὸ πνεῦμα] καὶ δριμύτερον ἑαυτοῦ γινόμενον, μεταδίδωσι τῇ καρδίᾳ τῆς θερμασίας καὶ ἀνάπτει πυρετόν. εἰσὶν οὖν ἅπαντες οὗτοι, ὡς εἰρήκαμεν, εὐήθεις, ὥσπερ οὖν καὶ ἐπὶ βουβῶσι. δεῖται δὲ ὁ λόγος ὁ ἐπὶ τούτων προσδιορισμοῦ. τῶν γὰρ ἐπὶ βουβῶσι πυρετῶν οἱ μέν εἰσιν ἐφήμεροι, γίνονται δὲ, προηγησαμένης τινὸς αἰτίας ἐναργοῦς κατὰ τὸ σῶμα, οἷον ἢ προσπταίσαντός τινος, ἢ ἄλλως ἕλκος ἔχοντος. ἐπειδὴ γὰρ ἀεὶ τὰ ὀδυνώμενα ῥευματίζεται, σπουδάζουσιν αἱ ὗλαι φέρεσθαι παρὰ τὸ ἡλκωμένον, 2) εἶτα κατὰ τὴν πάροδον ἐντυγχάνουσαι τῷ ἀσθενεστέρῳ τῶν μορίων κατασκήπτουσιν εἰς αὐτὸ, καὶ κακοῦσι, καὶ εἰς ὄγκον αἴρουσι. καλεῖται δὲ τὸ τοιοῦτον βουβών· πολλάκις δὲ, πλήθους ὄντος ἐν τῷ σώματι, καὶ κινδυνεύοντος ἀποπνίξαι τὴν δύναμιν, ἡ φύσις οἷον ἀπομάχεται, καὶ διαλακτίζει, βουλομένη αὐτὸ 3) ἀπωθεῖσθαι. ἐπειδὴ τοίνυν οὐ δύναται διὰ τῶν αἰσθητῶν ἐκκρίσεων τὴν κένωσιν αὐτοῦ ποιήσασθαι,* πέμπει αὐτὸ περὶ τὰ ἀσθενέστερα τῶν μορίων, τὰς ἀδένας λέγω, ὥσπερ εἴ τινές εἰσι πολέμιοι πόλιν πολιορκοῦντες, ἣν φυλάττουσι διάφοροι στρατηγοὶ, διώκονται μὲν ὑπὸ τῶν 4) ἰσχυροτέρων, ἐπιτίθενται δὲ τοῖς ἀσθενεστέροις, ὑφ᾽ ὧν οὐκέτι δύνανται διώκεσθαι. οὕτω καὶ οἱ χυμοὶ, διωκόμενοι ὑπὸ τῆς ἐῤῥωμένης δυνάμεως, ἐπὶ τὰ ἀσθενέστερα τῶν μορίων ἔρχονται, τοὺς ἀδένας λέγω, οἵτινες οὐ μόνῳ τῷ τῆς ἀσθενείας λόγῳ ἐπιτηδείως ἔχουσι πρὸς τὴν τῶν ὑλῶν ὑποδοχὴν, ἀλλὰ καὶ διὰ τὴν οἰκείαν ἀραιότητα. χαῦνοι γὰρ ὄντες καὶ τοὺς πόρους ἀναπεπταμένους ἔχοντες, ἑτοίμως εἰσδέχονται τὸ πλῆθος εἰς ἑαυτούς. οὗτοι τοίνυν οἱ ἐπὶ τῷ πλήθει γινόμενοι πυρετοὶ οὐκ εἰσὶν εὐήθεις, ἀλλ᾽ ἐκ τῶν ἐπὶ σήψεσι πυρετῶν γινόμενοι κίνδυνον ἐπιφέρουσιν, οὐ τὸν τυχόντα. καὶ χρὴ προσέχειν ἀκριβῶς τὸν νοῦν, μήπως λάθωμεν τοὺς ἐπὶ σήψει πυρέττοντας ἀφυλάκτως διαιτῶντες, ἐκ τοῦ νομίζειν ἐφήμερον αὐτοὺς ἔχειν πυρετὸν, τῆς τοιαύτης ἀπάτης γινομένης ἐκ τῆς ὑπὸ βουβῶνος κοινωνίας ἐπί τε τῶν ἐπὶ σήψει καὶ τῶν ἐφημέρων,

---

1) spiritus i. e. πνεῦμα add. G. asterisci nota. 2) εἲ τὰ A. 3) G. deponere, i. e. ἀποθέσθαι. 4) ἰσχνοτέρων A. a potentioribus G.

ὡς εἰρήκαμεν, γινομένων. τοὺς τοίνυν ἐφημέρους πυρετοὺς οὐκ ἔστι χαλεπὸν θεραπεῦσαι, ἀλλὰ καὶ πάνυ ῥᾴδιον. εὐθὺς γὰρ μετὰ τὴν τοῦ παροξυσμοῦ παρακμὴν, λουτροῖς μὲν κελεύομεν αὐτοὺς χρήσασθαι κἀπὶ τὴν συνήθη δίαιταν αὐτοὺς ἀπάγομεν. οἱ δὲ μεθοδικοὶ οὐχ οὕτως πως, ἀλλὰ τούτους παραλαβόντες κελεύουσιν ἐπὶ τρεῖς ἡμέρας ἀσιτεῖν, φυλάττεσθαι τὸν διὰ τρίτης ἀξιοῦντες παροξυσμόν. ὑπολαμβάνουσι γὰρ ἅπαντα σχεδὸν τὰ νοσήματα διὰ τρίτης παροξύνειν. οὗτοι τοίνυν μέγιστα τοὺς οὕτω κάμνοντας βλάπτουσι, δριμυτέρους αὐτοὺς ἑαυτῶν 1) ἀποτελοῦντες, καὶ τῇ ἀπὸ τοῦ πυρετοῦ δριμύτητι τὴν ἀπὸ τῆς ἀσιτίας ἐπιτιθέντες δυσκρασίαν. οὐ μόνον δὲ τοῦτο πταίουσιν, ἀλλ᾽ ἵνα τι δόξωσι ποιεῖν, εἰ μὴ μάτην ἀνιέναι περὶ τὸν κάμνοντα, 2) καταιονήσεσί τε χρῶνται ἀκαίροις, καὶ ἐμβροχαῖς καὶ καταπλάσμασιν, ὑφ᾽ ὧν οὐδὲν μόνον ὁ κάμνων ὀνίναται, ἀλλὰ καὶ βλάπτεται, καὶ διὰ τοῦτό φησιν ἐπ᾽ αὐτῶν ὁ Γαληνὸς χειροποίητον γίγνεσθαι τὸ νόσημα.

Τὰ μὲν δὴ τῆς θεραπείας τοῖς τοιούτοις πυρετοῖς πρόχειρα, τὰ δὲ τῆς διαγνώσεως ἀκριβείας πλείονος δεῖται καὶ τὰ ἑξῆς. —

Ἡ διάγνωσις ὁδός ἐστιν ἐπὶ θεραπείαν, καὶ δίχα ταύτης οὐκ ἐνδέχεταί ποτε κατορθῶσαι τρόπον ἰάσεως. οὐκοῦν ἀναγκαῖον [εἰπεῖν] ἐφήμερον πυρετὸν τὸν μέλλοντα θεραπεύειν πρότερον τὴν αὐτοῦ διάγνωσιν εἰπεῖν. πρόχειρον μὲν οὖν εἰπεῖν, ὅτι οἱ μὲν ἐφήμεροι ὑπὸ προκαταρκτικῆς αἰτίας γίνονται, οἱ δὲ ὑπὸ σήψει οὐκέτι, καὶ ταύτῃ διακρῖναι τούτους ἀπ᾽ ἐκείνων. ἀλλ᾽ ἐπειδὴ συμβαίνει πολλάκις τὸν ἐπὶ σήψει πυρετὸν 3) εἰσβάλλειν σύν τινι τῶν προκαταρκτικῶν αἰτιῶν, ὡς ἐκ τούτου πολλάκις ἀπατωμένους τοὺς ἀγυμνάστους τῶν ἰατρῶν ὑπολαμβάνειν ἐφήμερον εἶναι τὸν πυρετὸν, κἀντεῦθεν ἀφυλάκτως διαιτῶντας μεγάλως πταῖσαι, καὶ κίνδυνον οὐ τὸν τυχόντα τῷ κάμνοντι περιποιῆσαι, διὰ τοῦτο κάλλιόν

---

1) ἀπολοῦντες A. ἀποτελοῦτες qui reddant G. 2) καταιονισθέσι A. χρώμενον A. 3) εἰσβάλλει A.

ἐστιν ἅπασαν ἀκριβῶς τῶν ἐφημέρων τὴν φύσιν παραστῆσαι διὰ τῶν καλουμένων σημείων τῶν τε παρόντων καὶ τῶν προγεγονότων. τούτων δὲ τὰ μέν ἐστι μέγιστα καὶ κυριώτατα, τὰ δέ δευτέραν ἔχει τὴν φύσιν. καὶ χρὴ 1) κάλλιστα μὲν τοῖς μεγίστοις πιστεύειν, ἤδη δὲ προστιθέναι καὶ τὴν τῶν ἐλαχίστων ψῆφον. ταῦτα γὰρ προστιθέμενα βεβαιοῖ τὰ μείζονα. μέγιστα δ᾽ ἐστὶ σημεῖα, ὅσα ἀπὸ τῶν ἀρχῶν λαμβάνεται. ἀρχαὶ δὲ τρεῖς, ὡς πολλάκις μεμαθήκαμεν, ἐγκέφαλος, καρδία καὶ ἧπαρ. ὁ μὲν οὖν ἐγκέφαλος οὐ πάνυ 2) μεγάλως ἡμῖν εἰς τὴν τοῦ πυρετοῦ συμβάλλεται διάγνωσιν, καρδία δὲ καὶ ἧπαρ, καὶ ταῦτ᾽ εἰκότως, εἴ γε καρδίας μὲν ἴδιον πάθος ὁ πυρετός. δηλοῦται δὲ ταύτης ἡμῖν ἡ διάθεσις διὰ τῶν σφυγμῶν. ἀλλὰ καὶ τῶν χυμῶν ἐστιν ἡ θερμασία τῶν ἐν ταῖς φλεψὶ καὶ τῷ ἥπατι, οἵτινες δηλοῦνται διὰ τῶν οὔρων. οὐκοῦν τὰ μέγιστα σημεῖα ἐν πυρετοῖς οὖρά τέ ἐστι καὶ σφυγμοί. τὰ δὲ λοιπὰ κατάκλισις, καὶ κατακλίσεως διαφοραὶ, ὅσα περὶ τὸ πρόσωπον φαίνεται τετραγῳδημένα κατὰ τὸ προγνωστικὸν ὑφ᾽ Ἱπποκράτους, ἀναπνοὴ καὶ ὁ ταύτης 3) ἀριθμὸς, καὶ εἴ τις ἐνέργεια κατά τι μόριον βέβλαπται, καὶ τὰ ἐκκενούμενά τε καὶ ἐπεχόμενα, καὶ εἴ τι μόνον ὄγκον ἔχει ἤ τινα ὀδύνην. ταῦτα πάντα δεῖ προσθεῖναι τῇ ἀπὸ τῶν μεγίστων διαγνώσει. οὐκοῦν χρὴ τὰ μὲν οὖρα κατὰ τὸν ἐφήμερον πυρετὸν 4) ὑπόστασιν λευκὴν, λεῖαν καὶ ὁμαλὴν καὶ τῇ τῶν ὑγιαινόντων ὁμοίαν, ὀλίγον δὲ μόνον κατὰ τὸ χρῶμα καὶ τὴν σύστασιν παρατετράφθαι διὰ τὴν ἀπὸ τοῦ πυρετοῦ θερμασίαν δριμύτερά πως γεγονότα καὶ μηδὲν σήψεως ἔχοντα σημεῖον. ἔστι δὲ τοῦτο ἡ ἀνωμαλία τῆς ὑποστάσεως. τοιαῦτα μὲν οὖν ἔστω τὰ οὖρα. ἀλλὰ καὶ ὁ σφυγμὸς μέγας μένει καὶ ταχύτερος καὶ πυκνότερος διὰ τὴν θερμασίαν, ὁμαλὸς μέντοι καὶ μηδεμίαν ἐνδεικνύμενος ἀνωμαλίαν μηδὲ τὴν συστολὴν ἐπιταχύνων, ὃ μάλιστα τῶν ἐπὶ σήψει ἐστὶν ἴδιον, ἐπειγομένης τῆς δυνάμεως διὰ τῆς συστολῆς ἐκκρῖναι τὰ σηπεδονώδη καὶ λιγνυώδη περιττώματα. εἰ δὴ καὶ

---

1) Fort. *μάλιστα.* maxime G. 2) *μεγάλη* A. 3) rhythmus G. 4) Addas *ἔχειν.*

ἔχοιεν ἀνωμαλίαν οἱ σφυγμοὶ, μετρία τις αὕτη γενέσθω.
γίγνονται δέ ποτε διὰ τοὺς ἐπὶ στεγνώσει γινομένους
ἐφημέρους. ἐπὶ τούτων γὰρ ἀποκεκλεισμένων τῶν πόρων
καὶ μηκέτι τῶν εἰωθότων διαφορεῖσθαι κενουμένων, ἡ
δύναμις ὑπ᾽ αὐτῶν βαρουμένη ποιεῖ τινα κατὰ τὸν σφυγ-
μὸν ἀνωμαλίαν. ταῦτα μὲν οὖν ἐστι τὰ μέγιστα. εἰ δὲ
καὶ πάντα τὰ εἰρημένα αὐτοῖς συμβαίνοιεν, τηνικαῦτα
χρὴ βεβαιοῦν τὴν διάγνωσιν, ἐπειδὰν μὲν ἐπιστημονικω-
τέρα γένοιτο αὕτη, εἰ καὶ τὸν πυρετὸν ὁ κάμνων εἴποι
γεγενῆσθαι αὐτῷ ὑπό τινος προκαταρκτικῆς αἰτίας ἢ τῆς
τῶν περὶ 1) αὐτόν. καὶ χρὴ τηνικαῦτα θαῤῥοῦντα εὐθέως
μετὰ τὴν λύσιν τοῦ παροξυσμοῦ ἐπὶ τὸ λουτρὸν ἀπάγειν.
οὐ μὴν οὐδὲ ἐν αὐτῇ τῇ λύσει τοῦ νοσήματος ἀμελητέον
τῆς διαγνώσεως, ἀλλὰ δὴ κἀν τῷ λουτρῷ, καὶ μετὰ τὸ
λουτρὸν, προσέχειν τοῖς σημείοις, ἐν μὲν τῷ λουτρῷ, εἰ
μή τις αὐτοῖς γίνεται φρίκη. αὕτη γὰρ ἐπὶ τῶν ἐπὶ σή-
ψει πέφυκε γίνεσθαι, σηπεδονωδῶν περιττωμάτων ὑπὸ
τῆς τοῦ λουτροῦ 2) ἀλέας * χρωμάτων καὶ φερομένων περὶ
τὰ αἰσθητικὰ μόρια καὶ δακνόντων αὐτὰ καὶ ταύτῃ 3) τῇ
φρίκῃ ποιούντων. ἀλλὰ καὶ μετὰ τὸ λουτρὸν ἐπιθεῖναι
δεῖ τοὺς δακτύλους τῇ ἀρτηρίᾳ καὶ πυνθάνεσθαι αὐτῆς,
μή τινα τῶν παρὰ φύσιν ἔχει διάθεσιν τὸ σῶμα. εἰ
γὰρ ἀληθῶς τῆς τῶν ἐφημέρων ἐστὶ φύσεως ὁ πυρετὸς,
οὐδένα παρὰ φύσιν 4) ἐνδείξεται τρόπον ὁ σφυγμὸς, ἀλλὰ
κατὰ πάντα τὸν τῶν ὑγιαινόντων φυλάξει ῥυθμὸν, οὐχ
ὥσπερ ἐπὶ τριταίων καὶ τεταρταίων καὶ πάντων τῶν ἐπὶ
σήψει. ἐπ᾽ ἐκείνων γὰρ οὐδ᾽ ἐν τῷ διαλείμματί ἐστιν εὑ-
ρεῖν τὸν σφυγμὸν ἐοικότα πάντῃ 5) τῷ κατὰ φύσιν, ἀλλὰ
πάντως ἔχοντά τι σημεῖον σήψεως. ἐπὶ μέντοι τῶν ἐφη-
μέρων σὺν τῇ τοῦ παροξυσμοῦ λύσει καὶ τὰ νοσοποιὰ
αἴτια παύεται, καὶ οὐδὲν λείψανον ἔτι μένει τῆς τὸν
πυρετὸν 6) ἐργασαμένης. ἀλλὰ καὶ τισιν αὐτῶν νοτίδες
χρησταὶ φαίνονται, καί τισιν ἱδρῶτες. καὶ ἄξιον ζητήσεως,
πόθεν, τοῦ πυρετοῦ ἐπὶ πνεύμασιν ὄντος, ἱδρὼς ἐκκρίνε-

---

1) αὐτῶν A. 2) ἐλέας A. χρωμάτων] Fort. χεομένων. quum fun-
dantur G. 3) Fort. τὴν φρίκην. 4) ἐνδείξηται A. 5) τῶν A.
6) Om. διαθέσεως. affectionis G.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 267 sur 382

ται; καὶ λέγομεν ὅτι τὸ πνεῦμα τὸ ἤδη θερμανθὲν ἐκκρινόμενον, καὶ εὑρίσκον περὶ τὴν ἐπιφάνειαν χυμόν τινα, λεπτύνει τοῦτον καὶ εἰς ἱδρῶτας ἀναλύει καὶ ἑαυτῷ συνεκκρίνεσθαι ποιεῖ. τινὲς δὲ λέγειν ἐπεχείρησαν, ὅτι τὸ πνεῦμα ἐπείγεται μὲν διαφορηθῆναι, εἶτα πυκνότερον τῇ ἐπιφανείᾳ ἐντυγχάνον στέγεται καὶ εἰς τὴν τοῦ ὕδατος ἐπανέρχεται φύσιν, κἀντεῦθεν ἱδρὼς ἐκκρίνεται. τοῦτο δέ ἐστιν ἀνόητον, πρῶτον μὲν ὅτι τὸ τοιοῦτον σύμπτωμα οὐ πνεῦμα, ἀλλ' ἀτμὸς πέφυκεν ὑπομένειν. ἔπειτα δὲ καὶ δῶμεν τὸ πνεῦμα δύνασθαι τρέπεσθαι εἰς ὕδωρ, ἀλλὰ τραπὲν οὐκέτι δυνήσεται ἐκκριθῆναι. εἰ γὰρ οὕτως ἐπυκνώθησαν οἱ πόροι, ὡς πνεύματι μὴ εἶναι βατοὶ, πολλῷ μᾶλλον 1) οὐ συγχωρήσουσι τῷ ὑγρῷ ἐξιέναι· παχύτερον γὰρ ἀεὶ τοῦ πνεύματος τὸ ὑγρὸν, ὥστε ταύτην μὲν οὐ παραδεκτέον τὴν ἐξήγησιν, τὴν δὲ ὑφ' ἡμῶν εἰρημένην. διαφέρει καὶ νοτὶς ἱδρῶτος τῷ ποσῷ· ἱδρὼς μὲν γάρ ἐστιν ὁ πολὺς, αἱ νοτίδες δὲ ὀλίγαι. χρὴ οὖν προσέχειν ἅπασι τούτοις τοῖς σημείοις μετὰ βαλανεῖον. καὶ μέντοι καὶ τὰ οὖρα πάλιν ἐπισκέπτεσθαι καὶ προσέχειν, εἰ πολλῷ κρείττονα νῦν γεγόνασι· πάντως δὲ δηλονότι 2) εἴ τι σύμπτωμα κατὰ τὸν πυρετὸν ἐγένετο, τοῦτο καὶ νῦν λυθήσεται. καὶ ὃ ἐπὶ πᾶσι τούτοις 3) κολοφωνεῖ, τοῦ κάμνοντος εὐφορία. αὕτη γὰρ μάλιστα τὴν τοῦ ἐφημέρου πυρετοῦ διάγνωσιν βεβαιοῖ. ἐπὶ γὰρ τῶν ἐπὶ σήψει πάντως ἄλυς τις γέγονε, καὶ σηπεδονωδῶν τινων σπερμάτων φερομένων ἐπὶ τὸ στόμα τῆς γαστρὸς καὶ τὸ τοιοῦτον ἐργαζομένων σύμπτωμα. εἰ τοίνυν ταῦτα τὰ εἰρημένα ὑφ' ἡμῶν σύμφωνα εἴη, καὶ συνφθέγγονται ἀλλήλοις ἐνδεικνύμενα τὴν τοῦ ἐφημέρου πυρετοῦ φύσιν, χρὴ θαῤῥοῦντας λούειν καὶ τρέφειν τὴν συνήθη δίαιταν. δοτέον δ' αὐτοῖς καὶ οἶνον, μετροῦντας τούτου τὸ μέτρον πρὸς τὸ τοῦ κάμνοντος ἔθος, καὶ τὴν παροῦσαν χρείαν. τοῦτο γάρ ἐστιν ὅ φησιν, ὅσον τοῖς παροῦσι μέτριον.

*Ἡμεῖς δ' ὡς οἶσθα πειρώμεθα λέγειν αὐτοῖς τὸ προηγησάμενον αἴτιον, οὐ περιμείναντες ἔρεσθαι τὸν κάμνοντα.—*

---

1) εἰ συγχωρήσωσι A. 2) εἴτοι A. 3) καλοφονεῖ A. quod Colophonem imponit G. Fort. κολοφωνία sc. ψῆφος.

Τῶν νοσοποιῶν αἰτίων, ὡς ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν, τὰ μέν ἐστι προκαταρκτικὰ, τὰ δὲ προηγούμενα, τὰ δὲ συνεκτικά. δεῖ τὸν ἰατρὸν εἰδότα 1) προαγορεύειν * .... τὰ δὲ προκαταρκτικὰ παρὰ τῶν καμνόντων πυνθάνεσθαι. νυνὶ δὲ καὶ αὐτῶν, ὡς ἐνδέχεται, βούλεται παραδοῦναι διάγνωσιν ἡμῖν ὁ Γαληνὸς, ὅπως ἂν αὐτὰ προαγορεύοντες εὐκλεεῖς τε γινώμεθα, καὶ μήτε ὑπὸ τῶν ἀῤῥώστων ἀπατώμενοι περὶ τὰς θεραπείας ἀποτυγχάνωμεν. ἀλλὰ τῶν προκαταρκτικῶν τὰ μέν ἐστι ψυχικὰ, τὰ δὲ σωματικά. οὐκοῦν πρότερον παραδῶμεν τὴν τῶν ψυχικῶν διάγνωσιν. ἔστι δὲ ταῦτα θυμὸς, λύπη, φροντὶς, ἀγρυπνία. χρὴ δὲ ἐκεῖνο πρότερον εἰπεῖν, ὅτι ταῦτα ἐπὶ τὸν κάμνοντα περιέχουσιν. ἀμέλει τοι πολλάκις πολλοὶ πυρέττοντες, ἐπιθυμοῦνται ἢ λυποῦνται ἢ φροντίζουσιν ἢ ἀγρυπνοῦσιν· ἢ τοίνυν ἔτι δρᾷ ταῦτα τὰ αἴτια, ἢ ταῦτα μὲν οἴχεται, ἡ δὲ ἀπ' αὐτῶν διάθεσις ἐν τῷ σώματι μένει. εἰ μὲν τῶν αἰτίων παρόντων τὴν ἐπίσκεψιν ποιούμεθα, οὐδὲν ἔσται χαλεπὸν διαγινώσκειν αὐτὰ τῶν σφυγμῶν 2) ἁπτόμενον· οὗτοι γὰρ ἡμῖν τὰ τῆς καρδίας παραδιδόασιν. 3) ἑκάστου δὲ τούτων ἐν τῷ περὶ σφυγμῶν ἐμάθομεν τὴν διαφοράν. εἴρηται γὰρ ἐν ἐκείνοις, τίς μὲν ὁ τῶν θυμουμένων, τίς δὲ ὁ τῶν λυπουμένων σφυγμὸς, καὶ τίς μὲν ὁ τῶν πεφροντικότων, τίς δὲ ὁ τῶν ἀγρυπνησάντων. οὐ μὴν 4) ἀρκεῖσθαι μόνον χρῆσθαι τοῖς σφυγμοῖς, ἀλλὰ καὶ τοῖς ἄλλοις δεῖ χρῆσθαι σημείοις, ὅσα Ἱπποκράτης ἐν τῷ προγνωστικῷ κατέλεξεν ἀπὸ χρώματος, ἀπὸ κατακλίσεως, ἀπὸ τῆς ἀναπνοῆς καὶ τῶν ταύτης εἰδῶν· εἰ δὲ τὰ αἴτια πεπαυμένα εἴη, 5) μένει λείψανον ἀπ' αὐτῶν πάντως ἐν τῷ σώματι ὥστε μετρίως ἐκ τῶν σφυγμῶν διαγινώσκεσθαι· εἰ δὲ μὴ οὗτοι ἡμῖν ἀρκέσειεν, χρὴ 6) τοῖς λοιποῖς τὴν διάγνωσιν ποιήσασθαι.

Κοινῶς μὲν γὰρ ἅπασι τὰ οὖρα πυῤῥότερα. —

Ἐν τῇ περὶ κρίσεων πραγματείᾳ ὁ περὶ τῶν χρωμάτων διώρισται λόγος. καὶ ἀκριβῶς ἐν ἐκείνοις εἴρηται, τί

---

1) προσαγ. A. Om. A. G. τὰ μὲν οὖν προηγούμενα καὶ τὰ συνεκτικά. 2) ἁπτόμενος A. ἤτοι pro οὗτοι A. 3) ἕκαστον A. 4) Fort. ἀρκεῖ. 5) μὲν εἰ λείψ. A. 6) τοῦ λοιποῦ A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 269 sur 382

μέν ἐστι τὸ πυῤῥὸν, τί δὲ τὸ ἐρυθρὸν, τί δὲ τὸ ξανθὸν, τί δὲ τὸ ὠχρὸν, καὶ τί δὲ τὰ τούτων ὑφειμένα, τῇ προσθήκῃ τῆς ὑπὸ προθέσεως δηλούμενα, ὑπόπυῤῥον, ἢ ἄλλως λέγεται καὶ ὑπόξανθον καὶ ὕπωχρον, ἐρυθρόν τε καὶ ὑπέρυθρον. ἐνταῦθα μέντοι 1) πρὸς εἰσαγομένους ὁ παρὼν γέγραπται λόγος, ὁλοσχερέστερον ἅπαντα ταῦτα τὰ προειρημένα πυῤῥὰ καλεῖ, καί φησι πυῤῥὰ εἶναι τὰ οὖρα 2) κοινῶς πᾶσιν, οὐ τοῖς τὸν ἐφήμερον πυρέξασι πυρετὸν ἁπλῶς, ἀλλὰ ὅσοι πυρέττουσιν ἢ ἐπὶ θυμῷ ἢ ἐπὶ τοῖς εἰρημένοις ψυχικοῖς πάθεσιν. ἐπεί τοι μετὰ μικρὸν μαθησόμεθα, ὅτι τοῖς ἐπὶ πυκνώσει πυρέττουσι καὶ τοῖς ἐπὶ βουβῶσιν οὐ πυῤῥότερα τὰ οὖρά ἐστιν, ἀλλὰ μᾶλλον λευκότερα.

**Πρόσεστι** δὲ τοῖς μὲν διὰ λύπην δριμύτης μᾶλλον ἢ πλῆθος θερμασίας· ὡς τοῖς γε διὰ θυμὸν ἔμπαλιν. ἀλλὰ καὶ ἡ ἰσχνότης τοῦ σώματος ἐπιδηλοτέρα τοῖς λυπηθεῖσιν ἢ φροντίσασι· καὶ ἡ τῶν ὀφθαλμῶν κοιλότης καί τις ἀήθης ἄχροια. —

*Διορίζει* μὲν ἐνταῦθα λύπην τοῦ θυμοῦ. ὃ βούλεται δὲ εἰπεῖν, τοιοῦτόν ἐστιν, ὅτι ἐπ' ἀμφοτέρων μέν ἐστι καὶ θερμότης καὶ ξηρότης, ἀλλ' ἐπὶ μὲν τῶν λυπουμένων ἡ μὲν ξηρότης πλείων, ἡ δὲ θερμότης ἐλάττων, ἐπὶ δὲ τῶν θυμουμένων, ἀνάπαλιν 3) * . . . . δριμύτερα μὲν διὰ τὴν ξηρότητα, θερμότερα δὲ διὰ τὴν θερμασίαν· ἐπὶ μέντοι τῶν θυμουμένων οὐκ ἔστιν οὕτως εὑρεῖν, ἀλλὰ θερμὰ μέν ἐστιν, οὐ μὴν δριμέα, τουτέστιν οὐ ξηρά. τινὲς δὲ καὶ ἄλλως ἐξηγήσαντο, λέγοντες, ὅτι ἐπὶ τῶν λυπουμένων τὰ οὖρα ἐκκρινόμενα τὴν τοῦ κάμνοντος αἴσθησιν 4)* ἀνθρωπίαν καὶ δάκνει μᾶλλον, ἧττον δὲ θερμαίνει, θερμαίνει δὲ ὅμως, ἐπὶ δὲ τῶν θυμουμένων ἀνάπαλιν· ἐν αὐτῷ μὲν τῷ ἐκκρίνεσθαι μᾶλλον μὲν θερμαίνει τὸ δακνῶδές τε καὶ δριμὺ οὐκ ἔχει. καὶ ἔστιν ἐξήγησις αὕτη ἀληθὴς, ὥστε τὰς δύο παραληπτέον· ἀλλ'

---

1) Addas ἐπειδὴ. 2) κοινὴν A. 3) G. addit: caliditas major, siccitas minor. Igitur urinae in tristatibus apparent acriores etc. 4) molestare G. Fort. ἀνατρέπει.

ἐπειδὴ πολλὴν ἐν τούτοις τοῖς σημείοις κοινωνίαν εὗρε, θυμοῦ τε καὶ λύπης, ἔτι δὲ καὶ 1) δι᾽ ἄλλων ἐπιδηλοτέρων σημείων παραδίδωσιν αὐτῶν τὴν διαφοράν. ἐπὶ μὲν γὰρ τῶν λυπουμένων ἰσχνότης, φησὶ, γίνεται τοῦ παντὸς σώματος καὶ μάλιστα τῶν ὀφθαλμῶν. ἐπειδὴ γὰρ ἐν τούτοις πολὺ περιέχεται πνεῦμα, τὸ πάλαι αὐτοὺς εἰς ὄγκον αἶρον, τοῦτο τοίνυν ὑπὸ τῆς λύπης διαφορηθὲν 2) συμπίπτειν αὐτοὺς ποιεῖ. ἐπὶ δὲ τῶν θυμουμένων, οὐκ ἔστι τοῦτο εὑρεῖν, ἀλλὰ μᾶλλον καὶ τὸ σῶμα φαίνεται ὀγκωδέστερον, τῆς φύσεως ἔξω τὴν τροπὴν ποιουμένης μετά τινος συντονίας, 3) ταύτῃ δὲ δηλονότι ἑπομένων τοῦ τε πνεύματος καὶ τοῦ αἵματος. ἀλλὰ μὴν ἐπὶ τῶν λυπουμένων ἐστὶν εὑρεῖν ὠχρότερον καὶ ἁπλῶς ἄχρουν τὸ σῶμα. τῷ γὰρ τὴν ἔμφυτον θερμασίαν εἰς τὸ βάθος συννεύειν καὶ καταλιμπάνειν τὰ ἐπιπολῆς, ἐξ ἀνάγκης τῇ ἀπουσίᾳ τοῦ αἵματος ἄχροια γίνεται, ὅπερ ἐπὶ τῶν θυμουμένων οὐκ ἔστι διὰ τὴν εἰρημένην ἐπ᾽ αὐτῷ αἰτίαν.

Ταῦτα μὲν δὴ καὶ τῶν ἄλλως ὁπωσοῦν φροντισάντων κοινά. μάλιστα δὲ τοῖς ὀφθαλμοῖς διορίζειν χρὴ καὶ τὰ ἑξῆς. —

*Λύπην μὲν οὖν ἤδη* 4) [προσήκει] διώρισε τοῦ θυμοῦ τῇ τε εἰρημένῃ διαφορᾷ, ἐπὶ τῶν οὔρων τε καὶ μέντοι καὶ τῇ ἰσχνότητι καὶ τῇ κοιλότητι ὀφθαλμῶν, καὶ τῇ ἀχροίᾳ. ταῦτα γίνεται καὶ ἐπὶ τῶν πεφροντικότων. τίνι οὖν ταῦτα διορισόμεθα; αὐτὸς μὲν αὐτὸ παρεσιώπησεν, εἰρηκὼς τοσοῦτον μόνον, ὅτι τοῖς ὀφθαλμοῖς αὐτὰ διορίζειν, ὅπως δὲ χρὴ διορίζειν, μηκέτι προσθείς. ἡμεῖς δ᾽ αὐτὸ προσθῶμεν, ὅτι ἐπὶ τῶν λυπουμένων ἐστὶν εὑρεῖν τοὺς ὀφθαλμοὺς οἷον ἠρεμοῦντάς τε καὶ ἀκινητίζοντας, ἐπὶ δὲ τῶν φροντισάντων κινουμένους τε καὶ περιφερομένους. 5) ἀγγέλλουσι μὲν γὰρ ἡμῖν οἱ ὀφθαλμοὶ τὰ τῆς ψυχῆς πάθη, 6) θύραι ὄντες τοῦ ἐγκεφά-

---

1) δι᾽ addidi. 2) συμπίπτει — ποιεῖν A. 3) αὕτη A. 4) G. om. Fort. add. ὡς. 5) ἀτελοὺς ἐπὶ A. ἀγγέλους ἐπὶ G. 6) θηρεύοντες A. quum sint fenestrae G. unde conjeci: θύραι s. θυρίδες ὄντες.

λου, ἐν ᾧ κατοικεῖ ἡ ψυχὴ, καί ἐστιν αἰσχρὸν, ἐπὶ μὲν τῶν ὑγιαινόντων τοὺς φυσιογνώμονας ἀπὸ τῆς τῶν ὀφθαλμῶν διαθέσεως ἐπιγινώσκειν, ὁποῖά τέ ἐστι τὰ τῆς ψυχῆς ἤθη, ἡμᾶς δὲ ἐν ταῖς νόσοις ὄντας μὴ προαγορεύειν, ὅπου καὶ ἐναργέστατα καὶ σφόδρα κατάδηλοι γίνονται τούτων αἱ τροπαὶ συναμειβομένων ταῖς διαθέσεσι τῆς ψυχῆς. τὸ δὲ ὁπωσοῦν φροντισάντων προσέθηκεν, ἐπειδὴ διάφοροι φροντίδος αἰτίαι. ὁ μὲν γὰρ ἐπὶ χρήμασι ποιεῖται τὰς φροντίδας, ὁ δὲ ἐπὶ παισὶν, ὁ δὲ ἐπὶ τῇ τῶν κρειττόνων θεωρίᾳ, καὶ ἁπλῶς ἵνα γενικώτερον αὐτὰ διαστειλώμεθα, οὕτως εἴπωμεν· ἡ φροντὶς ἢ διὰ τὰ κρείττονα γίνεται 1) [ἢ διὰ τῶν χειρόνων] ἢ διὰ τὰ ἔτι χείρονα, καὶ ἁπλῶς εἰπεῖν μοχθηρά. καὶ χρὴ γινώσκειν, ὅτι ἡ μὲν τῶν χειρόνων φροντὶς, σὺν τῷ σώματι καὶ τὴν ψυχὴν καταβάλλει, 2) [ἡ δὲ τῶν κρειττόνων φροντὶς τὴν ψυχὴν ἀνάγει τε καὶ αὔξει,] καὶ ῥωμαλεωτέραν, ὡς εἰπεῖν, αὐτὴν αὑτῆς ἀπεργάζεται. 3) ταῦτα οὖν διοριστέον καὶ *φροντίδι λυπουμένων.

Τοὺς δὲ ἐπ' ἀγρυπνίᾳ πυρέξαντας διορίζει μὲν καὶ τὸ τῆς ἀχροίας εἶδος καὶ τὰ ἑξῆς. —

Τὴν ἀγρυπνίαν ἀπὸ τῶν εἰρημένων διορίζειν τινὰ, οὐ χαλεπόν. ἔχει μὲν γάρ τι κοινὸν πρὸς αὐτὰ τὴν χροίαν, ἀλλὰ καὶ διαφέρον, ὅτι μετὰ τοῦ ὕποιδον εἶναι τὸ σῶμα, γίνεται ἡ τοιαύτη ἄχροια· γίνεται δ' αὕτη διὰ τὸ μὴ πεπέφθαι καλῶς τὰ σιτία. ἐμάθομεν γὰρ πολλάκις, ὅτι κατὰ τοὺς ὕπνους ἡ φύσις ἐν τῷ βάθει συννεύσασα καὶ σχολάζουσα τοῖς σιτίοις, ἄμεινον καὶ τὰς πέψεις ἐργάζεται καὶ τὰς θρέψεις. ἐνταῦθα τοίνυν τῇ ἀγρυπνίᾳ ἐξ ἀνάγκης ἕπεται ἀπεψία, ταύτῃ δὲ ἀτροφία, ὅθεν οὐδὲ τὸ εὐανθές ἐστι τοῦ αἵματος ἐπὶ τῆς ἐπιφανείας ἰδεῖν. ἀλλὰ καὶ ὑπὸ τῆς ἀπεψίας περιττώματα 4) ἀναλυόμενα εἰς πνεύματα, καταλαμβάνοντα τὴν ἕξιν, ὑδαλεωτέραν αὐτὴν ἀπεργάζεται. οὗτοι δὲ καὶ τὰ βλέφαρα δυσκίνητα

---

1) Om. G. 2) ἡ — φροντὶς om. A. 3) Hoc igitur modo cogitantes a tristantibus distinguere oportet. G. Fort. ταύτῃ οὖν διορ. τοὺς φροντίζοντας τῶν λυπ. 4) ἀλυώμενα A.

ἔχουσι, διὰ τὸ πεπληρῶσθαι κατὰ τῆς περιττωματικῆς ὑγρότητος. καὶ χρὴ προσέχειν ἀκριβῶς τὸν νοῦν. ἐνταῦθα μὲν τὰ βλέφαρα δυσκίνητα λέγομεν εἶναι, 1) ἐπὶ δὲ τῶν λυπουμένων οὐ τὰ βλέφαρα, ἀλλὰ τὴν ἔνδον τὴν κόρην. ἔστι τοίνυν ἐπὶ τούτων τὰ βλέφαρα, ὡς εἰρήκαμεν, ὑγρότερα, ἐπὶ δὲ τῶν προειρημένων, θυμοῦ καὶ λύπης, ξηρά. ἔστι μέντοι τι κοινὸν εὑρεῖν ἐπί τε τῶν ἀγρυπνούντων καὶ τῶν λυπουμένων καὶ τῶν φροντιζόντων, τὴν τῶν ὀφθαλμῶν κοιλότητα. ἀλλὰ ἐπὶ μὲν τῶν λυπουμένων καὶ τῶν πεφροντικότων τὴν αἰτίαν εἰρήκαμεν. ἐπὶ δὲ τῶν ἀγρυπνούντων ἐστὶν ἡ 2) αὐτή. πῶς; διὰ γὰρ τὴν ἀπὸ τῆς ἀγρυπνίας ξηρότητα, δαπανᾶται αὐτοῖς καὶ τὸ ὀπτικὸν πνεῦμα. ἐπὶ δὲ τῶν θυμουμένων οὐκ ἔστι τοῦτο εἰπεῖν. τοὐναντίον γὰρ πολλοὶ καὶ προπετεστέρους ἔχουσι τοὺς ὀφθαλμοὺς, ὥσπερ οὖν καὶ τὸ ὅλον σῶμα εὐτονώτερον καὶ θερμότερον. ἀλλὰ μὴν καὶ οἱ σφυγμοὶ ἐπὶ τούτων οὐκ εἰσὶ μικρότεροι, ὡς ἐπὶ τῶν εἰρημένων ἁπάντων. ἐπ' ἐκείνων μὲν γὰρ ἡ τῆς δυνάμεως ἀσθένεια μικρότητος αἰτία γίνεται, ἐπὶ δὲ τοῦ θυμοῦ τοὐναντίον καὶ συντονία δυνάμεώς ἐστιν· ὅθεν ἀνάγκη τὸν σφυγμὸν 3) μέγαν γίνεσθαι, συμβαλλομένης εἰς τὸ μέγεθος αὐτῷ καὶ τῆς θερμασίας. ἐκεῖνο δὲ χρὴ μόνον εἰπεῖν ὅτι τινὲς τῶν θυμουμένων ὠχροὶ γίνονται καὶ τρομώδεις, οὐ τοῦ θυμοῦ τὴν τοιαύτην αὐτοῖς ἐργαζομένου διάθεσιν, ἀλλά τινος φόβου συμπεπλεγμένου τῷ θυμῷ, ὃς καταβάλλων τὴν δύναμιν τήν τε ἄχροιαν καὶ τὸν τρόμον ποιεῖ.

Τῶν δὲ ἐπὶ κόποις πυρεττόντων τὸ δέρμα ξηρότερον ἤπερ ἄλλῳ τινὶ τῶν ἐφημέρων πυρετῶν καὶ τὰ ἑξῆς.—

Πληρώσας τὸν περὶ ψυχικῶν παθῶν λόγον, καὶ παραδοὺς ἑκάστου αὐτῶν τὴν ἰδιότητα, μεταβαίνει λοιπὸν ἐπὶ τὰ σωματικὰ πάθη καὶ λέγει, πῶς χρὴ διαγινώσκειν ὑπὸ κόπου γεγονότα πυρετόν. ἐπὶ τούτων τοίνυν φαίνεται τὸ δέρμα ξηρότερον ὑπὸ τῆς ἀμέτρου κινήσεως διαφορηθέν. εἰ μὲν οὖν ὁ κόπος εἴη πολὺς, ἄχρι τῆς παρακμῆς ἡ τοιαύτη φαίνεται ξηρότης· εἰ δὲ μέτριος ὁ κόπος,

1) ἐπειδὴ A. 2) αὐτή πως. A. 3) μέγα A. συμβαλλόμενον A.

ἡ μὲν ξηρότης ἄχρι τῆς ἀκμῆς. τὸ ἐντεῦθεν δὲ ὑπὸ τῆς θερμασίας ἀναλυομένης τῆς ὑγρότητος, ἐκκρίνεται δὲ διὰ ἱδρώτων, ποιεῖ 1) αὐτὸ ὑγρότερον καὶ μαλακώτερον. ἀλλὰ καὶ ἐπὶ τῶν σφυγμῶν ἔστιν εἰπεῖν τινα διαφοράν. ἐπὶ μὲν γὰρ τοῖς ἀμέτροις κόποις καταλυομένης τῆς δυνάμεως, μικρὸς ὁ σφυγμὸς γίνεται, ἐπὶ δὲ τοῖς συμμέτροις μέγας, τῆς 2) τε θερμασίας παρούσης καὶ τῆς δυνάμεως οὐκ ἀδυνατούσης αὐτὸν ποιῆσαι.

*Οἱ δὲ ἐπὶ πυκνώσει τοῦ δέρματος γινόμενοι πυρετοὶ, πυκνοῦται δὲ τοῦτο ἢ ψυχόμενον καὶ τὰ ἑξῆς.* —

Γίνεται δὲ πυρετὸς ἐφήμερος, στεγνωθέντος ποτὲ τοῦ δέρματος, ἀλλ' οὐκ ἐπὶ πάσης κράσεως. ἐφ' ὧν μὲν γάρ ἐστι τὸ διαπνεόμενον ἀτμῶδες καὶ χρηστὸν, τοῦτο συναγόμενον οὐ πυρετὸν, ἀλλὰ πληθώραν γεννήσει. τοῦτο δὲ γίνεται ἐπὶ τῶν θερμοτέρων καὶ ξηροτέρων. ἐφ' ὧν δὲ τὸ διαπνεόμενον καπνῶδές ἐστι καὶ δριμὺ, τοῦτο, πυκνωμένου τοῦ δέρματος, καὶ μηκέτι διαφερόμενον συνάγεταί τε καὶ θερμαίνεται, καὶ συνεκθερμαίνει ἑαυτῷ πᾶσαν τὴν ὕλην ἐπιτηδείως ἔχουσαν εἰς τὸ ἐξαφθῆναι. γεννᾷ οὖν καὶ τοὺς ἐπὶ σήψει πυρετοὺς, εἰ πλῆθος εἴη χυμοῦ ἐν τῷ σώματι, σαπῆναι δυνάμενον. εἰ δὲ μὴ, ποτὲ τὸ πνεῦμα θερμαινόμενον ἐφήμερον ἐργάζεται πυρετόν. 3) * .... ἡ δὲ πύκνωσις αὕτη γίνεται ὑπὸ ποιότητος ἤτοι ἁπλῆς ἢ συνθέτου· ὑπὸ μὲν ἁπλῆς, ἢ ψύξεως ἢ ξηρότητος. καὶ γὰρ ἐν χειμῶνι καὶ ψυχρᾷ καταστάσει ἔστιν ἰδεῖν τὸ τοιοῦτον γινόμενον. ἀλλὰ καὶ ξηροτριβία καὶ ἔκκαυσις, ξηραίνουσα τὸ δέρμα, πυκνότερον αὐτὸ ποιεῖ. ἐνίοτε δὲ οὐκ ἔστιν ἐπὶ ποιότητος 4) ἁπλῆς, ἀλλὰ σύνθετος ἡ πυκνοῦσα τὸ δέρμα, ὥσπερ ἐπὶ τῶν στυφόντων ἔχει. ταῦτα γὰρ ψυχρά τε ἅμα καὶ ξηρὰ τὴν φύσιν ὑπάρχει. καὶ πολλοὶ πολλάκις ἀλειψάμενοί τινι τῶν στυφόντων ἐλαίων, ἢ εἰς ὕδωρ στυπτηριῶδες, 5) τὴν τοιαύτην ὑπέμειναν διάθεσιν. διαγνώσεις τούτων τοίνυν διττὰς

---

1) sc. τὸ δέρμα. 2) δὲ A 3) G. addit: Sic igitur a densitate febrem fieri ostendimus. 4) ἁπλῇ A. 5) se lavantes G λουόμενοι.

ἡμῖν παραδίδωσιν ὁ Γαληνός· 1) οὐδὲ γὰρ ἂν ἡ τούτων πύκνωσις — μίαν μὲν ἀπὸ τῆς ἁφῆς, ὥσπερ εἰ λαβὼν ῥοῦν καὶ ἀναλύσας ὕδατι, 2) τρίψαις τὰς χεῖρας· εὑρεθήσονται μὲν τηνικαῦτα πεπυκνωμένοι οἱ δάκτυλοι, τῶν ἐν αὐτοῖς πόρων οἷον συναχθέντων τε καὶ πυκνωθέντων. ἐπὶ μὲν οὖν τῶν κόπων ἐστὶν εὑρεῖν τὸ δέρμα ξηρότερόν τε ἅμα καὶ ἄνικμον. ἐπὶ δὲ τῶν στεγνωθέντων οἷον πεπιλημένον τε καὶ πεπυκνωμένον. μία μὲν οὖν αὕτη τούτων διάγνωσις.

Δευτέρα δὲ κατὰ τὸν νόμον τὸν Ἱπποκράτειον προβαίνουσα, ὅτι ἐπὶ τῶν Ἱπποκράτους χρόνων οὔπω ἡ περὶ τῶν σφυγμῶν ἠκρίβωτο θεωρία, οὐδ᾽ ἀπ᾽ αὐτῶν τὰς τῶν πυρετῶν ἐποίουν σημειώσεις, ἀλλ᾽ ἐπιτιθέντες τὴν χεῖρα κατά τε τῶν ἄλλων μορίων τοῦ σώματος, καὶ μάλιστα κατὰ τοῦ θώρακος, ὅς οἰκητήριόν ἐστι τῆς καρδίας, ἧς ἴδιόν ἐστι πάθος ὁ πυρετὸς, ἐσπούδαζον ποιεῖσθαι τὰς διαγνώσεις. ἐπὶ τοίνυν τούτων τῶν πυκνωθέντων ἐπιβαλλόντων ἡμῶν τὴν χεῖρα, πρῶτον μὲν ἡ θερμασία μικρὰ φαίνεται, διὰ τὸ μὴ συγχωρεῖσθαι πρὸς τοὐκτὸς ἰέναι, τῶν πόρων ἀποκεκλεισμένων. χρονισάντων μέντοι, καὶ ταύτῃ τὸ δέρμα θερμηνάντων, καὶ ἀραιότερον αὐτὸ πεποιηκότων, τῇ πολυχρονίᾳ τῆς χειρὸς ἐπιβολῇ ἐπαναδίδωσιν ἡ θερμασία καὶ μείζων φαίνεται, καὶ ἐλέγχεται τηνικαῦτα οἷα ἐστίν.

Οὐ μὴν οὐδὲ πυῤῥὰ τὰ οὖρα τοῖς τοιούτοις, οὐδὲ ὁ τοῦ σώματος ὄγκος συμπέπτωκεν. —

Πυῤῥὰ νῦν φησι τὰ ὠχρά. οὐκ ἔστιν οὖν τοῖς τοιούτοις ὠχρὰ τὰ οὖρα, ἐπειδὴ τὸ εἰωθὸς ὑγρὸν διαφορεῖσθαι διὰ τῶν ἀδήλων πόρων, νῦν οὐκέτι διαφορούμενον συνάγεταί τε καὶ φέρεται παρὰ τὰς ἀρτηρίας καὶ τὰς φλέβας, καὶ τῷ οὔρῳ συνεκκρινόμενον, τῷ πλήθει κολάζει αὐτοῦ τὸ χρῶμα, ὅπερ αὐτῷ ἐκ τῆς ἐπιμιξίας τῆς χολῆς ὑπῆρχε. καὶ χρή γε τοῦτο γινώσκειν, ὅτι ἀραιουμένου ὄντος τοῦ δέρματος, καὶ πολλῆς τῆς διαφορήσεως

1) Haec Galeni verba om. G. 2) τρίψας A.

γινομένης, ἐλάττονά ἐστι τὰ οὖρα. 1) εἰ δὲ τὸ δέρμα πυκνότερον εἴη, τοὐναντίον γίνεται πλείονα τὰ οὖρα. καὶ διὰ ταύτην τὴν αἰτίαν θέρους μέν ἐστιν ὀλίγα τὰ οὖρα, χειμῶνος δὲ πλείονα, καίτοι ἐν μὲν τῷ θέρει πλείονι πόματι χρώμεθα, ἐν δὲ τῷ χειμῶνι ἐλάττονι. ἀλλὰ τῇ διαφορήσει τὸ τοιοῦτον συμβαίνει, ὡς εἰρήκαμεν. οὐκοῦν ἐπὶ τούτων πλείονα μὲν αὐτοῖς ἐστι τὰ οὖρα ἤπερ τοῖς ἄλλοις ἐφημέροις ἐπὶ ἄλλῳ τινὶ τῶν αἰτίων γινομένοις. ἀλλ' οὐδὲ τὸ σῶμα ἐπὶ αὐτῶν ἔστιν εὑρεῖν ἰσχνὸν, πολλάκις δὲ καὶ 2) ὀγκωδέστερον, τῆς διαφορήσεως γινομένης, ὥστε μηδὲ τὴν τῶν ὀφθαλμῶν ἐν αὐτοῖς κοιλότητα διαφαίνεσθαι. οὐκοῦν οὐδὲ οἱ σφυγμοὶ μειωθήσονται, τῆς δυνάμεως ἐῤῥωμένης, διὰ τὸ μὴ σεσυλῆσθαι τῇ διαφορήσει ταύτῃ τὸν τόνον.

*Οὗτοι μόνοι πάντων τῶν πυρετῶν στεγνόν εἰσι πάθος.* —

Τοῦτο οὐκ ἀκαίρως προσέθηκεν ὁ Γαληνὸς, ἀλλὰ πρὸς τοὺς μεθοδικοὺς ἀποτεινόμενος, οἵ γε πάντα τὰ πάθη ἔλεγον εἶναι ἢ στεγνὸν ἢ ῥοῶδες ἢ ἐπιπεπλεγμένον, ὥσπερ ἐν τῷ περὶ αἱρέσεων εἴρηκεν. ἅπαντα μὲν πυρετὸν στεγνὸν πάθος ὑπελάμβανον εἶναι. διό φησι πρὸς αὐτοὺς, ὅτι εἰ δεῖ πυρετὸν καλεῖν στεγνὸν νόσημα, μόνον τοῦτον δεῖ καλεῖν τὸν ἐπὶ πυκνώσει διὰ δέρματος γινόμενον.

*Τοῖς δὲ ἐπὶ βουβῶσι πυρετοῖς ἐφημέροις οἱ σφυγμοὶ μέγιστοι γίνονται.* —

Τοὺς δὲ ἐπὶ βουβῶσι πυρετοὺς ἔξεστι διαγινώσκειν πρῶτον μὲν ἀπὸ τῶν σφυγμῶν. ἐπὶ γὰρ τούτων διὰ τὸ πλῆθος τῆς θερμασίας μεγάλοι γίνονται οἱ σφυγμοὶ καὶ παχεῖς καὶ πυκνοί. ὅτι δὲ ὁ βουβὼν οὐδὲν ἕτερόν ἐστιν ἢ φλεγμονή τινος τῶν ἀδένων, οὐδένα οἶμαι ἀγνοεῖν. ἐπὶ γὰρ τούτων, ὡς ἀνωτέρω εἰρήκαμεν, ὅταν ἢ ἕλκος ἢ ἄλλη τις ὀδύνη γένηται, ἐπεγείρεται μὲν ἡ φύσις, οἷον ἐπειγομένη τῷ πάσχοντι μορίῳ ἐπαμῦναι, καὶ πρὸς αὐτὸ φέρεται, σὺν αὐτῷ δὲ δηλονότι, τὸ ἑαυτῆς ὄχημα, τό, τε

---

1) οὐ A. 2) ὀγκωδέστεροι A.

αἷμα καὶ τὸ πνεῦμα, καὶ ταῦτα τοῖς ἀδέσιν ἐντυγχάνοντα ὡς ἀσθενεστέροις, ἐκεῖσε κατασκήπτει καὶ φλεγμονὴν αὐτοῖς ἐμποιεῖ. καλεῖται δὲ τὸ τοιοῦτον βουβών. ἐπὶ τούτων τοίνυν ἐπὶ τὴν ἀκμὴν ἔστιν ἰδεῖν νοτίδας τὸ δέρμα διαβρεχούσας θερμὰς καὶ ἡδείας. τοιοῦτος γάρ ἐστιν ὁ αἱματικὸς χυμὸς, ὅστις τὴν ἐν αὐτοῖς ἐποίησε φλεγμονήν. ὅταν δὲ λέγωμεν ἡδεῖαν ἰκμάδα, τὴν ἧττον μοχθηρὰν λέγομεν. οὐδὲ γὰρ ἐνδέχεται πυρετῷ οὕτως ἡδεῖαν αὐτὴν εἶναι, ὡς εἰ καὶ χωρὶς πυρετοῦ ἐγεγόνει, ἀλλ' ὅτι, ὡς ἐν πυρετοῖς, τὸ δακνῶδες καὶ δριμὺ ταύτης κεκόλασται. ἔστι δὲ ἐπὶ τῶν τοιούτων καὶ τὸ πρόσωπον 1) ἐρυθρότερον· ἑκάτερον δὲ τούτων ποιεῖ τὸ αἷμα, ἀλλὰ τὸ μὲν ἔρευθος τῷ 2) χρόνῳ μαθεῖ, τὸν δ' ὄγκον τῇ στάσει.

Καὶ τὰ οὖρα ὑπόλευκα. —

Ζητητέον δὲ διὰ ποίαν αἰτίαν ἐπὶ τούτων λευκὰ γίνονται τὰ οὖρα. ὁ μὲν οὖν 3) Ἀγγελεύας [ἀγγεῖα] φησὶ φέρεσθαι ἐπὶ τὴν κύστιν, δι' ὧν μεταδιδόναι τὴν ὕλην ἐκ τῆς τῶν ἀδένων τροφῆς. λευκότης δ' αὕτη δηλονότι. ἕκαστον γὰρ τῶν μορίων πρὸς τὴν ἑαυτοῦ φύσιν ἀλλοιοῖ καὶ τὴν ὑποκειμένην αὐτῷ τροφήν. αὕτη τοίνυν, φησὶ, φερομένη παρὰ τὴν κύστιν καὶ μεμιγμένη τῷ οὔρῳ, λευκὸν αὐτὸ ποιεῖ. τοῦτο δὲ πολλαχῶς ἔστιν ἀνατρέψαι, πρῶτον μὲν, ὅτι εὕρημά τι ζητεῖ παρ' ἡμῶν ἐν ταῖς ἀνατομαῖς μὴ φαινόμενον. οὐδὲ γὰρ φαίνεται κοινὰ τοῖς βουβῶσιν ἀγγεῖα πρὸς τὴν κύστιν. ἀλλ' εἰ καὶ τοῦτο δῶμεν, οὐ δυνήσεται τὸ σμικρὸν ἐκεῖνο τῆς τῶν ἀδένων τροφῆς μέρος, ὅλον χρῶσαι τὸ οὖρον. κἀκεῖνο δὲ αὐτὸν ἐρησόμεθα, τὰ ἀγγεῖα ταῦτα πότερον ἀναστομοῦνται ἐπὶ τὴν κύστιν ἢ οὔ; εἰ μὲν οὖν οὐκ ἀναστομοῦνται, οὐδὲν οἴσει παρ' αὐτὴν, ὥστε οὐδὲ τῷ εἰρημένῳ χρώματι 4) χρώσει τὸ οὖρον. εἰ δὲ ἀναστομοῦνται, καὶ αἷμα ἐπιφέρει, καὶ συμβαίνει τὸ οὖρον οὕτως ἐρυθρὸν γίνεσθαι

---

1) rubicundior, et melioris habitus. G. 2) Gadald. proponit colore i. e. χρώματι. 3) ἀγγεῖα om. et A. et G. De Angeleua nihil habemus compertum. Fort. ἀγγεῖα cum nomine aliquo alio in ignoto hoc viro latent. 4) Fort χρῶσαι.

τῇ τοῦ αἵματος ἐπιμιξίᾳ. τὸ δὲ πάντων ἀπορώτατον· χρὴ προσθεῖναι, ὅτι τὰ οὖρα λευκὰ φαίνεται, οὐ μόνον ἐφ᾽ ὧν ἡ φλεγμονὴ παρὰ τοὺς ἐν τοῖς μηροῖς ἐστιν ἀδένας, ἀλλὰ κἀπὶ τῶν ἐν μασχάλῃ ἐχόντων τινὰ ὄγκον, καὶ περὶ τὰ ὦτα, καὶ περὶ τῶν ἄλλων ἁπάντων ἀδένων ὁμοίως. τί οὖν ἐχρῆν πρὸς ταῦτα λέγειν; ἡμεῖς τοίνυν φαμὲν, ὅτι συμβαίνει τὰ οὖρα τοιαῦτα εἶναι διὰ τὸ τὴν χολὴν φερομένην περὶ τοὺς ἀδένας τούτους μίγνυσθαι τῷ αἵματι τῷ ἐν αὐτοῖς ἐσφηνωμένῳ, καὶ λοιπὸν κατὰ στέρησιν ταύτης τὰ οὖρα λευκὰ φαίνεται, ὥσπερ εἴ ποτε κἀπὶ τῶν κεφαλαλγούντων ὁρῶμεν τὰ οὖρα λευκὰ γιγνόμενα, διὰ τὸ τὴν χολὴν ὡς λεπτομερεστέραν ἄνω φέρεσθαι πᾶσαν, ὡς μηδὲ χρωννύναι λοιπὸν τὸ οὖρον. κἀνταῦθα τοίνυν ἐστὶ τοῦτο εἰπεῖν, ὅτι τῆς χολῆς ἀπουσίᾳ τὰ οὖρα τὴν τοῦ ὀῤῥώδους περιττώματος δείκνυσι φύσιν. λευκὸν δὲ τοῦτό ἐστι κατὰ φύσιν. ἐκεῖνο μέντοι χρὴ προσθεῖναι τὸ ἐν τοῖς ἔργοις τῆς τέχνης ἡμῖν πολλάκις ὀφθὲν, ὅτι τινῶν πυρεξάντων τὸν ἐπὶ βουβῶσιν ἐφήμερον πυρετὸν, φαίνεται τὰ οὖρα χολωδέστερα. τοῦτο δὲ γίνεται, ὅταν καὶ τὸ ὅλον σῶμα θερμότερον καὶ ξηρότερον εὑρεθείη καὶ χολωδέστερον, καὶ αὐτὸς ὁ ἐν τοῖς ἀδέσιν ὄγκος ἐρυσιπελατώδης, αἵματος χολωδέστερον 1) αὐτοῖς πεποιηκότος.

Κοινὸν δὲ τοῖς τοιούτοις ἅπασι πυρετοῖς τοῖς ἐφημέροις ἡ ὁμαλότης τοῦ σφυγμοῦ. —

Τὴν ὁμαλότητα τὴν ἐν τῷ σφυγμῷ κοινὴν ἐπὶ πάντων εὑρίσκεσθαι 2) πυρετῶν, ἐπεὶ οὔπω κατελύθη ἐπὶ τούτων ἡ δύναμις, ἀλλ᾽ ἔτι ἐῤῥωμένη ἐστὶ, ὥστε καὶ ἐῤῥωμένη οὖσα ὁμαλοὺς ποιήσεται τοὺς σφυγμούς. —

Παντελῶς γὰρ ἐξ αὐτῶν ὀλίγοι τινὲς τὴν κατὰ μίαν πληγὴν ἀνωμαλίαν ἐμφαίνουσιν. —

Τοῦτό φησι διὰ τοὺς ἐπὶ πυκνώσει τοῦ δέρματος γινομένους 3) πυρετούς· ἐπὶ τούτων γὰρ ἀποκλειόμενα τὰ

---

1) Fort. αὐτόν. 2) Fort. add. φησί. 3) πυρετοὺς om. A.

εἰωθότα διαφορεῖσθαι τὴν δύναμιν βαρεῖ, καὶ ταύτῃ τὴν κατὰ μίαν πληγὴν ἀνωμαλίαν ἀπεργάζεται.

Θεραπεύειν δὲ χρὴ λουτρῷ μὲν ἅπαντας. —

Ἀκολούθως ὁ συγγραφεὺς παραδοὺς ἡμῖν τὴν τοῦ ἐφημέρου πυρετοῦ διάγνωσιν, καὶ τὴν τῶν ποιούντων αὐτὸν αἰτίων ἀπ' ἀλλήλων διάκρισιν, μεταβαίνει λοιπὸν ἐπὶ τὸν τῆς θεραπείας τρόπον, ὃς καὶ κοινός ἐστι καὶ διάφορος, εἴ γε καὶ οἱ ἐφήμεροι αὐτοὶ κοινὸν μὲν ἔχουσι τὸ ἐπὶ πνεύματι θερμαινομένῳ ἀνάπτεσθαι, διάφορον δὲ, τὴν τῶν αἰτιῶν ἐναλλαγήν. κἀπὶ τῆς 1) θεραπείας λουτρὸν μὲν ἐπὶ πάντων παραλαμβάνομεν. πρὸς δὲ τὰς ποιούσας τῶν πυρετῶν αἰτίας τὸν τρόπον τῆς χρήσεως ἐναλλάττοντες, οὕτως ἑκάστῳ κατάλληλον ποιούμεθα τὴν ἴασιν.

Ἀλλ' ἐπειδὴ τοῦ λουτροῦ τὴν μνήμην ἐποιησάμεθα, φέρε ὀλίγα περὶ αὐτοῦ διαλεχθῶμεν, τελεωτάτην μὲν ἔχοντες τὴν περὶ αὐτοῦ θεωρίαν ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασι, βραχέα δὲ, ὅσα πρὸς εἰσαγομένους εἰπεῖν, ἀναμιμνήσκοντες.

2) Ζητήσωμεν οὖν τῆς τῶν λουτρῶν διαφορᾶς τὰ μέρη, καὶ τῶν μερῶν ἑκάστου τὴν δύναμιν. τῶν τοίνυν λουτρῶν τὰ μέν ἐστι θειώδη, τὰ δὲ 3) στυπτηριώδη, τὰ δὲ ἁπλῶς ἄλλην τινὰ μοχθηρὰν ἔχοντα ποιότητα, τὰ δὲ τῶν ποτίμων ὑδάτων. ἐνταῦθα τοίνυν περὶ τῶν ποτίμων ἡμῖν ὁ λόγος γενέσθω, ἃ πέφυκε τὰ μὲν τραχέα ὁμαλύνειν, τὰ δὲ περιττώματα διαφορεῖν, τὰς δὲ 4) συγκράσιας σβεννύναι, καὶ τὰς δυνάμεις ἀναῤῥωννύναι. τοῦ δὲ βαλανείου τρία ἐστὶ τὰ μέρη· πρῶτος μὲν γάρ ἐστιν ὁ θερμὸς ἀὴρ, καὶ δεύτερος, ἡ τοῦ θερμοῦ ὕδατος δεξαμενὴ, καὶ τρίτη ἡ τοῦ ψυχροῦ. καί τινες ἀμεθόδως ὑπελάμβανον, ὅτι μία δύναμίς ἐστιν ἡ τοῦ βαλανείου, ὥστε καὶ ἐξαπατᾶσθαι, ὅτι θερμὴν καὶ ὑγρὰν ἔχει καθόλου τὴν δύναμιν. ἡμεῖς μέντοι τῇ τῶν θερμῶν διαφορᾷ προσέ-

---

1) θερμασίας A. quam lectionem secunda manus correxit. λουτρῷ A. 2) Περὶ διαφορᾶς λουτρῶν In mg. A. 3) πτηριώδη A. 4) Imtemperaturas G. Fort. δυσκρασίας.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 279 sur 382

χοντες, διάφορον αὐτοῦ καὶ τὴν δύναμιν ἀποφαινόμεθα. ὁ μὲν γὰρ θερμὸς ἀὴρ διαφορεῖ μᾶλλον, ἧττον δὲ ὑγραίνει· ἡ δὲ θερμὴ κολυμβήθρα, τοὐναντίον μᾶλλον μὲν ὑγραίνει, ἧττον δὲ διαφορεῖ, διαφορεῖ δ' ὅμως. τὸ δὲ ψυχρὸν ὕδωρ τήν τε γενομένην δυσκρασίαν ἀπὸ τοῦ λουτροῦ παραμυθεῖται καὶ σβέννυσι· καὶ μέντοι καὶ πυκνοῖ τοὺς πόρους, ὥστε μὴ συγχωρῆσαι ταῖς δυνάμεσιν 1) ἀποπτῆναι. τούτων τοίνυν οὕτως εἰρημένων, οὐδὲν ἂν εἴη χαλεπὸν ἐφαρμόσαι ταῖς διαφόροις αἰτίαις τοῦ ἐφημέρου διαφόρου λουτροῦ χρῆσιν.

*Ἀλλὰ τοὺς ἐπὶ πυκνώσει τοῦ δέρματος ἢ ἐπὶ βουβῶσιν, οὐδ' εἰ ἐν τῷ ἀέρι τοῦ βαλανείου χρονίσαι κελεύσειας, οὐδὲν βλάψεις. —*

Καὶ τοῦτο εἰκότως. δέονται γὰρ οὗτοι διαφορήσεως πλείονος, 2) εἰ μὲν ἐπὶ πυκνώσει, ὅτι διὰ τὴν πύκνωσιν ταύτην τὰ εἰωθότα διαφορεῖσθαι ἔνδον 3) ἐναποκεκλεῖσθαι τῷ σώματι. εἰ δὲ ἐπὶ βουβῶσιν, ὅτι πλῆθός ἐστιν αἵματος, ἐξ οὗ καὶ τὴν ἐπίῤῥοιαν εἰς τὸν βουβῶνα γεγενῆσθαι, ὡς μικρῷ ἀνωτέρω εἰρήκαμεν.

*Τοὺς δ' ἄλλους ἅπαντας ὅτι τάχιστα τοῦ ἀέρος ἀπάγειν.—*

Τοὺς θυμωθέντας φησὶ, τοὺς λυπηθέντας, τοὺς ἀγρυπνήσαντας, τοὺς φροντίσαντας, ἐπειδὴ κοινὸν ἐπὶ πάντων τούτων ἐστὶν ἡ ξηρότης, καὶ δέονται οὗτοι τοῦ ὑγρανθῆναι. ἐπιτρέψωμεν αὐτοῖς ἐνδιατρίψαι τῷ θερμῷ ὕδατι, δυναμένῳ τὰ γεννηθέντα ὑπὸ τοῦ πυρετοῦ καπνώδη περιττώματα διαφορῆσαι, καὶ μέντοι καὶ χρηστὴν ἀντ' ἐκείνων ἐνθεῖναι ὑγρότητα.

*Ἐλαίῳ χλιαρῷ τε καὶ πολλῷ καὶ μαλακαῖς χερσὶν ἐπιτρίβειν ἐπιπλέον, μάλιστα μὲν τοὺς κοπωθέντας. —*

Εἰδέναι χρὴ, ὅτι τὸ ἔλαιον χαλαστικὴν ἅμα καὶ διαφορητικὴν ἔχει δύναμιν, ἀλλ' οὕτως μὲν ἁπλῶς τοὺς τοῦ σώματος πόρους 4) [ἐμπλάττει]· ἐντεῦθεν ἀπολαμβάνει

---

1) ἀποπτύναι A. 2) qui ex cutis densitate febricitant. G. 3) Fort. ἐναποκέκλεισται. 4) ἐμπλάττει conjecit G.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 280 sur 382

τε αὐτοὺς καὶ κωλύει τὴν διαφόρησιν τῷ γλίσχρῳ τῆς οὐσίας. μετὰ δὲ ἀνατρίψεως μετρίας θερμαίνεται καὶ ἀντιθερμαίνει τὸ σῶμα, καὶ ἀραιοῦν ἐπὶ διαφόρησιν τὰ περιττώματα προτρέπεται. ἐπειδὴ τοίνυν ἐπὶ τῶν κεκοπωμένων μετρία τις γίγνεται φλεγμονώδης διάθεσις, ἔν τε τοῖς μυσὶ καὶ τοῖς ἄρθροις, ὡς δηλοῖ καὶ ἡ μετὰ τοὺς κόπους ὀδύνη, διὰ ταύτην τὴν αἰτίαν κέχρηται τῇ ἀλοιφῇ τοῦ ἐλαίου χλιαρᾷ. τὸ γὰρ τοιοῦτον μάλιστα πέφυκε χαλᾶν, καὶ μέντοι καὶ μαλάττειν ἐπὶ πλείονα χρόνον. ἀλλὰ καὶ μαλακὰς βούλεται τὰς ἀνατριβούσας εἶναι χεῖρας. καὶ γὰρ αἱ σκληραὶ σκληραίνειν τε καὶ ξηραίνειν καὶ ἀνιᾷν πεφύκασιν. οὕτως μὲν ἐπὶ τῶν κοπωθέντων δαψιλῶς χρηστέον τῷ ἐλαίῳ, τοῦ χαλάσαι μόνον χάριν. κατὰ δεύτερον δὲ λόγον ἐπὶ τῶν στεγνωθέντων αὐτῷ χρώμεθα, δυναμένῳ τοὺς πόρους διανοῖξαι καὶ διαφορῆσαι τὰ περιττώματα. διὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ περὶ τῶν ἐπὶ βουβῶσιν, ἔνθα πλῆθος ὑπῆρχε, μετρίας δεῖται διαφορήσεως.

Καὶ λούειν δὲ πολλάκις, εἰς ὅσον ἐγχωρεῖ, τοὺς τοιούτους.—

Τοὺς τοιούτους φησὶ τοὺς προσεχῶς εἰρημένους, τοὺς κοπωθέντας δηλαδὴ καὶ στεγνωθέντας καὶ τοὺς ἐπὶ βουβῶσι πυρέξαντας. οὗτοι γὰρ δέονται ἐπὶ πλείονα χρόνον τῷ λουτρῷ. καλῶς γὰρ προσέθηκε τῷ λόγῳ τὸ εἰς ὅσον ἐγχωρεῖ. δυνάμεως γὰρ ἀντιπραττούσης, οὐκ ἂν παραληφθείη οὐχ ὅτι λουτρὸν, ἀλλ᾽ οὐδὲ τῶν ἄλλων οὐδὲν βοηθημάτων.

Ἐσθίειν δὲ τοὺς μὲν ἐπὶ κόποις ἐνδέχεται πολλάκις. —

Ἀκολούθως μετὰ τὸ λουτρὸν ἐπὶ τὸν τρόπον μεταβαίνει τῆς διαίτης. καὶ ταύτην αὖθις ἐμμεθόδως ὁρίζει. τοῖς μὲν κεκοπωμένοις, ἐπειδὴ 1) πλεῖον ἢ προσῆκε διεφορήθησαν, ἀντεισαγαγεῖν βούλεται τὸ λοιπὸν καὶ πολλάκις αὐτοῖς 2) παρέχει. τοῖς δὲ στεγνωθεῖσι καὶ ἐπὶ βουβῶσι πυρέξασιν οὐκέτι, διότι πλῆθός ἐστιν ἐφ᾽ ἑκατέρου τούτων.

---

1) πλείων A. 2) sc. τροφήν.

*Ἀλλὰ καὶ οἶνον πίνειν, εἰς ὅσον ἂν καὶ τούτου κρατεῖν δύνανται.* —

Ἐπειδὴ καὶ ἀναθρέψειν βούλεται τοὺς κεκοπωμένους, 1) ἀσθενοῦς ἐπ᾽ αὐτῶν ὑπαρχούσης τῆς δυνάμεως, ἐπινοεῖ τὸν οἶνον δυνάμενον τάχιστα μὲν ἐν γαστρὶ χυλοποιηθῆναι, τάχιστα δὲ ἐν ἥπατι εἰς αἷμα μεταβληθῆναί τε καὶ θρέψαι ὅλον τὸ σῶμα. τὸ δὲ τοῦ οἴνου μέτρον ἀπὸ τῶν συστοίχων ἁπάντων 2) λαμβάνω, καὶ πρῶτον ἀπὸ τῆς δυνάμεως. εἰ μὲν γὰρ 3) αὐτὴ ἀσθενὴς εἴη, ἧττον δώσομεν αὐτῇ τὸν οἶνον· εἰ δ᾽ ἰσχυρὰ, πλείονα ὅσον καὶ πέψαι δύναται. ἀλλὰ καὶ ἀπὸ τῆς ἡλικίας· εἰ μὲν γὰρ γεροντικὴ, πλείονος δεῖται· εἰ δὲ τῶν ἀκμαζόντων, ἥττονος· καὶ ἡ μὲν θερμοτέρα κρᾶσις, ἐλάττονος· ἡ δὲ ψυχροτέρα, πλείονος· ἀλλὰ μὴν καὶ ἀπὸ τοῦ ἔθους· εἰ μὲν γὰρ οἰνοπότης ἐν τῷ καιρῷ τῆς ὑγείας ἐτύγχανε, πλείονα αὐτὸν δώσομεν· εἰ δ᾽ οὐχ ὑπῆρχε τοιοῦτος, ἔλαττον· καὶ ἐν θέρει μὲν ἧττον, ἐν χειμῶνι δὲ πλεῖον, καὶ μᾶλλον ἐν Σκυθίᾳ πλεῖον, ἐν Αἰθιοπίᾳ δὲ ἧττον, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

*Τοὺς δ᾽ ἐπὶ βουβῶσι πυρέξαντας εἴργειν οἴνου.* —

Ἐπὶ τούτων γὰρ ὁ αἱματικὸς χυμὸς ἐκ τῆς τοῦ οἴνου 4) δόσεως διπλασιαζόμενος ἔτι πλείονα δὴ ὄγκον ἐργάζεται.

*Τῶν στεγνωθέντων δὲ ἢ ψυχθέντων τοὺς μὲν ἐπ᾽ ὀλίγον τοῦτο παθόντας ἥκιστά τε πληθωρικοὺς οὐ χρὴ κωλύειν οἴνου.* —

Ἐπὶ δὲ τῶν στεγνωθέντων ἀκριβέστερον δεῖ προσέχειν, εἰ 5) δεῖ καὶ τῷ οἴνῳ κεχρῆσθαι ἢ οὐ δεῖ πάμπαν. δεῖται δὲ ὁ λόγος προσδιορισμοῦ. εἰ μὲν γὰρ εἴη πολλὴ ἡ στέγνωσις καὶ τὸ σῶμα πληθωρικὸν, οὐ δώσομεν τὸν οἶνον. εἰκὸς γάρ ἐστιν ὑπ᾽ αὐτοῦ τὰς ὕλας χυθείσας διπλασιασθῆναι καὶ τοῖς μορίοις ἐπελθεῖν, καὶ πλήθει ἔμφραξιν ἐργάσασθαι. εἰ δ᾽ ὀλίγη εἴη ἡ στέγνωσις, καὶ

1) ἀσθενεῖς A. 2) assumit G. Fort. λαμβάνει. 3) Fort. αὕτη. 4) Fort. πόσεως. potione G. 5) δὲ A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 282 sur 382

μηδὲ πλῆθος χυμοῦ ὑποκέοιτο, τηνικαῦτα δώσομεν τὸν οἶνον, ἵνα τῇ ἀμετρίᾳ τῆς θερμότητος τούς τε πόρους ἀραιώσῃ, καὶ ῥώσῃ τὴν δύναμιν ἥτις ῥωσθεῖσά γε μᾶλλον ἐπιτίθεται τοῖς αὐτὰ λυμαινομένοις αἰτίοις.

Τοὺς δ' ἐπ' ἀγρυπνίαις ἤ τινι πάθει ψυχικῷ πυρέξαντας ἐπὰν λούσῃς, ὑγραινούσῃ τε καὶ εὐχύμῳ τροφῇ διαιτᾷν. —

1) Ἐπὶ πάντων μὲν χρὴ δηλονότι παραλαμβάνειν δίαιταν εὔχυμον. αὐτὸς μέντοι κατ' ἐξαίρετον αὐτῆς ἐπὶ τῶν ψυχικῶν παθῶν ἐμνημόνευσεν, εἰδὼς ὅτι ταῦτα μάλιστα καταβάλλει τὸ σῶμα, καὶ οὐδέν ἐστιν οὕτως δυνάμενον κωλῦσαι τὰς φυσικὰς δυνάμεις, ὡς ἡ τῶν ψυχικῶν παθῶν ἀμετρία. καὶ διὰ ταύτην τὴν αἰτίαν, ὅσοι μὲν ἔξω τούτων εἰσὶν, ἀφροντιδέστεροι ὄντες καὶ τῶν ἄλλων ψυχικῶν παθῶν ἀπηλλαγμένοι, πάντα τὰ προσφερόμενα αὐτοῖς πέττουσί τε καὶ μεταβάλλουσι, καὶ περιγινόμενοι αὐτῶν κέρδος ἐξ αὐτῶν οὐκ ὀλίγον τῷ σώματι πορίζονται. ὅσοι μέντοι ἢ λυποῦνται ἢ φροντίζουσιν, οὗτοι καὶ τὰ λίαν εὔπεπτα οὐ πέττουσιν ἢ σὺν χρόνῳ καὶ μόγις. ἐπειδὴ τοίνυν ἐπὶ τῶν ἐφημέρων πυρετῶν, τῶν διὰ ψυχικὸν πάθος γεγενημένων, οἱ χυμοὶ δριμύτεροι γεγόνασι καὶ ἡ τοῦ σώματος ἕξις ὅλη ξηροτέρα, διὰ τοῦτο βούλεται τροφὴν αὐτοῖς παρέχειν εὔχυμόν τε καὶ ὑγρὰν καὶ δυναμένην μεταβάλλειν, οὐ μόνον κατὰ ποιότητα, ἀλλὰ καὶ κατὰ ποσότητα.

Οἶνον δὲ μάλιστα τοῖς ἀγρυπνήσασιν ἀδεῶς διδόναι. —

Ἐπειδὴ κατὰ τὴν ἀγρυπνίαν τό τε ὅλον σῶμα ἐξήρανται, καὶ μέντοι καὶ συμβαίνει πολλάκις ἀπεψίαν γίνεσθαι, 2) ἐξῆς πολλὰ τίκτεσθαι περιττώματα. διὰ τοῦτο τὸν οἶνον ἐπὶ τούτων ἀδεέστερον δίδωσιν, ὡς ἂν δυνάμενον καὶ τὸ ἐξηρασμένον ὑγρᾶναι σῶμα, καὶ τὰ περιττώματα προτρέψασθαι πρὸς ἔκκρισιν, τῷ τὰς φυσικὰς ἐκροὰς εὐρωτέρας ποιῆσαι. φυλακτέον δὲ μᾶλλον ἐπὶ

1) Hoc scholion in cod. A. sequitur demum proximum.
2) Fort. ἐξ ἧς.

τούτων κεφαλαλγίαν. ὁ γὰρ οἶνος ταχέως εἰς ἀτμοὺς μεταβαλλόμενος καταλαμβάνει τὸν πεπονθότα τόπον καὶ πληροῖ καὶ διατείνει καὶ τὴν ὀδύνην ἐπαύξει, καὶ μάλιστα ὅτι αὐτὴ 1) ἡ ὀδύνη συμπράττει τῇ ἐπὶ τὸ πεπονθὸς μόριον αὐτοῦ φορᾷ, πεφυκότων, ὡς πολλάκις μεμαθήκαμεν, τῶν ὀδυνωμένων ῥευματίζεσθαι. ταύτην μέντοι τὴν κεφαλαλγίαν οὐ μόνον ἐπὶ ἠγρυπνηκότων, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων φυλακτέον, ἐφ᾽ ὧν τὴν τοῦ οἴνου παραλαμβάνομεν πόσιν.

Ἀλλὰ καὶ τοῖς ὀργισθεῖσιν ἢ λυπηθεῖσιν ἢ φροντίσασιν οἶνον διδόναι. —

Ὀργὴν μέν φησι τὸν μέτριον θυμόν. ὅτι δὲ χρὴ ἐπὶ τούτων καὶ τῶν λυπηθέντων καὶ τῶν πεφροντικότων τὸν οἶνον διδόναι, δυνάμενον ὑγρανθῆναι καὶ ἐπιτῆξαι τὴν ὑπ᾽ αὐτῶν προσγινομένην τῷ σώματι ξηρότητα, οὐδεὶς ἂν 2) ἀμφιβάλλοι.

Τοῖς θυμωθεῖσι δὲ, ἡνίκα ἂν παντελῶς ἔξω τοῦ πάθους ὦσι, πρότερον δ᾽ οὐκ ἀσφαλὲς οἴνῳ χρῆσθαι. —

Καὶ τοῦτο εἰκότως· εἴ γε ὁ θυμὸς ζέσις τίς ἐστι τοῦ περικαρδίου αἵματος καὶ συμπράττει δηλονότι τῇ ζέσει ταύτῃ ἡ τοῦ οἴνου πόσις.

Πειρᾶσθαι δὲ καὶ τὸ ἐναντίον ἀντεισάγειν ἀεὶ τῷ λυπήσαντι. —

Ἐπειδὴ κοινόν ἐστιν ἐπ᾽ ὀργῆς καὶ θυμοῦ καὶ φροντίδος καὶ λύπης, αὐτὸ τοῦτο τὸ λυπεῖσθαι. πάντες γὰρ οὗτοι ἔχουσί τινα λύπην, οἱ μὲν θυμωθέντες, ὅτι 3) ἠδίκηνται, οἱ δὲ φροντίσαντες, ὅτι αὐτοῖς οὐκ 4) ἀπέβη τὸ ζητούμενον, οἱ δὲ λυπηθέντες αὐτόθεν. διὰ ταύτην τὴν αἰτίαν καὶ κοινὴν αὐτοῖς ἀντεισάγει θεραπείαν, τὴν ἀπὸ τῆς ἡδονῆς. αὕτη γὰρ χέουσα τοὺς ἐν τῷ σώματι χυμοὺς, καὶ μάλιστα τὸν αἱματικὸν, εἰς ἅπαντά τε τὰ μόρια ἐκτείνει καὶ τῇ τούτου παρουσίᾳ τὸ ὅλον ὑγραίνει σῶμα,

---

1) τῇ ὀδύνῃ A. 2) ἀμφιβάλλῃ A. 3) ἠδίκονται A. 4) ἀπέβη A. abiit G.

καὶ μέντοι καὶ τῶν προκειμένων ἀπαλλάττει παθῶν. χρὴ δὲ καταστοχάζεσθαι τῆς τοῦ κάμνοντος φύσεως καὶ πρόσφορον αὐτῷ ποιεῖσθαι τὴν 1) θυμηδίαν, εἰ μέν τις εἴη φιλολόγος καὶ φιλοΐστωρ, ἐκδιηγούμενον κατορθώματα τῶν ἱστοριῶν, ἢ ἕτερα ἐπὶ τοῦτον λέγοντα· εἰ δὲ φιλοσόφοις ἐντραφεὶς μαθήμασι, φιλοσόφους ἀνερευνοῦντα λογισμοὺς, καὶ φιλοσόφων ἐκδιηγούμενον κατορθώματα. εἰ δὲ θεᾷ σχολάζων, αὐτὸν μὲν οὐδὲν τοιοῦτον ἐπὶ τούτου λέγειν, ἄλλους δὲ παρασκευάζειν τὴν τοιαύτην ποιεῖσθαι διήγησιν. πολλάκις δὲ καὶ παρ᾽ αὐτὰς τὰς θέας 2) αὐτῶν ἀποστελοῦμεν. καὶ ἁπλῶς πρὸς τὸν τοῦ κάμνοντος τρόπον καὶ τὴν τῆς ἡδονῆς ἐπινοητέον διαφοράν.

Τῶν δὲ ἄλλων πυρετῶν οἱ μὲν ἐπὶ φλεγμοναῖς, οἱ δ᾽ ἐπὶ χυμοῖς ἀνάπτονται. —

Εἰρήκαμεν ὅτι τῶν πυρετῶν οἱ μὲν ἐπὶ πνεύμασι γίνονται, οἱ δὲ ἐπὶ ὑγροῖς, οἱ δὲ ἐπὶ στερεοῖς. διείλεκται δὲ πρότερον περὶ τῶν ἐπὶ πνεύμασι συνισταμένων, καὶ παραδέδωκεν αὐτῶν τὰς διαγνώσεις καὶ τὰς θεραπείας. μεταβαίνει λοιπὸν ἐπὶ τοὺς ἐπὶ χυμοῖς. περὶ γὰρ ἑκτικῶν οὐδὲν ποιήσεται λόγον ἐν τούτοις, ἐπειδὴ καὶ ὁ Γλαύκων τῶν ὡς ἐπὶ πολὺ γινομένων νοσημάτων ᾔτησεν αὐτῷ γραφῆναι τὴν ἴασιν. ὁ δ᾽ ἑκτικὸς οὐκ ἔστι τῶν ὡς ἐπὶ τὸ πολὺ γινομένων. τῶν τοίνυν ἐπὶ χυμοῖς οἱ μὲν ἐν τῷ παντὶ σώματι τὸν χυμὸν ἔχουσι σηπόμενον, καὶ συνεχεῖς γίνονται· οἱ δὲ ἐν ἑνὶ μορίῳ 3) ἔμφραξιν ἐργαζόμενοί τινων πόρων, ὅθεν καὶ περιοδίζοντες γίνονται πυρετοὶ, καὶ φλεγμονὴν ἢ ἄλλον τινὰ ὄγκον ποιοῦνται. καὶ πάλιν τῶν πυρετῶν οἱ μέν εἰσι διαλείποντες, οἱ δὲ συνεχεῖς· διαλείποντες μὲν ὅσοι τὴν ὕλην ἔχουσι τῶν ἀγγείων ἐκτός· 4) συνεχεῖς δὲ ὅσοι τὴν ὕλην ἔσω τῶν ἀγγείων ἔχουσι. τούτων δὲ αὐτῶν πάλιν οἱ μετὰ τῶν συμπτωμάτων εἰσβάλλουσιν, οἱ δὲ χωρὶς συμπτωμάτων. οὐκοῦν ἐνταῦθα οὐ διαλέξεται περὶ τῶν ἐπὶ φλεγμοναῖς γινομένων πυρετῶν, ἀλλὰ περὶ τῶν ἄλ-

---

1) θυμιδίαν A. 2) Fort. αὐτούς. 3) ἔμφασιν A. obstructionem G. 4) συνεχεῖς — ἔχουσι om. G.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 285 sur 382

λων, καὶ 1) πρότερον περὶ τῶν διαλειπόντων, ὕστερον δὲ περὶ τῶν συνεχῶν· καὶ πάλιν πρότερον περὶ τῶν χωρὶς συμπτωμάτων. διαλέξεται δὲ καὶ περὶ τῶν συμπτωμάτων ἐν τοῖς ἑξῆς. οἱ τοίνυν διαλείποντες πυρετοὶ ἢ ἐπὶ φλέγματι σηπομένῳ γίνονται καὶ ποιοῦσι τὸν καλούμενον ἀμφημερινὸν πυρετὸν, ἢ ἐπὶ τῇ ξανθῇ χολῇ καὶ ποιοῦσι τὸν τριταῖον, ἢ ἐπὶ τῷ μελαγχολικῷ χυμῷ καὶ ποιοῦσι τὸν τεταρταῖον. καὶ τούτων ἔχει παραδοῦναι διαγνώσεις τε καὶ θεραπείας. καὶ πρότερόν γε περὶ τριταίου, ἐπειδὴ οὗτός ἐστι τῶν ἄλλων εὐηθέστερός τε καὶ ἐπιεικέστερος, καὶ μέντοι καὶ τοῖς ἀνθρώποις ὡς ἐπὶ τὸ πλεῖστον συμβαίνων.

Καί εἰσιν οἱ μὲν ἐπὶ φλεγμοναῖς, οἷον συμπτώματά τινα τῶν φλεγμαινόντων μορίων. —

Ἐπειδὴ ὁ πυρετὸς αὐτὸς οὐδέν ἐστι σύμπτωμα. οὔτε γὰρ ἐν ἐκκρινομένοις καὶ 2) ἐπεχομένοις ἔχει τὴν φύσιν, οὔτε ἐν διαθέσει σωμάτων, οὐ μὴν οὐδὲ βλάβη ἐστὶν ἐνεργείας, ἀλλὰ μᾶλλον αὐτὸς βλάπτει τὴν ἐνέργειαν, νόσημα ὄν. διὰ δὲ τοῦτο νῦν οὐκ ἠξίωσεν αὐτὸν ἁπλῶς εἰπεῖν σύμπτωμα, ἀλλ' οἷον σύμπτωμα. οὐ γάρ ἐστι σύμπτωμα, ἀλλ' ὅτι καθάπερ σύμπτωμα τοῖς νοσήμασιν ἀκολουθεῖ. οὕτω καὶ ταῖς φλεγμοναῖς ἐνταῦθα ὁ πυρετὸς ἕπεται δίκην συμπτώματος. ἐπὶ μέντοι τῶν ἄλλων πυρετῶν, τῶν προηγουμένως γινομένων, οὐκέτι ἕπεται, ἀλλ' αὐτὸς πρῶτος γίνεται, ἄλλα δέ τινα αὐτῷ συμπτώματα πάντως ἀκολουθεῖ.

Τούτων δέ τινες μὲν ἄνευ συμπτωμάτων, οἵπερ δὴ καὶ ἐπιεικέστατοί εἰσι. —

Ζητητέον πῶς φησιν ἐνταῦθά τινας τῶν πυρετῶν εἶναι δίχα συμπτώματος. οὐδὲν γάρ ἐστι νόσημα, ὃ μὴ βλάπτει τὴν ἐνέργειαν, ἐπείτοι καὶ οὗτός ἐστιν ὁ τοῦ νοσήματος ὅρος, διάθεσις παρὰ φύσιν βλάπτουσα τὴν ἐνέργειαν. ἔστι δὲ ἡ βλάβη τῆς ἐνεργείας, σύμπτωμα. πῶς οὖν αὐτὸς ἐνταῦθα λέγει πυρετούς τινας εἶναι δίχα συμ-

---

1) πρότερον — πρότερον om. G. Patet igitur, Gadaldini codicem recentem quoque fuisse et mendosum. 2) ἐπὶ χεομένοις A.

πτωμάτων; πρὸς τοῦτό φαμεν, ὅτι τῶν συμπτωμάτων τινά ἐστιν εἰδοποιὰ τῶν 1) νοσημάτων καὶ συνεισβάλλει πάντως αὐτοῖς καὶ καλεῖται ὑπὸ τῶν ἐμπειρικῶν παθογνωμονικὰ, ὡς ἂν τῆς τῶν παθῶν ἰδέας χαρακτηρίζοντα τὴν φύσιν αὐτῶν, ὥς τ' ἐπὶ τῆς πλευρίτιδος ἥ τε βὴξ καὶ ὁ πυρετὸς καὶ ἡ δύσπνοια καὶ τὸ νυγματῶδες ἄλγημα. τινὰ δὲ ἐξ ὑστέρου ἐπιφαίνεται ἀλλότρια, περὶ ὧν ἐνταῦθα λέγειν αὐτὸν ἐροῦμεν, 2) ἅτε ἐξ ἀνάγκης ἐπιφαινομένων. ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι τῶν πυρετῶν οἱ μὲν μετὰ συμπτωμάτων εἰσβάλλουσιν, οἱ δὲ δίχα συμπτωμάτων. συμπτώματα δὲ λέγομεν οὐ τὰ τυχόντα, ἀλλὰ ὅσα οὕτως ἐστὶ μοχθηρὰ καὶ κακοήθη, ὡς τῇ ἀπηνείᾳ καταβάλλειν μὲν τὴν δύναμιν, περιέλκειν δὲ ἅπασαν ἐφ' ἑαυτῷ τὴν τέχνην τῷ σφοδρῷ τῆς ἐνοχλήσεως. ἐνταῦθα τοίνυν περὶ τῶν πυρετῶν διαλέξεται, οἷς οὐδὲν τοιοῦτον σύνεστι σύμπτωμα, ὕστερον δὲ καὶ περὶ τῶν λοιπῶν διαλέξεται.

Ἐν οἷς μάλιστα εἰ οἷόν τε κατὰ τὴν πρώτην ἡμέραν διαγνωστέον οἷός τίς ἐστιν ὁ πυρετός. —

3) Εἰσιόντας παρὰ τὸν ἄῤῥωστον ἐν τῇ πρώτῃ τῶν ἡμερῶν δεῖ ζητεῖν εὐθέως, εἰ χρόνιόν ἐστι τὸ νόσημα ἢ ὀξύ. τοῦτο γὰρ ἡμῖν συμβάλλεται, εἰς τὸ τυπῶσαι τὸ εἶδος τῆς διαίτης. εἰ γὰρ πλησίον ἐστὶν ἡ ἀκμὴ, ὅπερ ἐπὶ τῶν ὀξέων γίνεται, λεπτότερον διαιτήσομεν, ἢ καὶ ἐπὶ ἀσιτίᾳ φυλάξομεν, ἵνα μὴ τροφὴν δόντες μερίσωμεν τὴν δύναμιν εἴς τε τὴν τῆς τροφῆς κατεργασίαν καὶ εἰς τὴν τοῦ νοσήματος ἐπιμέλειαν. καὶ εἰ μὲν τῆς τροφῆς 4) καταφρονήσασα πρὸς τὸ νόσημα ἀγωνίσηται, συμβαίνει ταύτην ἀπεπτηθεῖσαν ὕλην γίνεσθαι τοῦ πυρετοῦ κἀντεῦθεν ἰσχυρότερον γεγονὸς τοῦτο ἐπιθέσθαι τῇ δυνάμει καὶ καταβάλλειν ταύτην. εἰ δὲ περὶ τὴν τῆς τροφῆς κατεργασίαν ἀπασχοληθείη τὸ νόσημα, ἅτε μηκέτι τὸν ἀγω-

---

1) *πυρετῶν*, superscr. *νοσημάτων* A. 2) Fort. *οὐ περὶ τῶν*. non de iis G. 3) *εἰσιόντων* A. 4) *καταφρονήσασαν* A. nam si alimentum sumptum negligentes adversus morbum certaverint G. Fort. *καταφρονήσαντες — ἀγωνίσωνται* legit G.

νιζόμενον ἔχον, ἰσχυρότερον αὐτοῦ γίνεται καὶ κακοῖ τὴν φύσιν. εἰ δὲ πόῤῥω εἴη ἡ ἀκμὴ, ἁδρότερον διαιτήσομεν, ἵνα μὴ τῷ χρόνῳ ὑπὸ τῆς ἀσιτίας καταλυθεῖσα ἡ δύναμις ἀτονωτέρα ἑαυτῆς περὶ τὸν καιρὸν τῆς ἀκμῆς γένηται, ὅτε μάλιστα ὁ τῆς φύσεώς ἐστιν ἀγὼν πρὸς τὸ νόσημα. καὶ τοῦτο Ἱπποκράτης προσεσχηκὼς, εἶπεν· οἷσι μὲν οὖν αὐτίκα ἡ ἀκμὴ, λεπτῶς διαιτᾷν· οἷσι δὲ ὕστερον, ἐς ἐκεῖνο καὶ πρὸ ἐκείνου σμικρὸν ἀφαιρετέον· ἔμπροσθεν δὲ πιωτέρως διαιτᾷν, ὡς ἂν ἐξαρκέσῃ ὁ νοσέων.

*Καὶ πότερον τῶν διαλειπόντων καλουμένων ἢ τῶν συνεχῶν. —*

*Διαλείπων* μέν ἐστι πυρετὸς ὁ διάλειμμα καθαρὸν ἔχων. γίνεται δὲ τοῦτο, τῆς ὕλης ἔξω τῶν ἀγγείων οὔσης. συνεχὴς δὲ, ὁ μηδεμίαν ἀνακωχὴν παρέχων τῇ φύσει. γίνεται δὲ οὕτω, τῆς ὕλης ἔσω τῶν ἀγγείων οὔσης. τὸ μὲν οὖν χρόνιον ἢ ὀξὺ ζητητέον διὰ τὸ τῆς διαίτης εἶδος, ὡς εἰρήκαμεν, τὸ δὲ διαλείποντα εἶναι πυρετὸν ἢ συνεχῆ, διὰ τὸν καιρὸν τῆς αὐτῆς. χρὴ εἰδέναι ὅτι δεῖται μὲν ἡ δύναμις ἀεὶ τροφῆς ἀναπληρούσης αὐτὴν τὴν τοῦ διαπεφορημένου βάσιν. ἀλλὰ ταύτην μάλιστα δοτέον, ὅτε δύναται αὐτὴν πέψαι καὶ κατεργάσασθαι. πέττει δὲ, ὅτε καθαρά ἐστι, καὶ οὐδὲ ὑπὸ τῆς τοῦ πυρετοῦ θερμασίας ἐνοχλεῖται. οὐκοῦν ἐν τῷ λείμματι δοτέον αὐτήν. ἐν τῷ γὰρ παροξυσμῷ εἰ δῶμεν, ἡ μὲν δύναμις καταβέβληται ὑπὸ τῆς τοῦ πυρετοῦ δυσκρασίας, καὶ οὐ δύναται αὐτῆς περιγενέσθαι. 1) ἡ δὲ μὴ πεφθεῖσα τροφὴ ὕλη γίνεται τοῦ πυρετοῦ. καὶ τοῦτό ἐστιν, ὅ φησιν Ἱπποκράτης ἐν ἀφορισμοῖς· τοὺς δὲ παροξυσμοὺς ὑποστέλλεσθαι χρή. τὸ προστιθέναι γὰρ βλάβη. δοτέον τοίνυν τὴν τροφὴν ἐν τοῖς λείμμασιν. ἀλλὰ ταῦτα μέν ἐστιν εἰπεῖν ἐπὶ τῶν διαλειπόντων. ἐπὶ δὲ τῶν συνεχῶν, τί ἂν τις καὶ δράσαι; οὐ γὰρ ἔνεστιν εὑρεῖν ἐπὶ τούτων 2) ἀνετικὸν καιρὸν, ἀλλὰ συνεχὴς ὁ πυρετός ἐστιν. ὅμως κἀπὶ τούτων, ἐπειδὴ γίνεται μειοπυρεξία διάλειμμα μιμουμένη, τηνικαῦτα τὴν

1) εἰ A. 2) αἰνετικὸν A.

τροφὴν δοτέον, οὐχ ὅτε ἐπὶ παροξύνουσιν, ἐπεὶ τὰ εἰρημένα πάντως συμβήσεται.

Παντελῶς γὰρ ὀλίγοι πυρετοὶ τῆς τετάρτης ἡμέρας δέονται πρὸς ἀκριβῆ διάγνωσιν. —

Τοῦτό φησι διὰ τοὺς συνθέτους. τοὺς μὲν γὰρ ἁπλοῦς ἐνδέχεται κατὰ τὴν πρώτην ἡμέραν διαγινώσκειν· ἀλλ' ἐπειδὴ σύνθετοί τινές εἰσιν, οἳ κατὰ τὴν πρώτην ἡμέραν οὕτω τυγχάνουσιν εἰσβάλλοντες, ἐνίοτε δὲ οὐδὲ κατ' αὐτὴν τὴν δευτέραν, ἐπὶ τούτων ἀνάγκη περιμένειν τὴν τρίτην ἢ τὴν τετάρτην ἡμέραν ἐνίοτε πρὸς τὴν τῆς διαγνώσεως ἀκρίβειαν.

Μακρότερον δὲ καὶ σαφέστερον ἑτέρωθι πάντα λέλεκται.—

Ἐνταῦθα, φησὶ, βραχέα σοι διαλέξομαι περὶ τῆς τῶν τοιούτων πυρετῶν διαγνώσεως. 1) τὴν δὲ τελεωτέραν περὶ αὐτῶν θεωρίαν ἔχομεν ἐν τῷ δευτέρῳ λόγῳ τῆς περὶ κρίσεως κἀν τῷ περὶ διαφορᾶς πυρετῶν. χρὴ μέντοι γινώσκειν ὅτι τῶν ἐνταῦθα σημειώσεων οὐδέν ἐστι τελειότερον. πᾶσαν γὰρ τὴν περὶ αὐτῶν ἀνελλιπῶς ἐν τούτοις παραδέδωκε τέχνην.

Τοὺς μὲν οὖν μετὰ ῥίγους εἰσβάλλοντας οὐκ ἂν ἀπὸ τρόπου τῶν κατὰ περίοδον ἐνοχλούντων ὑπολάβοις εἶναι. —

Εἰσελθὼν παρὰ τὸν ἄῤῥωστον εὐθὺς κατὰ τὴν πρώτην ἡμέραν εὗρον αὐτὸν ῥίγει συνεχόμενον. ἐγένετό μοι τοῦτο γνώρισμα, τοῦτον τοιοῦτον εἶναι πυρετὸν ἐπὶ σήψει· 2) τῶν γὰρ χωρὶς σήψεως οὐδεὶς ἐπιφέρει ῥῖγος· ἀλλὰ διαλείποντα. πλὴν οὐκ ἀρκεῖ μοι ταῦτα μόνον μαθεῖν, ἀλλὰ καὶ ὕστερον ζητῶ τὸ τοῦ πυρετοῦ εἶδος, πότερον τριταῖός ἐστιν ἢ τεταρταῖος ἢ ἀμφημερινός. ὁ μὲν οὖν τριταῖος ἔχει τὸ ῥῖγος ἐξ ἀρχῆς σφοδρότερον, αἴσθησις δὲ ἐπ' αὐτῷ γίνεται, οἷον νύττοντός τινος καὶ κεντοῦντος, ὅπερ γίνεται διὰ τὴν τοῦ χυμοῦ λεπτομέρειαν καὶ δριμύτητα. ὁ δὲ τεταρταῖος κατὰ τὰς ἀρχὰς ἰσχυρὸν οὐκ ἔχει

1) ἂν add. A. ἔχωμεν A. 2) τῷ A.

τὸ ῥῖγος, ἐπειδὴ ψυχρός ἐστιν ὁ χυμὸς καὶ γεώδης καὶ δυσκίνητος. προιόντος μέντοι τοῦ χρόνου, ἐπειδὴ λεπτύνεται ὑπὸ τῆς τοῦ πυρετοῦ θερμασίας, ἰσχυρότερον αὐτοῖς γίνεται. καὶ 1) οἱ μὲν ἰδιῶται ταράττονται ἐπὶ τούτων καὶ νομίζουσι χαλεπώτερον αὐτοῖς γίνεσθαι τὸ νόσημα, τοῦ ῥίγους ἐπιταθέντος. ὁ μέντοι τεχνίτης τοῖς Ἱπποκράτους ὀφθαλμοῖς προσέχων ἀποφαίνεται προκόπτειν ἐπὶ τὸ κρεῖττον τὸν πυρετόν· μὴ γὰρ ἂν γεγενῆσθαι σφοδρὸν ἐπὶ τεταρταίου ῥῖγος, εἰ μὴ πέψεως φανῇ σημεῖον.

Σὺν τῷ μηδ' εὐθὺς ἀπ' ἀρχῆς τὰ πολλὰ τὸν πυρετὸν τοῦτον εἰσβάλλειν, ἀλλ' ἑτέρων προηγησαμένων συμπίπτειν. —

Τὰ πολλὰ προσέθηκεν, ἐπειδὴ ὁ τεταρταῖος ἔστιν ὅτε καθ' ἑαυτὸν εἰσβάλλει, μὴ προηγησαμένων ἑαυτοῦ τῶν πλανήτων πυρετῶν. τοῦτο δὲ γίνεται, ὅταν ὁ σπλὴν ἀτονήσας περὶ τὴν ἑλκτικὴν τοῦ μελαγχολικοῦ ἐνέργειαν, ἐάσῃ τοῦτον συναναφέρεσθαι τῷ αἵματι. κἀντεῦθεν πλεονάσαντος αὐτοῦ καὶ σαπέντος, γίνεται τεταρταῖος. ὡς ἐπὶ τὸ πλεῖστον δὲ πλανῆται αὐτῶν προηγοῦνται. διὰ τοιαύτην αἰτίαν ὁ μελαγχολικὸς χυμὸς διττὴν ἔχει τὴν γένεσιν· γίνεται γὰρ ἢ ἀπὸ τρυγώδους αἵματος ἢ ἀπὸ τῆς ξανθῆς χολῆς ὑπεροπτωμένης. ἐπειδὴ τοίνυν οὐχ ὁμοτίμως ἅπασα ἡ ξανθὴ χολὴ ὑπεροπτᾶται, ἀλλὰ τὸ μὲν αὐτῆς θᾶττον, τὸ δὲ βραδύτερον, καὶ ἁπλῶς ἡ ὑπερόπτησις αὕτη ἄτακτος γίνεται, διὰ τοῦτο περὶ τὴν μεταβολὴν ἄτακτοι καὶ οἱ πυρετοὶ γίνονται, μηδεμίαν τάξιν φυλάττοντες, ἀλλά ποτε μὲν περὶ τὴν ἕω εἰσβάλλουσιν, ἄλλοτε δὲ περὶ τὴν ἑσπέραν, καί ποτε μὲν διὰ δύο, ποτὲ δὲ διὰ τριῶν *.... 2) καθ' ἑκάστην ὡς ἂν ἡ μεταβολὴ τοῦ ξανθοχολικοῦ χυμοῦ ἡ ἐπὶ τὸ μέλαν τύχῃ γεγονυῖα.

Ὁ δ' ἀμφημερινὸς οὐδὲ χωρὶς τοῦ τὸ στόμα τῆς γαστρὸς πεπονθέναι τὰ πολλὰ συνίσταται. —

Ὁ ἀμφημερινὸς πυρετὸς, ἐπειδὴ ἐπὶ φλέγματι σηπομένῳ γίνεται, τοῦτο δὲ τὸ φλέγμα μάλιστα συνάγεται

1) εἰ μὲν ἰδιώτας A. 2) ἐνίοτε δὲ addit G. e conjectura.

περὶ τὴν γαστέρα καὶ τὸν στόμαχον, ἔνθα καὶ ἡ πρώτη πέψις ἐστί. τὸ φλέγμα, διὰ ταύτην τοίνυν τὴν αἰτίαν, ἐν τῷ στομάχῳ τῆς γαστρὸς καὶ τῇ γαστρὶ πλεονάζον, ὅταν τύχῃ ποτὲ σαπὲν, ἀμφημερινὸν ἐπάγει πυρετόν. αὐτὸ δὲ τὸ στόμα μόνον εἶπε τῆς γαστρὸς, οὐχ ὡς ἐν τῇ γαστρὶ μὴ ὄντος τοῦ φλέγματος, ἀλλ' ὅτι ἐν ἀμφοτέροις ὄντος αὐτοῦ, τὸ στόμα μᾶλλον 1) αἰσθάνεται διὰ τὸ τῆς αἰσθήσεως ἀκριβές.

Εἰ δὲ μετὰ βραχέος ἄρξεται τοῦ ῥίγους, τότε δεῖ καὶ μᾶλλον τοῖς ἄλλοις γνωρίσμασι τὸν νοῦν προσέχειν καὶ τὰ ἑξῆς. —

Ὃ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστιν, ὅτι εἰ μὲν σφοδρὸν εἴη τὸ ῥῖγος, ὑποπτεύειν δεῖ, τῷ τοιούτῳ τριταῖον προηγεῖσθαι. εἰ δὲ μὴ εἴη σφοδρὸν, οὔπω χρὴ τριταῖον ὑπολαβεῖν. ἐνδέχεται γὰρ τοῦτο γενέσθαι καὶ διὰ τεταρταῖον καὶ διὰ ἀμφημερινόν. καὶ γὰρ καὶ ἐπὶ τούτων γίνεταί τις ψύξις, ἣν νῦν ἐκάλεσε μέτριον ῥῖγος. ἀλλὰ κἀπὶ τῶν ἡμιτριταίων γίνεται τὸ τοιοῦτον. ῥῖγος μὲν γὰρ ὅλως ἐπ' αὐτῶν γίνεται διὰ τὸν ξανθοχολικὸν χυμόν. κολάζεται μὲν τούτου ἡ σφοδρότης διὰ τὴν τοῦ φλέγματος ἐπιμιξίαν. ἔστι δ' ὅτε κἀπὶ τῶν συνεχῶν γίνεται μικρότερον ῥῖγος, ὡς ἐπὶ καύσωνος. συμβαίνει γὰρ ἐνίοτε τὴν χολὴν, λεπτομερεστάτην οὖσαν, μὴ δύνασθαι πᾶσαν ἐν τοῖς ἀγγείοις στέγεσθαι· ἐκπίπτει δὲ αὐτῆς ὀλίγον ἔξω τῶν ἀγγείων, καὶ τοῦτο ποιεῖ μέτριον ῥῖγος, ὥστε οὐκ ἀρκέσει σοι ἡ τοῦ ῥίγους σμικρότης εἰς ἀκριβῆ διάγνωσιν, ἀλλὰ δεῖ προσέχειν λοιπὸν τοῖς ἄλλοις σημείοις. τὰ δ' ἄλλα σημεῖα λαμβάνεται ἢ ἀπὸ τῶν κατὰ φύσιν ἢ ἀπὸ τῶν παρὰ φύσιν, ἢ ἀπὸ τῶν προηγησαμένων ἢ ἀπὸ τῶν συνεισβαλλόντων. ἀπὸ μὲν τῶν κατὰ φύσιν, ζητούντων 2) [ἡμῶν] τὴν τοῦ κάμνοντος κρᾶσιν, 3) εἰ ξηροτέρα, καὶ τὴν ἡλικίαν, εἰ ἀκμαστική. αὕτη γὰρ τοῦ τοιούτου χυμοῦ ἐστιν εὔφορος· καὶ τὴν ὥραν εἰ θέρος, καὶ τὴν χώραν εἰ θερμὴ καὶ ξηρὰ, καὶ τὴν κατάστασιν ὁμοίως. ἀλλὰ καὶ τὰ παρὰ φύσιν ζητη-

1) αἰσθάνεσθαι A. 2) ἡμῶν om. A. 3) ἢ A.

τέον 1) ἐστὶ, τὸ ποσὸν τῆς θερμασίας καὶ τὸ ποιόν. καὶ τὸ μὲν ποσὸν, ἐπειδὴ ἡ ὕλη, εὐέξαπτος οὖσα, πολλὴν ἀνάπτει τὴν θερμασίαν· τὸ δὲ ποιὸν ὅτι δεῖ ταύτην εἶναι δριμεῖαν, καὶ διαβρωτικήν. ἀλλὰ καὶ αἱ τῶν ἀρτηριῶν κινήσεις δηλοῦσι. μέγιστοι γὰρ ἐπ' αὐτῶν οἱ σφυγμοὶ καὶ σφοδρότεροι καὶ ταχεῖς καὶ πυκνοί. καὶ τοῦτο εἰκότως, εἴ γε καὶ θερμότης ἐστὶ τὴν χρείαν κατεπείγουσα. καὶ ἡ δύναμις οὐ καταβέβληται διὰ τὸ τοῦ χυμοῦ κοῦφον καὶ ἐπίλειον· οὐ μὴν οὐδὲ ἀνώμαλοι. ἡ γὰρ ἀνωμαλία δυνάμεώς ἐστιν ἀσθενοῦς ἔγγονος, πλὴν τῆς πυρεκτικῆς. εἰρήκαμεν δὲ ἐν τῷ περὶ σφυγμῶν, ὅτι πυρεκτικὴν ἀνωμαλίαν καλεῖ ὁ Γαληνὸς τὸ τὰ πέρατα τῆς διαστολῆς εἶναι ταχύτερα τῶν μέσων. κατὰ μὲν γὰρ τὸ ἔσω πέρας ἐπιταχύνει πρὸς τὴν διαστολὴν ἐπειγομένη, ἵνα καταψύξῃ τὴν ἀπὸ τοῦ πυρετοῦ δυσκρασίαν, κατὰ δὲ τὸ ἔξω ἔτι μᾶλλον ἐπιταχύνει, ἐπειγομένη τε πρὸς τὴν συστολὴν, δι' ἔκκρισιν τῶν ἐκ τοῦ πυρετοῦ γεννηθέντων λιγνυωδῶν περιττωμάτων, καὶ ἵνα δευτέραν ποιήσηται διαστολήν. ἀλλὰ καὶ δίψα αὐτοῖς ἐστι πολλὴ καὶ χολώδης ἔμετος. οὕτω μὲν οὖν ἀπὸ τῶν κατὰ φύσιν καὶ τῶν παρὰ φύσιν καὶ τῶν συνεισβαλλόντων διέγνωμεν τὸν τριταῖον· ἔτι δὲ ἀπὸ τῶν προηγησαμένων τὸν βίον, εἰ φροντιστικὸς ἢ ἀγρυπνητικὸς ἢ ἀσιτίαις εἰωθὼς χρῆσθαι ἢ γυμνασίοις πλείοσι. ταῦτα γὰρ πάντα πρὸς τὴν τοῦ ξανθοχολικοῦ χυμοῦ γένεσιν συμφύτως ἔχει, 2) ὃς τὸν προκείμενον εἰς ἐπίσκεψιν ἀνάπτει πυρετόν. ἐπὶ δὲ τούτοις ἅπασι δεῖ καί τινα στοχαστικὴν προστιθέναι διάγνωσιν, αὐτὴν μὲν καθ' ἑαυτὴν οὐκ ἀρκοῦσαν τὸ ἀκριβὲς παραδοῦναι, συνεισφέρουσα μέντοι τοῖς εἰρημένοις σημείοις. δεῖ γὰρ προσέχειν, εἰ κατ' ἐκεῖνον τὸν καιρὸν ἐγένετο τριταϊκῶν νοσημάτων ἐπιδημία. ὥσπερ γὰρ ἐν ταῖς τοῦ ἐνιαυτοῦ ὥραις ἄλλοτε ἄλλοι τῶν καρπῶν εὐφοροῦσιν, οὕτως ἡ τῶν νοσημάτων ἐστὶν εὐφορία. εἰ τοίνυν εὔφορος ᾖ τριταϊκὰ νοσήματα, σημεῖον καὶ τοῦτο τὸ τίθεσθαι τοῦ καὶ τὸ παρὸν ἡμῖν νόσημα τοιοῦ-

---

1) ἐστὶ τὸ ποιόν, τὸ μὲν ποσόν. Vitiose G. Inde atque aliunde claret, Ambrosianum codicem et Gadaldini librum inter se discrepare. 2) ὡς A.

τον εἶναι, οἷον καὶ τὰ κοινά. δηλοῖ γὰρ ὅτι κοινή τίς ἐστιν αἰτία, ἡ τοῦ ἀέρος ἀλλοίωσις, 1) ἀλλ' ὅτι καθόλου ὃ τὴν τοιαύτην εἰργάσατο τροπὴν, ἐφ' ᾗ τὸν τριταῖον συνέβη γενέσθαι. ἐκ τοίνυν τῶν κοινῶν καὶ τὰ κατὰ μέρος γινώσκομεν.

*Δίψος δὲ αὐτὸν ἔχει σφοδρόν.* —

Τὸ δίψος γίνεται διὰ τὸ θερμὸν καὶ ξηρὸν τοῦ χυμοῦ, ἱδρὼς δὲ ἐπὶ τούτοις ἀκολουθεῖ, ἐπειδὴ λεπτὸς ὢν ὁ χυμὸς ῥαδίως ἀναλύεται καὶ φερόμενος περὶ τὴν ἐπιφάνειαν, ἱδρῶτί τε αὐτὴν διαβρέχει καὶ τοῦ μερικοῦ παροξυσμοῦ τὸν κάμνοντα ἀπαλλάττει.

*Ὁ δὲ τεταρταῖος, χρὴ γὰρ καὶ τούτου τὰ γνωρίσματά σοι γράψαι, καὶ τὰ ἑξῆς.* —

Παραδεδωκὼς ἡμῖν τὴν τῶν τριταίων πυρετῶν διάγνωσιν, βούλεται λοιπὸν καὶ τὴν τῶν τεταρταίων παραδοῦναι. εἰκότως δὲ μετὰ τοὺς τριταίους οὐ περὶ ἀμφημερινῶν, ἀλλὰ περὶ τεταρταίων διαλέγεται, ἐπειδὴ τοῖς τριταίοις οὗτοι πολλὰ κοινωνοῦσι, πρῶτον μὲν κατὰ τὸ ῥῖγος, ἔπειτα καὶ ὅτι ἑκάτερος τῶν πυρετῶν ἐστιν ἀκίνδυνος. τὸ δ' ἀληθέστερον, ὅτι ὁ μὲν ἀμφημερινὸς πυρετὸς ἐπὶ φλέγματι γίνεται, ψυχρῷ καὶ ὑγρῷ τὴν φύσιν ὑπάρχοντι, ὁ δὲ τριταῖος ἐπὶ τῷ χολώδει, θερμῷ ὄντι καὶ ξηρῷ. καί εἰσιν αἱ ποιότητες αὐτῶν κατὰ διάμετρον ἀλλήλαις ἐναντίαι. ὁ μέντοι μελαγχολικὸς χυμὸς, εἰ καὶ τῇ ψύξει διαφέρει, τῇ γοῦν ξηρότητι κοινωνεῖ. καὶ ταῦτα μὲν ὕθλος ἐστὶ λήρων σοφιστῶν, λογικῆς ἐχομένων ζητήσεως. μεταβῶμεν δὲ λοιπὸν ἐπὶ τὴν τούτων διάγνωσιν καὶ ποιησώμεθα ταύτην ὁμοίως ἀπὸ τῶν κατὰ φύσιν, ἀπὸ τῶν παρὰ φύσιν, ἀπὸ τῶν προηγησαμένων ἁπάντων, ἀπὸ τῶν παρόντων. ἔστω τοίνυν ἐπὶ τούτων ἡ μὲν φύσις τοῦ κάμνοντος μελαγχολικωτέρα, ἡ δὲ ἡλικία παρακμαστικὴ καὶ ἡ ὥρα τοῦ ἔτους φθινόπωρον, ἐν τούτῳ γὰρ ὁ μελαγχολικὸς γεννᾶται χυμὸς διὰ τοιαύτην αἰτίαν· ἐν μὲν τῷ θέρει τὸ λεπτομερὲς ἀεὶ διαφορεῖται, 2) ἐπιλαβὸν δὲ

---

1) Fort. ἤ ἄλλο τι. vel aliud quid universale G. 2) ἐπιλαβὼν A.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 293 sur 382

τὸ φθινόπωρον καὶ τῇ ψύξει πυκνῶσαν τὴν ἐπιφάνειαν ἀπέκλεισεν. ἐκωλύθη δὲ δηλονότι τὰ δυσδιαφόρητα καὶ παχέα, ἃ μελαγχολικὰ μᾶλλόν ἐστιν ἤ τινος τῶν ἄλλων χυμῶν. ἀλλὰ καὶ τὸ χωρίον 1) ἐστὶ ψυχρὸν καὶ ξηρὸν, καὶ ἡ παροῦσα δὲ τοῦ ἀέρος κατάστασις ἀνώμαλος. καλῶς γὰρ περὶ τούτου τῷ Ἱπποκράτει διώρισται· ὅτε μὲν θάλπος, ὅτε δὲ ψύχος ποιέει, φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαι χρή. ἀναγκαῖον γάρ ἐστι τηνικαῦτα τὰ μὲν λεπτομερῆ ὑπὸ τοῦ θάλπους διαφορεῖσθαι, τὰ δὲ παχέα στέγεσθαι ὑπὸ τοῦ κρύους. καὶ ταῦτα σηπόμενα τὸν τεταρταῖον ἐπάγει πυρετόν. ταῦτα μὲν οὖν τὰ κατὰ φύσιν. ζητητέον δὲ καὶ τὰ παρὰ φύσιν, οἷον τὸ ῥῖγος. ἔστι γὰρ ἐπὶ τούτων οὐ τὸ νυγματῶδες, ἀλλὰ τὸ ὀστοκοπῶδες, βαρουμένων καὶ οἷον θλιβομένων τῶν ὀστῶν ὑπὸ τῆς τοῦ χυμοῦ βαρύτητος. ζητητέον δὲ καὶ τὰ προηγησάμενα. ταῦτα γὰρ ἅπαντά σοι τὴν τοῦ τεταρταίου φύσιν ἀκριβῶς ἐνδείξεται.

Ἱκανῶς γὰρ ἀραιοὶ καὶ βραδεῖς αὐτῶν οἱ σφυγμοὶ γίνονται. —

Ἀραιοὶ μὲν γίνονται διὰ τὴν ψύξιν, βραδεῖς δὲ διὰ τὴν τῆς δυνάμεως ἀσθένειαν, βαρουμένης ὑπὸ τῆς τοῦ χυμοῦ παχύτητος.

Σώζεται δὲ ὅμως καὶ τότε ἡ ἴδιος βραδύτης τε καὶ ἀραιότης. —

Ὃ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστιν, ὅτι εἰ καὶ κατὰ τὴν ἀνάβασιν καὶ κατὰ τὴν ἀκμὴν ταχύτεροι καὶ πυκνότεροι γίνονται οἱ σφυγμοὶ ἐπὶ τούτων, ἀλλ' οὐκ ἀφίστανται τῆς ἰδίας αὐτῶν ἀραιότητος καὶ βραδύτητος, ἀλλ' ὅσῳ μὲν ἐπὶ τῶν παροξυσμῶν πυκνοῦνται καὶ ταχύνονται. καὶ δύναιτο ἄν τις αὐτοὺς λέγειν τοιούτους γεγενῆσθαι, τοῖς κατὰ τὰς ἀρχὰς τῶν τεταρταίων παραβάλλων. οὐ μὴν ὁμοία ἐστὶν αὐτῶν ἡ πυκνότης ἢ ἡ ταχύτης τῆς ἐπὶ τῶν τριταίων γινομένης, ἀλλὰ ἀπολείπεται πολλῷ.

---

1) Esto G.

*Τὴν γὰρ κοινὴν ἁπάντων τῶν πυρετῶν ἐν μιᾷ προσβολῇ τῆς ἀρτηρίας ἀνωμαλίαν ἐναργεστάτην ἐστὶν εὑρεῖν ἐν τούτῳ.* —

Ἄξιον ζητῆσαι, τί δήποτε ἡ πυρεκτικὴ ἀνωμαλία, ἔν τε τοῖς τριταίοις ὑπάρχουσα κἂν τοῖς τεταρταίοις, ἐπὶ τῶν τεταρταίων μάλιστά ἐστιν εὐδιάγνωστος. καὶ λέγομεν ὅτι ἐπὶ μὲν τῶν τριταίων, διὰ τὸ τῆς διαστολῆς ὅλης τάχος τὸ τῶν πυρετῶν ἴδιον λανθάνει τὴν αἴσθησιν. πολλῆς γὰρ οὔσης τῆς θερμότητος, καὶ τὰ μέσα τῆς διαστολῆς ἐστι 1) ταχύτερα, ὥστε τὰ πέρατα μὴ πολλῷ τῶν μέσων εἶναι θάττονα. ἐνταῦθα μέντοι ἐπειδὴ οὐκ ἔστιν ἡ θερμασία τοσαύτη, οὐκ ἀνάγκη γενέσθαι τὴν ὅλην διαστολὴν ταχεῖαν, ὥστε, βραδυτέρας οὔσης καὶ ἐν χρόνῳ πλείονι κινουμένης, εὐδιάγνωστον ἔσται τὸ τῆς πυρεκτικῆς ἀνωμαλίας σημεῖον.

*Πολλῷ γάρ τινι τήν τε ἀρχὴν τῆς κινήσεως καὶ τὸ τέλος ὠκύτερον εὑρήσεις τῶν μέσων.* —

Σημειωτέον ἐνταῦθα, ὃ κἂν τῷ πρὸς 2) Τεύθραν περὶ τῶν σφυγμῶν ἐλέγομεν, ὅτι ἡ τῶν πυρετῶν ἴδιος ἀνωμαλία ἐστὶν αὕτη, τὸ τὰ πέρατα τῆς διαστολῆς εἶναι ταχύτερα τῶν μέσων, καὶ μᾶλλον τοῦ ἐντὸς τὸ ἐκτός. ἀλλὰ τοῦτον τὸν λογισμὸν πολλάκις εἰρήκαμεν, οὐχ ὥσπερ τινὲς ἔλεγον, τὸ ἔξωθεν μόνον εἶναι τῆς διαστολῆς. καὶ ἐν ἐκείνοις ὑπεσχόμεθα δεῖξαι τὸν Γαληνὸν τοῖς ὑφ᾽ ἡμῶν εἰρημένοις συμφωνοῦντα. ἐνταῦθα γοῦν ταυτόν φησιν ἐναργῶς οὕτως, ὡς ἂν μηδένα λαθεῖν.

*Ἀλλὰ καὶ τὰ τῆς θερμασίας γνωρίσματα διαφερόντως αὐτοῖς ἔχει.* —

Ὥσπερ ἐσημειοῦτο τὸν τριταῖον ἀπὸ τοῦ ποιοῦ καὶ τοῦ ποσοῦ τῆς θερμασίας, οὕτως καὶ τὸν τεταρταῖον. φησὶ γὰρ ὅτι τὸ δριμὺ καὶ διακαές, ὅπερ ὑπῆρχε τοῖς τριταίοις, οὐκ ἔστιν ἐπὶ τούτοις εὑρεῖν. ψυχρὸς γάρ ἐστιν ὁ τὸν τεταρταῖον ποιῶν χυμός.

---

1) παχύτερα A. celeriora G. 2) τεῦφραν G.

*Καὶ εἰ σπλὴν μέγας εἴη καὶ ἄτακτοι πυρετοὶ προηγήσαντο.* —

Τὴν μὲν αἰτίαν, δι' ἣν ἄτακτοι πυρετοὶ προηγοῦνται τοῦ τεταρταίου, φθάσαντες εἰρήκαμεν. ὁ δὲ σπλὴν γίνεται μέγας, ὅταν ὁ μελαγχολικὸς πλεονάσῃ χυμὸς τοσοῦτον, ὥστε καὶ τὸν σπλῆνα πολλὴν αὐτοῦ μοῖραν ἕλκοντα, καὶ αὐξανόμενον ὑπ' αὐτοῦ, ὅμως ἔτι καταλιμπάνειν ἐν τῷ σώματι πολὺ αὐτοῦ μέρος, ἐφ' ᾧ σηπομένῳ γίνεται ὁ τοιοῦτος πυρετός. καὶ μεθ' ἱδρῶτος παύεται, τοῦτο σημεῖόν ἐστι διακριτικὸν οὐ τεταρταίου ἀπὸ τριταίου. ἐδείξαμεν γὰρ καὶ ἐπ' ἐκείνων γίνεσθαι τὸν ἱδρῶτα, ἀλλὰ τεταρταίων πρὸς ἀμφημερινούς. ἐπὶ μὲν γὰρ τῶν ἀμφημερινῶν ἢ οὐδ' ὅλως γίνονται ἱδρῶτες, ἢ εἰ καὶ γένοιντο, σφόδρα ὀλίγοι. παχὺς γὰρ ὢν ὁ χυμὸς καὶ χολώδης, οὐ πέφυκεν ἀναλύεσθαι εἰς ἱδρῶτας. ὁ μέντοι ξανθοχολικὸς, ἅτε λεπτομερὴς ὢν, ῥαδίως ἀναλύεται, καὶ δεύτερος μετ' ἐκεῖνον ὁ μελαγχολικὸς, ἐπειδὴ τὸ ξηρὸν ἔχει 1) ἐμβαλλόμενον αὐτῷ εἰς τοῦτο. ἀμέλει τοι πολὺς μέν ἐστιν ἐπὶ τῶν τριταίων, ἥττων δὲ ἐπὶ τῶν τεταρταίων καὶ ἀμφημερινῶν.

*Παυσαμένων δὲ τοῦ πυρέττειν, εἰ τὸ τοῦ πυρετοῦ σημεῖον ἔτι παραμένοι.* —

Τεχνικώτατα ὁ συγγραφεὺς οὐδένα τῶν τοῦ παροξυσμοῦ καιρῶν παραλιμπάνει. λαμβάνει γοῦν τὰς σημειώσεις ἀπὸ τῆς ἀρχῆς, ζητῶν ἐν αὐτῇ τὸ ῥῖγος ὁποῖον ἐγένετο, ἀλλὰ καὶ ἀπὸ τῆς ἀναβάσεώς τε καὶ τῆς ἀκμῆς, τοὺς σφυγμοὺς εἰρηκὼς ἐν τούτοις εἶναι τοῖς καιροῖς πυκνοτέρους τε καὶ ταχυτέρους, ἀλλὰ μὴν καὶ ἀπὸ τῆς παρακμῆς μεθ' ἱδρῶτος αὐτοὺς ἀποφηνάμενος παύεσθαι. νῦν δὲ ἀπὸ τοῦ 2) διαλείμματος ἐπάγει διάγνωσιν. εἰ γὰρ παρείη αὐτοῖς, φησὶ, πυρεκτικὴ ἀνωμαλία, καὶ πεπαυμένη τοῦ πυρέττειν, 3) εἶεν ἂν οὗτοι τεταρταῖοι πυρετοί. ἀλλὰ τοῦτο μέν ἐστι κοινὸν τριταίοις τε καὶ τεταρταίοις καὶ ἀμφημερινοῖς. ἐκείνῳ δὲ μάλιστα δεῖ προ-

1) Fort. συμβαλ. 2) διαλύματος A. 3) οἷον A.

προσέχειν τὸν νοῦν, ὅτι οἱ 1) σφυγμοὶ ἐπὶ τούτων ἐν τῷ ὑγιαίνειν ὄντων, ὑπομένουσι 2) δὲ τοιοῦτον ἐκ τῆς τοῦ πλεονάζοντος χυμοῦ ποιότητος.

Ἀμφημερινὸν δὲ πυρετὸν τοῖσδ᾽ ἂν μάλιστα γνωρίσαις·
ὑγροτέραν γὰρ εἶναι χρὴ τὴν θερμασίαν. —

Μετὰ τὴν τοῦ τριταίου καὶ τεταρταίου διάγνωσιν, ἑπόμενον λοιπόν ἐστι καὶ τὸν ἀμφημερινὸν εἰς μέσον ἀγαγόντας διαγνῶναι ἀκριβῶς. καὶ ἦν μὲν 3) ἕτοιμον εἰπεῖν, πάντα ἐπὶ τούτου τὰ ἐναντία δεῖ ζητεῖν τοῖς ἐπὶ τῶν τριταίων εἰρημένοις. εἴ γε 4) ἐκεῖνοι ἐπὶ θερμῷ καὶ ξηρῷ χυμῷ συνέβαινον, οὗτοι δὲ ἐπὶ τῷ φλέγματι, ψυχρῷ ὄντι καὶ ὑγρῷ. οὐδὲν δὲ ἄτοπον σαφοῦς ἕνεκα διδασκαλίας καὶ τὰ κατὰ μέρος προσθεῖναι τῆς μεθόδου ἐχόμενα, λέγω δὲ, τῶν τε κατὰ φύσιν καὶ τῶν παρὰ φύσιν, τῶν τε προηγησαμένων καὶ τῶν παρόντων, ἅπερ κατὰ τὴν λέξιν ἐστὶν εὑρεῖν ἐναργῶς 5) ἐκτεθειμένα. χρὴ τοίνυν ἐπὶ τούτῳ εἶναι τὸ ποιὸν τῆς θερμασίας ὑγρότερον, μετά τινος δριμύτητος, ἀλλ᾽ ὑγρότερον μὲν * . . . 6) δριμύτερον δὲ διὰ τὴν προσγινομένην αὐτῇ σηπεδόνα.

Οὐ κατὰ τὴν πρώτην ἐπιβολὴν εὐθὺς ὑποπιπτούσης,
ἀλλ᾽ ἐγχρονιζούσης τῆς χειρός. —

Ἐπὶ τούτων γὰρ ἡ θερμασία διὰ τὸ πάχος τοῦ χυμοῦ κρύπτεται κατὰ τὸ βάθος καὶ οὐ διελέγχεται τῇ ἁφῇ, οἷα ἐστὶ κατὰ τὴν πρώτην προσβολήν. χρονιζούσης μέντοι τῆς χειρὸς, καὶ τῇ θερμότητι καὶ τῇ ὁμιλίᾳ τὸ σῶμα θερμαινούσης καὶ ἀραιούσης ἅμα τοὺς πόρους 7) καὶ τὴν ὕλην λεπτυνούσης, 8) * τῇτε ἐπαναδιδόσει τὴν ἑαυτῆς κακίαν.

Καπνώδη γὰρ θερμασίαν ἀτμῷ πολλῷ συμμιγῆ δόξαις.—

Ὥσπερ γὰρ ἐπὶ τῶν ὑγρῶν ξύλων ὁρῶμεν, ὅτι ταῦτα τῇ φλογὶ ἐπιβαλλόμενα πρῶτον καταπνίγει αὐτὴν, καὶ

---

1) χυμοὶ A. σφυγμοὶ in mg. χυμοὶ G. quod correxit. 2) δὴ G. conjecit. 3) ἔτυμον A. 4) ἐκείνοις A. 5) ἐκτεθειμένου A. 6) διὰ τὴν τοῦ χυμοῦ φύσιν add. G e conject. 7) κατὰ A. 8) reditione sua suam ipsius malitiam offendit G. Fort. τῇδε ἐπαναδώσει τὴν etc.

νικᾷν ἐθέλει μᾶλλον ἢ νικᾶσθαι· διὸ καὶ καπνὸς ἐξ αὐτῶν ἀναδίδοται, τοῦ πυρὸς οἷον καταπνιγομένου. οὕτως κἀπὶ τῶν ἀμφημερινῶν ἐστιν ἰδεῖν τὴν θερμασίαν τοιαύτην ὑπάρχουσαν, ὑπὸ τῆς πολλῆς ὑγρότητος οἷον καταβαπτιζομένου τοῦ ἐμφύτου θερμοῦ.

Ἀλλὰ καὶ οἱ σφυγμοὶ τούτοις μικρότεροι τῶν ἐν τεταρταίοις εἰσὶ πλέον ἢ ἐκεῖνοι. —

Ὃ βούλεται εἰπεῖν, τοῦτό ἐστιν, ὅτι οἱ μὲν τεταρταῖοι μικρότερον ἔχουσι τὸν σφυγμὸν τῶν τριταίων, οἱ δὲ ἀμφημερινοὶ τῶν τεταρταίων, 1) [ἢ πως οἱ τεταρταῖοι τῶν τριταίων]. ὑποκείσθω γάρ, εἰ τύχει, δύο δακτύλοις εἶναι τὸν σφυγμὸν ἐπὶ τῶν τεταρταίων μικρότερον τοῦ ἐπὶ τῶν τριταίων, εὑρεθήσεται ὁ 2) τοῦ ἀμφημερινοῦ τοῦ ἐπὶ τῶν τεταρταίων μικρότερος, οὐ δύο μόνοις, ἀλλὰ τρισὶν ἢ τέτρασι δακτύλοις, ὥστε καὶ ἐκ τούτων συνάγεσθαι τὸν τῶν ἀμφημερινῶν σφυγμὸν μικρότερον εἶναι τοῦ τῶν 3) τεταρταίων, *.... εἰ καὶ ψυχρός ἐστιν ὁ χυμὸς καὶ γεώδης, ἀλλ' οὐ πολὺς, ὥστε καταλῦσαι τὴν δύναμιν. ἐπὶ δὲ τῶν ἀμφημερινῶν, ἐπειδὴ καὶ ψυχρός ἐστι καὶ ὑγρὸς, καὶ μέντοι καὶ πολὺς τῷ τε ποσῷ καὶ τῷ ποιῷ καταβαπτίζων αὐτὴν, ἐξ ἀνάγκης μικρότερον ποιεῖ τὸν σφυγμόν.

Ἀραιότεροι δ' αὖ πάλιν οἱ ἐν τοῖς ἀμφημερινοῖς τῶν ἐν τριταίοις. —

Ἀσαφῶς ἑρμηνεύεται τὸ χωρίον. ἡμεῖς δὲ αὐτὸ σαφηνίσομεν. ἀραιὸς μὲν γάρ ἐστιν ὁ σφυγμὸς ἐπί τε τῶν ἀμφημερινῶν καὶ τῶν τεταρταίων, ὡς πρὸς τριταῖον παραβαλλόμενος. ἀλλὰ πολλῷ μὲν μᾶλλόν ἐστιν ἀραιότερος ὁ τῶν τεταρταίων, ὀλίγον δὲ ὁ τῶν ἀμφημερινῶν. δύο γάρ, εἰ τύχει, δακτύλοις τοῦ ἀμφημερινοῦ ἀραιοτέρου ὄντος τοῦ τῶν τριταίων, ὡς ἐπὶ τῶν τεταρταίων ἐστὶ δύο δακτύλοις καὶ αὖθις ἀραιότερος τοῦ τῶν ἀμφημερινῶν, ὡς πάλιν συνάγεσθαι τὸν τῶν τεταρταίων σφυγμὸν ἀραι-

1) Om. G. 2) τὸν ἀμφημερινὸν A. 3) τριταίων G. quinque profecto vel sex digitis. et hoc merito. add. G.

ότερον εἶναι τοῦ τῶν τριταίων κατὰ τὴν παροῦσαν ὑπόθεσιν τέτρασι δακτύλοις. ἄμεινον δ' ἂν εἴη προσθεῖναι καὶ τὴν αἰτίαν. ἐπειδὴ γὰρ οἱ τεταρταῖοι τῶν ἀμφημερινῶν μείζονα τὸν σφυγμὸν ἔχουσι, διὰ τοῦτο ἡ φύσις ἀρκεσθεῖσα τῷ εἰσενεχθέντι ἀέρι, ὑπὸ τοῦ μεγέθους τῆς διαστοτῆς ἀραιότερον ἐποίησε τὸν σφυγμόν. ἐπὶ δὲ τῶν ἀμφημερινῶν, * 1) ὃ καὶ κατὰ τὸ μέγεθος καὶ πυκνότητα οἱ μὲν τεταρταῖοι τῶν ἀμφημερινῶν μείζονα μὲν τὸν σφυγμὸν ἔχουσιν, 2) ἀραιότερον δὲ, οἱ δ' ἀμφημερινοὶ τῶν τεταρταίων 3) μικρότερον μὲν, πυκνότερον δὲ τοσοῦτον, ὅσον τοῦτόν φησιν οἱ τῶν τεταρταίων, ἀλλὰ τῶν ἀμφημερινῶν· ἡ δὲ βραδύτης ἐπὶ ἀμφοτέρων ἐστὶν ἡ αὐτή.

Ἧττον δὲ διψώδης ὁ πυρετὸς οὗτος. —

Ὁ μὲν τριταῖος σφοδρὸν ἔχει τὸ δίψος, ἐπειδὴ τὰς δύο ποιότητας ἐκέκτητο τὰς συμβαλλομένας εἰς τὸ τοιοῦτον σύμπτωμα, θερμότητός φημι καὶ ξηρότητος. δεύτερος δὲ μετ' ἐκεῖνον ἐστὶ διψώδης ὁ τεταρταῖος, ἐπειδὴ καὶ ἡ ξηρότης αὐχμὸν ἐμποιοῦσα δίψαν οἶδ' ἐπάγειν, ὁ δὲ φλεγματικὸς οὐδὲν τοιοῦτον ἐκτήσατο σύμπτωμα.

Καὶ ἡ γλῶσσα καὶ τὸ σύμπαν σῶμα ξηρότατον μὲν ἐν τριταίοις, ὑγρότατον δ' ἐν τούτοις ἐστὶ τοῖς πυρετοῖς. —

Ἐπὶ τῶν ἀμφημερινῶν ἥ τε γλῶττα καὶ ὅλον τὸ σῶμά ἐστιν ὑγρότερα διὰ δύο αἰτίας, ὅτι τε πολὺ φλέγμα ἐκ τῶν προηγησαμένων ἁπάντων ἐπὶ τούτων πλεονάζει, καὶ ὅτι τοῦτο ὑπὸ τῆς τοῦ πυρετοῦ θερμασίας 4) χεόμενον, ὅτι μάλιστα οἱ σμικρότεροι, ἐπὶ τῆς παιδικῆς ἡλικίας καὶ τῆς γεροντικῆς ὀφείλει ὁ τοιοῦτος μάλιστα γίνεσθαι πυρετός· ἀλλ' ἐπὶ μὲν τῆς γεροντικῆς, ἐπειδὴ τὸ φλέγμα ἀθροίζεται ἐν 5) αὐτῇ διὰ τὰς συνεχεῖς ἀπεψίας ὑπὸ τῆς ἀσθενοῦς γινομένης δυνάμεως· ἐπὶ δὲ τῆς παιδικῆς,

---

1) G. addi vult: τοὔμπαλιν, ὥστ' ὅσον καὶ etc. 2) ἀραιότεροι A. δ' add. G. 3) μικρότεροι — πυκνότεροι A. G. τὸ δὲ τοσοῦτον ὅσον τούτων, φησὶν, οὐ τῶν τριταίων. G. Totus locus in codd. graec. valde est corruptus. 4) Verba male inter se cohaerent. Locus subaeratus. 5) τῇ A.

εἰ καὶ θερμοτέρα ἡ φύσις ἐστὶ καὶ ὑγροτέρα, ἀλλ᾽ οὖν διὰ τὴν ἀδδηφαγίαν συνάγεται αὐτῇ ὠμότερα περιττώματα, ἐφ᾽ οἷς σηπομένοις ὁ ἀμφημερινὸς γίνεται.

*Καὶ λουτροῖς συνεχέσι καὶ μάλιστα τοῖς ἐπὶ τροφῇ.* —

Τὰ γὰρ μετὰ τὴν τροφὴν βαλανεῖα, τὰ μὲν κατὰ τὴν ἐπιφάνειαν διαφορεῖ περιττώματα, τὸ δὲ ἐν τῇ γαστρὶ καὶ ἥπατι, κατέργαστον 1) αἴτιον ὄν, ἕλκει, τῆς τοῦ λουτροῦ θερμασίας τῷ τάχει τῆς ἀναδόσεως συντελούσης, κἀντεῦθεν ἡ τῶν 2) * ἡμῶν αὐτῶν γίνεται γένεσις. ἀμέλει τοι καὶ διὰ ταύτην τὴν αἰτίαν ἡμεῖς ἐπὶ τῶν ἔργων τῆς τέχνης, εἴ τινα βουληθείημεν ὑγραίνειν, μᾶλλον αὐτῷ τὰ ἑσπερινὰ λουτρὰ ἐπιτάττομεν.

*Οὐ μὴν οὐδὲ παύουσι τὰς παρακμὰς τούτων τῶν πυρετῶν οἱ ἱδρῶτες.* —

Ἐπὶ μὲν τῶν ἀμφημερινῶν, ἐπειδὴ πλῆθός ἐστι ἐν τῷ βάθει πολὺ τῆς σηπεδονώδους ὕλης, ἔστι δὲ καὶ κολλώδης ὁ τοιοῦτος χυμὸς, ἱδρῶτες μὲν οὐ γίνονται· μένοντα δὲ ἐν τῷ βάθει τὰ περιττώματα, τὸν δεύτερον αὖθις ἀνάπτει παροξυσμὸν, ὅθεν οὐκ ἔστιν ἐπ᾽ αὐτῶν εὑρεῖν καθαρὸν διάλειμμα, οἷον ἐπὶ τριταίων τε καὶ τεταρταίων ὁρᾶται γινόμενον, ἐφ᾽ ὧν ἱδρὼς πολὺς γεγονὼς τὸν ἤδη γεγονότα παροξυσμὸν ἔλυσεν.

*Ὅθεν οὐδ᾽ εἰς ἀπυρεξίαν ἔρχονται σαφῆ, πλὴν ὀλίγων δή τινων.* —

Ἐφ᾽ ὧν γάρ ἐστι τὸ φλέγμα ὀλίγον καὶ οὐδὲ παχὺ πάνυ, ἔστι δὲ καὶ 3) οὐ τοῦ σώματος ἕξις ἀραιοτέρα, ἐπὶ τούτων συμβαίνει καὶ ἱδρῶτας γενέσθαι καὶ καθαρὸν διάλειμμα. ὃ δὲ ἡμεῖς ἐν τοῖς τῆς τέχνης ἔργοις ἑωράκαμεν, 4) εἰπεῖν εἰρημένον ἤδη καὶ τοῖς παλαιοτέροις, ἐπ᾽ αὐτῶν δὲ καὶ κατὰ τὸ σπάνιον ὅτι γίνεται πολλάκις ἀμφημερινὸς πυρετὸς ἐπὶ φλέγματι σηπομένῳ ἢ κατὰ τὴν γαστέρα ἢ κατὰ τὰ ἔντερα. καὶ παύεται ὁ τοιοῦτος

---

1) Fort. ἔτι. adhuc. G. 2) χυμῶν ὠμῶν G. succorum crudorum. 3) οὐ] Fort. ἡ. 4) Fort. add. δεῖ.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 300 sur 382

ἐντὸς τετάρτης ἢ πέμπτης ἡμέρας, κλυσμάτων μόνον κενωσάντων τὸ τοιούτου πυρετοῦ αἴτιον.

Τὰ δὲ οὖρα τὰ μὲν ἐπὶ προήκουσιν αὐτοῖς γιγνόμενα τοὺς καιροὺς τῆς ὅλης νόσου διδάσκει. —

Ἀνωτέρω ἔλεγεν, ὅτι μέγιστά ἐστι σημεῖα πυρετῶν οἵ τε σφυγμοὶ καὶ τὰ οὖρα. ἔν τε τῇ σημειώσει τῶν τριταίων καὶ τῶν τεταρταίων καὶ τῶν ἀμφημερινῶν οὐδαμοῦ τὴν ἀπὸ τῶν οὔρων παρείληφε διάγνωσιν. ἐνταῦθα γοῦν αὐτὴν ταύτην τάττει καὶ φησιν, ὅτι ταῦτα μὲν δύναται ἐνδείκνυσθαι καὶ τὸν τῆς καθόλου νόσου καιρὸν, οὐ μὴν ἀλλὰ τὸ εἶδος τοῦ πυρετοῦ· πλείονα μὲν ἄπεπτα 1) [εἰ] εἴη παντελῶς, τὴν ἀρχὴν ἐμφαίνει τοῦ νοσήματος· εἰ δὲ ἀμυδρὸν ἔχει πέψεως σημεῖον, τὴν ἀνάβασιν. εἰ δὲ ὑπόστασιν ἔχει λευκήν τε καὶ λεῖαν καὶ ὁμαλὴν, τὴν ἀκμήν. εἰ δὲ 2) τελειότητα ἔχει πέψεως, τὴν παρακμήν. ἀλλὰ ταύτην μὲν προϊόντος τοῦ χρόνου ἔστιν ἰδεῖν. κατὰ τὴν πρώτην ἡμέραν εὐθὺς φαινόμενα δείκνυσιν ἡμῖν, ὁποῖός τίς ἐστιν ὁ προκείμενος πυρετός.

Τοῖς μὲν ἀμφημερινοῖς ἢ λεπτὰ καὶ λευκὰ ἢ παχέα καὶ θολερά. —

Λευκὰ μὲν καὶ λεπτὰ φαίνεται τὰ οὖρα διὰ τὰς ἐμφράξεις, ἐπειδὴ τὸ παχύτερον, μὴ δυνάμενον δι᾽ οὔρων κενοῦσθαι, μόνῳ τῷ ὑδατώδει συγχωρεῖ διηθεῖσθαι. καὶ ἔστι τὰ τοιαῦτα οὖρα λεπτὰ μὲν διὰ τὴν ἔμφραξιν, λευκὰ δὲ διὰ τὸ τοῦ ὀῤῥώδους χυμοῦ χρῶμα. ἀεὶ δὲ ἡ δύναμις, ἐπικειμένη ταῖς ἐμφράξεσιν, ἐκφράξει τινὰ ἀγγεῖα, καὶ συνεκκρίνεται καί τινα τῶν παχέων ὑγρῶν τοῖς οὔροις, κἀντεῦθεν θολερὰ φαίνονται τὰ οὖρα καὶ παχέα, ἀλλὰ μὴν καὶ ἐρυθρά. τὸ γὰρ παχὺ τοῦτο ἐμπεφραγμένον πάντως ἐκκέκαυται ὑπὸ τῆς ἐν αὐτῷ γινομένης σήψεως.

Τοῖς δὲ τριταίοις ἢ πυῤῥὰ ἢ 3) ὑπόξανθα. —

Ἐπὶ δὲ τῶν τριταίων τὰ οὖρά ἐστι ξανθά τε καὶ ὑπόπυῤῥα, τῷ τοῦ ξανθοχολικοῦ χρώματι σύμφωνα.

---

1) εἰ addendum. 2) τελειότατα A. 3) ὑπόπυῤῥα Galen.

**Τοῖς δὲ τεταρταίοις πολυειδῆ μὲν, ἀλλ' ἄπεπτα πάντα.—**

Ἐπὶ δὲ τῶν τεταρταίων ἄλλοτε μὲν ἄλλα ἔστιν εὑρεῖν, ἐπειδὴ ὁ τεταρταῖος αὐτὸς ἐκ διαφόρων ἔχει χυμῶν τὴν γένεσιν, ἢ τοῦ τρυγώδους αἵματος, ὡς εἰρήκαμεν, ἢ τῆς ξανθῆς χολῆς ὑπεροπτωμένης. ὁποῖα δ' ἂν εἴη τὰ οὖρα, πάντως ἄπεπτά ἐστι. παραχρῆμα γὰρ ὁ χυμὸς οὐκ ἂν 1) ἥξοι ἐν τῇ ἀλλοιωτικῇ δυνάμει, παχύς τε ὢν καὶ δυσαλλοίωτος.

**Τοὺς συνεχεῖς δ' ἂν γνωρίζοις μάλιστα μὲν ἐκ τοῦ μηδὲν αὐτοῖς παρεῖναι σημεῖον, ὧν εἴπομεν. —**

Παραδεδωκὼς τὴν τῶν διαλειπόντων πυρετῶν διάγνωσιν, βούλεται λοιπὸν καὶ τὴν τῶν συνεχῶν παραδοῦναι. ῥᾷστον μὲν οὖν αὐτοὺς γνωρίσαι, τῷ μηδὲν αὐτοῖς παρεῖναι τῶν σημείων, ἃ τοῖς διαλείπουσιν ἀκολουθεῖ. ταῦτα δέ ἐστι ῥῖγος, ἱδρῶτες, διάλειμμα καθαρόν. τούτων μὲν οὐδὲν τοῖς συνεχέσι πυρετοῖς ἐστιν εὑρεῖν συντρέχον, ὅμως καὶ διὰ σημείων ἄλλων τινῶν ἐνδέχεται τὴν τούτων φύσιν λαβεῖν, πρὸς τὸ μηδὲ τὸ μέγεθος αὐτῶν ἀνεπίσκεπτον καταλιπεῖν.

**Καὶ εἰ μὴ παύοιτο δὲ τῶν τεττάρων καὶ εἴκοσιν ὡρῶν ἐντὸς ὁ πυρετός. —**

Χρὴ γινώσκειν, ὁ μὲν τριταῖος οὐδέποτε τῶν δύο καὶ δέκα ὡρῶν ἔξω παρατείνει τὸν μερικὸν παροξυσμὸν, ὁ δὲ ἀμφημερινὸς τῶν ἑκκαίδεκα, ὁ δὲ τεταρταῖος τῶν εἰκοσιτεσσάρων. ταῦτα λέγομεν ἐπὶ τῶν γνησίων, ἐπεὶ πολλάκις ἐστὶν εὑρεῖν νόθον τριταῖον, καὶ τὴν εἰκοστὴν τετάρτην ὥραν ὑπερβαίνοντα· ἀλλ' ἐπὶ τῶν γνησίων ἡμῖν ὁ λόγος γενέσθω. τούτων γὰρ ἐγνωσμένων, οὐδέν ἐστι χαλεπὸν καὶ τοὺς μὴ τοιούτους διαγινώσκειν. εἰ τοίνυν ὑπερβαίνει τὰς εἴκοσι τέσσαρας ὥρας κατέχων, πρὸς τῷ μηδὲν τῶν εἰρημένων ὑπάρχειν τοῖς διαλείπουσι παρεῖναι, 2) ἴσθι τὸν τοιοῦτον μὴ εἶναι διαλείποντα, ἀλλὰ συνεχῆ.

---

1) ἥξει A. 2) ἴσα A. scito G.

*Εἰ δὲ καὶ ἀνώμαλον ποιήσαιτο τὴν αὔξησιν, οὗτος μέν γε καὶ πρὸς τοῖς ἄλλοις. —*

Τοῦτο τὸ σημεῖον οὐχ ἁπλῶς συνεχῶν ἐστι γνώρισμα, ἀλλ' ὅτι ἐπὶ 1) πολὺν ἐκτανθήσεται χρόνον τὸ νόσημα. τὰ γὰρ τῆς αὐξήσεως τῶν τοιούτων πυρετῶν ἀνώμαλα, ἐπὶ χυμοῖς φιλεῖ διαφόροις καὶ ποικίλοις γίγνεσθαι, ἐφ' ὧν πλείονα χρόνον ἡ φύσις δηλονότι χρῆται εἰς ἀκριβῆ πέψιν τε καὶ κατεργασίαν.

*Καὶ μὲν δὴ καὶ εἰ τὸ ἴδιον τῶν πυρετῶν σημεῖον ἐν τοῖς σφυγμοῖς ἐναργὲς ἔχοιεν. —*

Τοῦτό φησιν οὐχ ὡς τῶν διαλειπόντων ἐστερημένων τῆς πυρεκτικῆς ἀνωμαλίας, ἀλλ' ὅτι ἐπὶ τούτων μάλιστα φαίνεται, διὰ τὸ μηδὲ διαπνεῖσθαι καθ' ἑκάστην ἡμέραν τὰ τοῦ παροξυσμοῦ αἴτια, ἀλλ' ἔνδον ἐν τῷ βάθει κεκρυμμένα ἐνοχλεῖν τε καὶ καταλύειν τὴν δύναμιν. ἀμέλει τοι καὶ πλείων ἐπὶ τούτων ὡσαύτως, φησὶ, 2) γίνεται ἀταξία τε καὶ ἀνωμαλία καὶ ἀρυθμία, 3) ἐπιδεικνύμενα δῆλον ὅτι συνεχὴς ὁ πυρετὸς, ἀλλὰ καὶ ὅτι μέγεθος ἀξιόλογον ἔχει.

*Εἰ δὲ καὶ τοιοῦτοι μείναντες ἐν τῇ τρίτῃ τῶν ἡμερῶν. —*

Τοῦτο τὸ σημεῖον οὐκέτι καθόλου πάντων ἐστὶ συνεχῶν γνώρισμα πυρετῶν, ἀλλὰ μόνον τῶν καύσων καὶ τούτων τῶν χρονίων. εἰ γὰρ ἐπὶ τούτων, διὰ τρίτης ἐπιπαροξυνόντων, πέψεως σημεῖον μήπω φανῇ, τὸν τοιοῦτον ἀνάγκη πυρετὸν εἰς χρόνου μῆκος ἐκταθῆναι.

*Εἰ δὲ καὶ ἡ τετάρτη τῶν ἡμερῶν ὁμοία φαίνοιτο τῇ τρίτῃ. —*

Ὁμοίαν φησὶν εἶναι τὴν τρίτην τῇ [τε] τετάρτῃ, οὐ κατὰ μέγεθος τοῦ παροξυσμοῦ. τοῦτο γὰρ ἐπὶ τῶν καύσων οὐ γίνεται, ἀλλὰ μᾶλλον ἡ πέμπτη τῆς τρίτης ἐστὶν ὁμοία, ὥστε οὐ κατὰ τὸν παροξυσμὸν τοῦτό φησιν, ἀλλὰ

---

1) *πολὺ* A. 2) *γίνεσθαι* A. 3) *ἐπιτεινομένων* ex emendat. A. *ἐπιδεικομ. δὲ. δηλονότι*] *οὐ μόνον* G.

καὶ κατὰ τὴν ἐν τοῖς διαχωρήμασί τε καὶ τοῖς οὔροις 1) ἀπεψίαν.

Καὶ ὁ πυρετὸς οἷον σμυχόμενος εἴη. —

Τουτέστι περὶ τὸ βάθος ἔχων, οὐδὲ ῥᾳδίως ὡς ἐκλάμπειν δυνάμενος περὶ τὴν ἐπιφάνειαν. τοῦτο δὲ γίνεται ὑπὸ τῆς τοῦ φλέγματος ἐπιμιξίας, ψυχροῦ τὴν φύσιν ὑπάρχοντος καὶ δυσεξάπτου καὶ μᾶλλον 2) ὑποτυφωμένου. διὸ καὶ χρόνιόν ἐστι δεομένης τῆς τοῦ χυμοῦ τοῦ τοιούτου παχύτητος πλειόνων ἡμερῶν 3) εἰς πέψιν.

Καὶ τὸ πρόσωπον ἥ τε σύμπασα τοῦ σώματος ἕξις. —

Καὶ τοῦτο γνώρισμα πλήθους ἐστὶ χυμῶν, καὶ πολυχρονίου πυρετοῦ σημεῖον. γίνεται δὲ ἐπὶ τούτων τὸ ὅλον σῶμα οὐκ ἰσχνὸν πρὸς τὴν τοῦ πυρετοῦ ἀναλογίαν, ἀλλὰ μᾶλλον ὀγκώμενον, τῷ τοὺς πάλαι οἷον πεπηγότας χυμοὺς νῦν ὑπὸ τῆς τοῦ πυρετοῦ θερμασίας χεομένους καὶ ἀναλυομένους εἰς πνεύματα πλείονα τόπον ἐπιλαμβάνειν καὶ τὸ ὅλον διαιρεῖν σῶμα.

Ἐν μὲν οὖν τοῖς διαλείπουσιν ὀξύτατός τε ἅμα καὶ ἐπιεικέστατος ὁ τριταῖος. —

Ὀξύτατος μέν ἐστιν ὁ τοιοῦτος πυρετὸς διὰ τὴν λεπτομέρειαν τῆς ἐργαζομένης αὐτὸν ὕλης, ἑτοιμότατα δυναμένης πεφθῆναι καὶ λεπτυνθῆναι· ὅτι δὲ ὀξύτατος, καὶ ἐπιεικέστατός ἐστιν· οὐδὲ γὰρ φθάνει καταλῦσαι τὴν δύναμιν αὐτῆς, θᾶττον ἀφιστάμενος, ἄλλως τε καὶ ὡς πολλάκις εἰρήκαμεν κουφότατος ὤν, οὐ βαρύνει αὐτήν.

Μακρότατος δὲ καὶ ἀκίνδυνος ὅσον ἐφ᾽ ἑαυτῷ ὁ τεταρταῖος. —

Μακρότατος δὲ διὰ τὸ πάχος τοῦ μελαγχολικοῦ χυμοῦ, πλείονος εἰς πέψιν δεομένου χρόνου· ἀκίνδυνον δὲ διὰ τὸ μῆκος τὸ τῶν διαλειμμάτων. μίαν γὰρ ἡμέραν ἐν τῷ πυρετῷ καμοῦσα ἡ φύσις, τὰς λοιπὰς δύο ἀναπαύει

1) εὐπεψίαν A. 2) ὑποτυφώμενα et postea ὀγκώμενα saepius. 3) ἡ πέψις A.

τε καὶ τὸν οἰκεῖον ἀνακτᾶται τόνον. καλῶς δὲ προσέθηκε τῇ λέξει τὸ, ὅσον ἐφ᾽ ἑαυτῷ. συμβαίνει γὰρ ἐνίοτε 1) τὸν χρόνον ἀποκαμεῖν τὴν δύναμιν· ἄλλως τε ἐν τοῖς χρονίοις νοσήμασιν ὡς τὰ πολλὰ οἱ κάμνοντες πλημελοῦσι περὶ τὴν δίαιταν, 2) ἀπολιγωρήσαντες πρὸς τὴν ὑπὸ ἰατρῶν ἐπιταττομένην αὐτοῖς ἀκρίβειαν. κἀκ τῆς τοιαύτης πλημελείας εἰκός ἐστι κίνδυνον οὐ σμικρὸν ἀκολουθῆσαι, οἷον οὐκ ἂν λέγοιτο γίνεσθαι κατὰ τοῦ τεταρταίου φύσιν, ἀλλὰ κατά τι τῶν ἔξωθεν αὐτῷ κατὰ τύχην συμβεβηκότων.

*Ὁ δὲ ἀμφημερινὸς μακρὸς καὶ οὐκ ἀκίνδυνος. —*

Εἰκότως μακρὸς μέν ἐστιν, ὅτι καὶ τὸ φλέγμα παχὺ καὶ δυσδιαφόρητον ἐφ᾽ ᾧ γίνεται, οὐκ ἀκίνδυνον δὲ, ὅτι, τῆς συνεχείας τῶν παροξυσμῶν μηδεμίαν ἡμέραν τελείαν διδούσης ἀνάπαυσιν τῇ δυνάμει, κίνδυνον ἀπειλεῖ φθορᾶς. καθ᾽ ἑκάστην γὰρ ὁ τοιοῦτος εἰσβάλλων ἀνακωχὴν ἀρκοῦσαν οὐ παρέχει 3) τὴν φύσιν, ἀλλὰ καὶ ὅτι τὸ στόμα τῆς γαστρὸς ἐπὶ τούτων πεπονθὸς, συνεχεῖς ἀπειλεῖ συγκοπάς. εἰ δὲ πρὸς τοῖς εἰρημένοις οὐδὲ παύεται ταχέως, ἀλλὰ εἰς χρόνου μῆκος ἐκτείνεται, εἰκότως ἐξ ἁπάντων τούτων ἔχει τὸ ἐπικίνδυνον.

*Τοῦτο μὲν δὴ κοινὸν ἁπάντων ἐστὶ πυρετῶν. —*

Φησὶ δ᾽ ἁπάντων τῶν πυρετῶν τόδ᾽ εἶναι τὸ λεπτότατον τῆς διαίτης εἰς τὸν τῆς ἀκμῆς ἀποτίθεσθαι χρόνον.

*Οὐδὲν γὰρ χεῖρον ἐντεῦθεν ἄρξασθαι, διοριξέσθω σοι κατ᾽ ἀρχάς. —*

Τὴν διαίρεσιν ἀνωτέρω εἰρήκαμεν, ὅτι τῶν πυρετῶν οἱ μὲν ἐπὶ πνεύμασιν, οἱ δὲ ἐπὶ ὑγροῖς, οἱ δὲ ἐπὶ στερεοῖς, καὶ τῶν ἐπὶ χυμοῖς, οἱ μὲν χωρὶς συμπτωμάτων, οἱ δὲ μετὰ συμπτωμάτων, καὶ τούτων οἱ μὲν συνεχεῖς, οἱ δὲ διαλείποντες, νῦν ὕστερόν τι βούλεται προσθεὶς τελειοτάτην αὐτὴν ποιήσασθαι. ὥσπερ γὰρ οὐδὲν τῶν ὄντων ἐκφεύγει τὴν τοῦ νοθεύεσθαι φύσιν, κατ᾽ εἶδος λέγω·

---

1) Fort. τῷ χρόνῳ. 2) ἀποολιρήσαντες A. 3) Fort. τῇ φύσει.

κἂν γὰρ μὴ πάντα τὰ κατὰ μέρος νοθεύηται, ἀλλ' οὖν οὐκ ἐνδέχεται πάντως τὸ εἶδος μὴ εὑρεθῆναί τι νοθευόμενον. οὕτως εἰ τύχει δύο ἐναντίων ὄντων τοῦ τε λευκοῦ καὶ τοῦ μέλανος, ἑκάτερον νοθεύεται τῇ τοῦ ἑτέρου ἐπιμιξίᾳ καὶ ἔστιν εὑρεῖν ἀκριβὲς λευκὸν, καὶ ἕτερον λευκὸν, οὐκ ἀκριβὲς δὲ, τῷ μεμίχθαι αὐτῷ μοῖράν τινα τοῦ μέλανος μετρίαν, ἥτις διὰ βραχύτητα λανθάνει τὴν αἴσθησιν. οὕτω δὴ κἀπὶ τῶν ἄλλων ἁπάντων ἔχει. ὥσπερ οὖν ἐπὶ τούτων εἰρήκαμεν, οὕτω κἀν τοῖς πυρετοῖς ὁρᾶται γινόμενον. ἀκριβεῖς μὲν γὰρ λέγονται καὶ γνήσιοι πυρετοὶ καὶ ἀμιγεῖς. ὅσοι δέ τινα οὐσίαν ἔχουσιν ἀλλοιοτέραν ἐπιμεμιγμένην, οὗτοι νόθοι εἰσί. καὶ χρὴ διὰ πολλοῦ πεποιῆσθαι τὴν τούτων διάγνωσιν, εἰδότας ὅτι τὸ τῆς θεραπείας διάφορον οὐκ ἔστιν ὀλίγον.

Ὁ μὲν γὰρ ἀκριβὴς τριταῖος τὸ μακρότατον ἐν ἑπτὰ περιόδοις κρίνεται. —

Τοῦτο διέταξεν Ἱπποκράτης. οὕτως ἡ τῶν πραγμάτων ἔχει ἀλήθεια. τῶν γὰρ ἀκριβῶς τριταίων ἔσχατος ὅρος ἐστὶν ἡ τεσσαρεσκαιδεκάτη ἡμέρα. καὶ ἐσωτέρω μὲν ταύτης ἐνδέχεται κριθῆναι τὸν τριταῖον, ἐξωτέρω δὲ προβαίνειν ἀδύνατον 1) ἀκριβὲς καὶ γνήσιον. ὅτι δὲ ἡ τῶν ἑπτὰ περιόδων συνδρομὴ τεσσαρεσκαίδεκα μόνας ἡμέρας ἀποτελεῖ, ἔξεστι γνῶναι λογισαμένῳ τὰς περιόδους. ἔστι γὰρ ἡ μὲν πρώτη περίοδος τρίτη τῶν ἡμερῶν· ἡ δὲ δευτέρα, πέμπτη· ἡ δὲ τρίτη, ἑβδόμη· ἡ δὲ τετάρτη, ἡ ἐννάτη· ἡ δὲ πέμπτη, ἡ ἑνδεκάτη· ἡ δὲ ἕκτη, ἡ τρισκαιδεκάτη, καὶ παρέσται ἡ τεσσαρεσκαιδεκάτη, τὸ λοιπὸν τῆς ἑβδόμης οὖσα περιόδου.

Σπλήν τε μέγιστος ἐξήρθη καὶ ὑποχόνδριον διεφυσᾶτο.—

Τοῦτο συνέβαινε γίνεσθαι διὰ τὰς συνεχεῖς ἀπεψίας, ἐξ ὧν ὁσημέραι τικτομένου φλέγματος, καὶ εἰς πνεύματα ἀναλυομένου παχέα, ὅ τε σπλὴν ηὔξετο καὶ τὸ ὅλον δὲ σῶμα τοιοῦτον ἦν.

Καί τις ἤδη καὶ ὕποιδος ἦν ἄχροια περί τε τὸ πρόσωπον καὶ οὐχ ἥκιστα τοῖς σκέλεσιν. —

---

1) Fort. ἀκριβῆ sc. τριταῖον.

Ἄχροια μὲν, διὰ τὸ μηκέτι τὸν αἱματικὸν ἐπανθεῖν χυμὸν, βαπτομένου τοῦ χρώματος αὐτῶν ὑπὸ τῆς τοῦ φλέγματος ἐπιμιξίας· ὕποιδος δὲ, διὰ τὴν τῶν φυσωδῶν καὶ παχέων πνευμάτων περιουσίαν, ἅπερ ἐγένετο μὲν καὶ κατὰ τὸ σύμπαν σῶμα, μάλιστα δὲ διεφαίνετο περί τε τὸ πρόσωπον καὶ τὰ σκέλη, ἀλλὰ περὶ μὲν τὸ πρόσωπον, διὰ τὸ τοῦ μορίου ἀσαρκότερον· περὶ δὲ τὰ σκέλη, τινὲς μὲν ἐπεχείρησαν εἰπεῖν, ὅτι συγγένειαν ἔχουσι ταῦτα πρὸς τὰ ὑποχόνδρια, ὡς δηλοῖ 1) τῶν ἐπὶ τῶν ὑδερικῶν παρεγχύσεων ταῦτα οἰδίσκεσθαι. κἀνταῦθα τοίνυν φασὶ, τῶν ὑποχονδρίων διαφυσωμένων, οἰδαίνει. ἡμεῖς δὲ λέγομεν, ὅτι τὰ σκέλη ὡς ἀτιμότερα ὄντα καὶ πόῤῥω τοῦ ἐμφύτου τὴν θέσιν ἔχοντα τὰς ἑαυτῶν δυνάμεις οὐ πάνυ τι ἐῤῥωμένας ἔχει. καὶ συμβαίνει μὲν τηνικαῦτα τὸ ὅλον σῶμα πάσχειν, ἐξαιρέτως ταῦτα, διὰ τὴν φυσικὴν αὐτῶν ἀσθένειαν, ὡς καὶ τὸ λόγῳ τροφῆς εἰς αὐτὰ φερόμενον 2) ἀναπτεῖσθαί τε καὶ εἰς πνεύματα μεταβαλλόμενον καὶ ἐξαίρει αὐτά. ἀλλά τινες ζητοῦσι, τί δήποτε μὴ κἀπὶ τῶν χειρῶν τὸ αὐτὸ τοῦτο συμβαίνει, εἴ γε καὶ αὗται τοῖς σκέλεσίν εἰσιν ὁμογενεῖς. κῶλα γάρ εἰσιν οἵ τε πόδες καὶ χεῖρες. καὶ λέγομεν ὅτι αἱ χεῖρες ὡς γειτνιάζουσαι τῇ καρδίᾳ, θερμαίνονται ὑπ' αὐτῆς, καὶ διὰ τοῦτο τὸ τοιοῦτον οὐχ ὑπομένουσι σύμπτωμα.

Ὥστε δεῖσαί τε ἡμᾶς ἀμφὶ τῷ μειρακίῳ καὶ δεηθῆναι μειζόνων βοηθημάτων. —

Ἐφοβήθημέν φησιν ἐπὶ τοῦ τοιοῦτον πυρέξαντος πυρετὸν, μήπως εἰς ὕδερον αὐτῷ μεταπέσῃ τὸ πάθος, τῆς τοῦ παντὸς κράσεως σώματος αὐτῷ καταψυχομένης, καὶ τῆς δυνάμεως ὑπὸ τοῦ μήκους τοῦ πυρετοῦ καταβαλλομένης.

Ἦν μὲν δὴ τοῦ ἔτους τὸ μεταξὺ Πλειάδων τε δύσεως καὶ τῆς προγεγενημένης ἰσημερίας. —

Ἐνταῦθα εἰς μέσον φέρει τὴν τοῦ μειρακίου διήγησιν τοῦ τὸν νόθον τριταῖον πυρέξαντος, ἵνα δι' αὐτοῦ τό τε

1) Fort. τό. 2) ut inconcoctum relinquetur G. ἀπεπτεῖσθαι.

πρᾶγμα διδάξῃ, καὶ τὴν διδασκαλίαν σαφεστέραν ποιήσηται. χρὴ εἰδέναι ὅτι ἰσημερίαι εἰσὶ δύο, ἡ μὲν κατὰ τὸ ἔαρ, ἡ δὲ κατὰ τὸ φθινόπωρον γινομένη. ἐνταῦθα τοίνυν κατὰ τὸ φθινόπωρον γεγενημένην φησὶ, προγεγενημένην δὲ αὐτὴν εἶπεν ὡς πρὸς τὴν τῶν πλειάδων δύσιν. ἀλλ᾽ ἵνα μὴ εἰς μακρὸν ἐκτρεπώμεθα λόγον, ζητοῦντες, τί μέν εἰσι πλειάδες, ποία δὲ αὐτῶν ἡ δύσις, ποία δὲ ἀνατολὴ, καὶ ταύτῃ τοὺς ἀκροωμένους συγχέωμεν, τοσοῦτον εἰπόντες μεταβῶμεν ἐπὶ τὸ προκείμενον, ὅτι ὁ πυρετὸς οὗτος ἤρξατο περὶ τὰ μέσα τοῦ φθινοπώρου, ὥστε τέως ἀπὸ τῆς ὥρας τοῦ ἔτους νοθεύεσθαι. ἔδει γὰρ αὐτὸν, εἴπερ ἔμελλεν εἶναι γνήσιος, ἐν θέρει πεποιῆσθαι τὴν ἀρχήν.

*Ἤρξατο δὲ μετὰ φρίκης ὁ πυρετὸς τῷ μειρακίῳ.* —

Καὶ τοῦτο σημεῖον τοῦ νόθον εἶναι τὸν τριταῖον, τοῖς μὲν ἀκριβέσι τριταίοις ῥίγους ἰσχυροῦ συνόντος ἀεὶ, τοῖς δὲ ἀμφημερινοῖς περιψύξεως, ὧν ἀμφοτέρων μέση ἐστὶν ἡ φρίκη.

*Περὶ αὐτὴν σχεδὸν τὴν ἕω, ὥστε μήτε τῇ θερμασίᾳ τριταίῳ τι δόξαι ἐοικέναι.* —

Κἀντεῦθεν νοθεύεται. ἔδει γὰρ αὐτὸν, γνήσιον ὄντα, κατὰ τὸ μέσον τῆς ἡμέρας εἰσβάλλειν, ὅτε κατὰ κορυφὴν ἡμῶν ὁ ἥλιος ὑπάρχων, ἐκθερμαίνῃ τὰ τῇδε καὶ τὸν τοιοῦτον ἀπογεννᾷ χυμὸν, ὑφ᾽ οὗ γνήσιος πέφυκε γίνεσθαι τριταῖος. ἦν δὲ κατάδηλος αὐτοῦ καὶ ἡ θερμασία, μὴ τοσοῦτον ἔχουσα τὸ πυρῶδες καὶ δριμὺ, ὥσπερ οἱ γνήσιοι αὐτὸ ἔχουσιν. ἀλλ᾽ οὐδὲ ὁ σφυγμὸς 1) τούτων μέγιστος καὶ παχύτατος καὶ πυκνότατος, ὡς τοῖς ἀκριβέσι τριταίοις, ἀλλὰ πάντα μὲν μειώμενα ἔχων τῇ τοῦ φλέγματος ἐπιμιξίᾳ, ὥστε οὐδὲ χολὴ ἐπὶ τούτου ἐμεῖται, διὰ τὸ μηδὲ μόνην χολὴν πλεονάζειν, ἀλλὰ σὺν τῷ φλέγματι ἱδρῶτες μὲν, βραχεῖς δὲ ἐγένοντο, οὐ μὴν τοσοῦτοι, ὅσοι ἐπὶ τῶν εἰλικρινῶν τριταίων.

---

1) huic G. τούτῳ.

*Τῆς γὰρ ἐπιούσης νυκτὸς ὀλίγον πρὸ τῆς ἡμέρας νοτίδες ἐγίγνοντο. —*

Ἐκ τούτων δὲ δῆλον ὅτι ὁ μὲν πρῶτος παροξυσμὸς γέγονεν ὡρῶν τριάκοντα ἑπτά· ὁ δὲ δεύτερος, ὡρῶν εἴκοσι τεσσάρων. ἔδει δέ γε, 1) ὡς ἔφην, ὑπεργνήσιος τριταῖος, ὡς ἀνωτέρω εἰρήκαμεν, ἐξωτέρω τῆς δύο καὶ δεκάτης ὥρας μὴ προβῆναι τοῦτον τὸν παροξυσμὸν, τοῦ 2) δευτέρου γενέσθαι χρονιώτερον, ἢ ὅτι πλείων ἔτυχεν οὖσα ἐπὶ τούτου ἡ ὕλη, ἢ ὅτι τὸ μειράκιον ἐπλημμέλησέ τι ἢ ἐν αὐτῷ τῷ πυρετῷ, ὡς μήπω τῆς φύσεως αὐτοῦ ἐγνωσμένης ἢ καὶ πρὸ τοῦ πυρετοῦ.

*Ἦν δὲ τὸ μειράκιον ἡλικίᾳ μὲν ἀμφὶ τὰ ὀκτωκαίδεκα ἔτη. —*

Ἐνταῦθα δείκνυσιν, ὅτι ἀπὸ τῆς κράσεως καὶ ἀπὸ τῆς ἡλικίας καὶ ἀπὸ τῆς ἄλλης διαγωγῆς τῷ τοιούτῳ μειρακίῳ ὁ φλεγματικὸς ἐπλεόναζε χυμός. καὶ ἀποροῦσί τινες λέγοντες, τί δήποτε μὴ 3) δεῖν ταῦτα ἢ μᾶλλον ὑπολαμβάνειν νόθον ἀμφημερινὸν, καὶ οὐχὶ νόθον τριταῖον; καὶ λέγομεν, ὅτι κωλύει τὸ διὰ τρίτης εἰσβεβληκέναι τὸν παροξυσμὸν, ὡς εἴ γε καθ' ἑκάστην ἡμέραν εἰσέβαλεν, ὑπελάβομεν ἂν μᾶλλον ἔχειν τὸ κῦρος τὸν ἀμφημερινὸν ἤπερ τὸν τριταῖον.

*Συνεισέβαλλε δὲ αὐτῷ καὶ ὁ σφυγμὸς σκληρός. —*

Τοῦτο μάλιστα ἐγένετο ὑπὸ τῆς τοῦ χυμοῦ ψύξεως, τῇ τοιαύτῃ ποιότητι πηγνυούσης τὸ τῆς ἀρτηρίας σῶμα, καὶ σκληρὸν ἐργαζομένης τὸν σφυγμόν. ἀμέλει περὶ μὲν τὴν πρώτην καὶ δευτέραν ἡμέραν, ἐπειδὴ οὔπω κινηθεὶς ἦν ὁ τοιοῦτος χυμὸς, ὀλίγῳ τινὶ σκληρὸς ἦν ὁ σφυγμός· ὕστερον δὲ λυθέντος αὐτοῦ καὶ χυθέντος ὑπὸ τῆς πυρετοῦ θερμασίας, σκληρότερος ὁ σφυγμὸς ἐγένετο. ἔστι δὲ εἰπεῖν, ὅτι καὶ ἀπὸ τῆς τῶν ὑποχονδρίων διατάσεως ἔσχε τὸ σκληρόν τε καὶ τεταμένον.

---

1) ὡς ἔφην om. G. Fort. εἰ ἦν. 2) Contigit autem G. Fort. om. δέ. 3) δεῖ ταύτῃ G.

Καὶ τοιοῦτος παρέμενεν ἄχρι τῆς κατὰ τὸ ἔαρ ἰσημερίας. —

Ἐνταῦθα δὲ λοιπὸν ἤρξατο μαλάττεσθαι, καὶ ἐπὶ τὴν τοῦ νοσήματος ἀνάβασιν ἰέναι. καὶ μείνας κατὰ τὴν ἀνάβασιν τεσσαράκοντα ἡμέρας ἀπηλλάγη τοῖ πυρετοῦ οὐ κριτικῶς· οὐδὲ γὰρ ἀθρόως, ἢ ἀγωνιστικῶς 1) ἐλύθη τὸ νόσημα, ἀλλὰ κατὰ βραχὺ συνεπέφθη, ὡς ἐκ τῶν σημείων ἐνῆν μαθεῖν. οἵ τε γὰρ σφυγμοὶ ἐνηλλάττοντο, καὶ ὁ παροξυσμὸς μετριώτερος ἐγένετο, καὶ πέψεως ἐν τοῖς οὔροις ἐφαίνετο χρηστὰ σημεῖα, καὶ ὑπόστασις λευκὴ καὶ λεῖα καὶ ὁμαλή.

Τοιοῦτος ὁ ἐναντιώτατος τῷ ἀκριβεῖ τριταίῳ. —

Ἐναντιώτατόν φησι τὸν γνήσιον καὶ νόθον. 2) ἐπεὶ τῷ τριταίῳ γνήσιος ἀμφημερινός ἐστιν ἐναντιώτατος, ὡς ἂν τοῦ μὲν ὑπὸ χυμοῦ θερμοῦ καὶ ξηροῦ γινομένου, τοῦ δὲ ὑπὸ φλέγματος, ψυχρὰν καὶ ὑγρὰν ἔχοντος τὴν φύσιν. ἀλλὰ νῦν τὸν ὑφηγημένον πυρετόν φησιν ὡς νόθον ἐναντιώτατον εἶναι τῷ ἀκριβεῖ τριταίῳ, πολλῶν ἄλλων δηλονότι νόθων ὑπαρχόντων, παρὰ τὸ μᾶλλόν τε καὶ ἧττον τῆς τοῦ φλέγματος ἐπιμιξίας, καὶ 3) τούτων οὖν πάντων μάλιστα τῶν νενοθευμένων.

Οὐκοῦν οὐδὲ χρόνιοι ὁμοίως τεταρταίῳ καὶ ἀμφημερινῷ οἱ οὐκ ἀκριβεῖς. —

Ὁ μὲν τριταῖος νοθευόμενος χρονιώτερος γίνεται, τεταρταῖος δὲ καὶ ἀμφημερινὸς οὐχ οὕτως, ἀλλὰ ὅσον νοθεύεται, τοσοῦτον καὶ τὸ τοῦ χρόνου μῆκος ἐπὶ τούτων μειοῦται. καὶ τοῦτο εἰκότως. ὁ μὲν γὰρ τριταῖος ἐπὶ ξανθῆς χολῆς λεπτομεροῦς γινόμενος νοθεύεται δηλονότι παχυμεροῦς ταύτης γινομένης. ὑπὲρ δὲ τῶν τεταρταίων καὶ τῶν ἀμφημερινῶν, ἐπειδὴ φύσει παχεῖά ἐστιν ἡ ὕλη, εἰ μέλλει νοθεύεσθαι· νοθεύεται γὰρ ὑπὸ χολῆς λεπτομεροῦς ἐπιμιξίας, κἀντεῦθεν οὐδὲ τοσαύτης δεομένης πέψεως, εἰς ὀλίγον ἐξ ἀνάγκης παρατείνει χρόνον.

Ταῦτα μὲν ἐν τοῖς κατὰ περίοδον πυρέττουσι σκοπεῖσθαι. —

---

1) λέλυθε A. 2) ἐπὶ A. γνησίῳ add. G. 3) Fort. τοῦτον.

Ἐπὶ τῶν ἄλλων διαλειπόντων φησὶ τὰ εἰρημένα σημεῖα τὸν τῆς ἐκβάσεως προμαντεύεσθαι καιρὸν, οἷον εἰ τὸ ῥῖγος ἐπὶ τριταίῳ κλονῶδες, ὀλιγοχρόνιος ὁ τοιοῦτος πυρετός· εἰ μὴ κλονῶδες, ἀλλὰ μᾶλλον φρικῶδες, πολυχρόνιος, κἀπὶ τῶν ἄλλων κατὰ τὸν αὐτὸν τρόπον. ἐπὶ δὲ τῶν συνεχῶν, τούτους γάρ φησιν ἄλλους πυρετοὺς, ἐπειδὴ ῥῖγος οὐκ ἔστιν οὐδ᾽ ἱδρῶτες οὐδὲ διάλειμμα, πόθεν σκοπήσω τὸ μῆκος τοῦ χρόνου; ἐπὶ τούτων δεῖ προσέχειν τοῖς οὔροις καὶ τοῖς διαχωρήμασι, καὶ ταῖς περὶ ταῦτα πέψεσιν, ἢ θᾶττον ἢ βραδύτερον φαινομέναις. εἰ μὲν γὰρ φαίνοιντο θᾶττον, ὀξύτερον ἔσται τὸ νόσημα. εἰ δὲ βραδύτερον, χρονιώτερον. ἐπισκοπεῖν δὲ καὶ τὴν ὅλην ἕξιν τοῦ σώματος, εἰ ἀραιόν ἐστι καὶ πυκνόν. τὰ μὲν γὰρ πυκνὰ μονιμωτέρους οἶδε ποιεῖν τοὺς πυρετοὺς, 1) τῷ στέγειν ἐν ἑαυτοῖς τὰ τούτων αἴτια, τὰ δὲ ἀραιὰ τοὐναντίον. χρὴ δὲ προσέχειν καὶ τῇ θερμασίᾳ. εἰ μὲν γὰρ πολλὴ καὶ εὐκίνητος, ὀξὺ τὸ νόσημα· εἰ δ᾽ οἷον ὑποτυφωμένη καὶ δυσκίνητος, χρόνιος. προστίθει δὲ τούτοις καὶ τὰ ἀπὸ τῶν σφυγμῶν καὶ τῶν στοιχείων ἁπάντων. ὥρᾳ μὲν γὰρ θέρους εἰσβάλλοντος τοῦ πυρετοῦ, δεῖ προσδοκᾶν καὶ ταχεῖαν ἀπαλλαγήν· φθινοπώρου δὲ ἢ χειμῶνος, μακρὰν καὶ τῶν ἄλλων ὁμοίως.

Παρῄνηται μὲν οὖν, ὥς ἄν τινι δόξῃ τὸ πᾶν, οὐ μὴν πρός γε τὴν ἀλήθειαν ὧδ᾽ ἔχει. —

Ὃ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστιν, ὅτι δύναται μὲν καὶ τὰ εἰρημένα προαγορεῦσαι τὴν τοῦ νοσήματος 2) ἔκβασιν, ἅμα καὶ τὸν χρόνον. ἀλλὰ καὶ τὸ πάντων τούτων κεφαλαιωδέστερον οὔπω εἰρήκαμεν, πρᾶγμα ῥηθῆναι μὲν εὐκόλως δυνάμενον, γνωσθῆναι δὲ καὶ κατορθωθῆναι πολυχρονίου καὶ μακρᾶς πείρας δεόμενον, τὴν ποσότητα λέγω. δεῖ γὰρ σκοπεῖν οὐ μόνον τὸ τοῦ νοσήματος εἶδος, ἀλλὰ καὶ τὸ ποσόν. ἐκ γὰρ τούτου δυνησόμεθα μανθάνειν, εἴτε σωτήριον 3) τοῦ νοσήματος, εἴτε ὀλέθριον. μικροῦ γὰρ ὄντος τοῦ νοσήματος, ὁ κάμνων σωθήσεται· μεγάλου δὲ, τεθνήσεται. ἀλλὰ καὶ τούτων ἑκάτερον ὁπότε

1) τὸ A. 2) ἔνβασιν A. 3) Fort. τὸ νόσημα.

γενήσεται, ἐξ οὐδενὸς ἄλλου μαθεῖν ἐστιν ἢ ἐκ τῆς περὶ τὸ ποσὸν ἀκριβοῦς γνώσεως. οὐκοῦν χρὴ τὴν δύναμιν ἀεὶ τῷ νοσήματι ἀντεξετάζειν καὶ σκοπεῖν ὁπότερον .... 1) εἰ μὲν γὰρ ἡ δύναμις ἀσθενὴς, ἐκ τούτου στοχαζομένους ἡμᾶς δεῖ προλέγειν, ὅτι οὐ δύναται ἀντισχεῖν ἄχρι τῆς ἀκμῆς, ἀλλὰ ἀπαυδήσασα πρὸς τὴν τοῦ νοσήματος ἰσχὺν ἀπολείπεται· εἰ δὲ τοὐναντίον αὐτὴ μὲν εἴη εὔρωστος, τὸ δὲ νόσημα ἀσθενὲς, δυνήσεται διατελέσαι καὶ διαρκέσαι πρὸς τὸν ἀγῶνα καὶ περιγενομένη καὶ ἑαυτὴν σῶσαι καὶ τὸν ἄνθρωπον.

*Οὐ μικρᾶς δεῖται τοῦτο τριβῆς τά τ' ἄλλα καὶ τῷ μήτε γραφῆναι μήθ' ὅλως διδαχθῆναι λόγῳ δύνασθαι τὸ ποσὸν ἑκάστου. —*

Ἡ περὶ τὸ ποσὸν θεωρία, φησὶ, πολλῆς καὶ συνεχοῦς δεῖται μελέτης ἐν τῇ τοῖς ἔργοις τῆς τέχνης τριβῇ, ὡς ἂν καὶ διὰ ταύτης μόνης κατορθοῦσθαι δυναμένης, καὶ τῷ λόγῳ ἀδυνάτως ἑρμηνευθῆναι· καὶ μέντοι ὅτι καὶ χρήσιμός ἐστιν, εἰς ἃ εἰρήκαμεν. τοῦτο γάρ ἐστιν, ὅ φησι, τά τ' ἄλλα, ἢ ὅτι κατὰ τὴν ἑαυτῆς φύσιν ἐστὶ δυσχερὴς, ὥστε 2) προτρεπτικόν ἐστι τῷ τοιούτῳ οὐδενὶ, εἰς τὸ ποσὸν τρίβεσθαι διὰ τὸ χρήσιμον τὸ ἑαυτοῦ, καὶ τὸ περὶ τοὺς λόγους ἀκατόρθωτον. ἤδη γὰρ φθάσαντες εἰρήκαμεν ἐν τῇ ἀρχῇ τοῦδε τοῦ συγγράμματος, ὅτι τὸ ποσὸν ἴδιον ἑκάστου, τὰ δ' ἴδια γράφειν ἀδυνατοῦντες, διὰ τὸ ἄπειρα εἶναι, ἐξ ἀνάγκης ἐπὶ τὰ κοινὰ τρεπόμεθα, κἂν ᾖ τῇ χρείᾳ δεύτερα.

*Καὶ εἴ τι ἄρα τὸ ἡμέτερόν ἐστιν, οὐχ ὑπ' ἄλλου τινὸς εἰς τοσοῦτον ἀκριβείας ἥκει. —*

Τὸ χωρίον εἴ γε ἔστιν ὁμοίως τοῖς παλαιοῖς ἐξηγηταῖς, οὐκ οἶδα. τὰς δὲ ἐκείνων ἐάσαντες φλυαρίας, τὸ ἀληθὲς εἴπωμεν. ὃ γὰρ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστιν, ὅτι εἴπερ ἄρα διεπρέψαμεν καὶ περιφανεῖς κατὰ τὴν ἰατρικὴν τέχνην γεγόναμεν, ἐξ οὐδενὸς ἡμῖν ἄλλου τοῦτο

---

1) utrum ex his fortius sit G. 2) Quare tanquam adhortatur hoc in loco Galenus. G.

προσεγένετο ἢ τοῦ περὶ ποσὸν ἠκριβῶσθαι. διὰ δὲ τοῦ εἰπεῖν εἰ ἄρα 1) μετριότητος ἤθους κέχρηται, μὴ βουλόμενος ἑαυτῷ τῆς εὐδοκιμήσεως καὶ τῆς παρὰ τῶν πολλῶν 2) ἐπαίνου εἶναι μαρτυρία.

Τὸν μὲν οὖν ἀκριβῆ τριταῖον, ὡς ἂν ὑπὸ τῆς ξανθῆς χολῆς δυναστευόμενον, ὑγραίνειν τε καὶ ψύχειν. —

Μετὰ τὴν τῶν πυρετῶν διάγνωσιν, διαλειπόντων τε καὶ συνεχῶν, νόθων τε καὶ γνησίων, ἑπόμενόν ἐστι λοιπὸν καὶ θεραπείαν παραδοῦναι. προτιμάσθω δὲ τῇ τάξει ταύτῃ τριταῖος, ὥσπερ οὖν κἂν τῇ διαγνώσει τετίμηται. ἀλλὰ δεῖ τὴν θεραπείαν ποιεῖσθαι, δύο τινῶν σκοπῶν ἐχόμενον. χρὴ γὰρ ἐπὶ τῶν ἐπὶ χυμοῖς πυρετῶν, ὕλης τε πλεοναζούσης καὶ ποιότητος, τὴν μὲν ὕλην κενοῦν, τὴν δὲ ποιότητα ἀλλοιοῦν, τῷ δὲ ἐλλείποντι διδόναι. ἀμέλει τοι ἐπὶ μὲν τῶν τριταίων, ἐπειδὴ μάλιστα ποιότης ἐστὶν ἡ λυμαινομένη, πρὸς ταύτην 3) ἐνιστάμεθα ψύχοντές τε καὶ ἐνυγραίνοντες, ἧττον δὲ κενοῦμεν· ἐπὶ δὲ τῶν ἀμφημερινῶν, μᾶλλον πρὸς τὴν ὕλην ἀπομαχόμεθα τῆς ποιότητος, οὐ πάνυ τι 4) * δυναστεύουσι διὰ τὸ ψυχρὸν εἶναι καὶ ὑγρὸν αὐτὸν τὸν χυμόν.

Τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἰάματα. —

Τοῦτο δὲ τὸ κῶλόν ἐστιν Ἱπποκράτους, καὶ 5) πάντων μᾶλλον ἀληθείας ἐχόμενον. ἵνα δὲ μή τις ἡμᾶς σοφιστὴς παρακρούσηται λέγων, ὅτι τὰ ἐναντία τοῖς ἐναντίοις οὐ θεραπεύεται, ἀλλὰ μᾶλλον ἀναιρεῖται. καὶ γὰρ τὸ θερμὸν ὑπὸ τοῦ ψυχροῦ, καὶ τὸ ψυχρὸν ὑπὸ τοῦ θερμοῦ φθείρεται. πῶς ἂν λέγοιτο, τὰ φθειρόμενα θεραπεύεσθαι; διὰ τῶν τοιούτων δεῖ ἐκεῖνο προσθεῖναι, ὅτι τὰ ἐναντία ἐναντίων λέγεται ἰάματα ὡς πρὸς τὸ ὑποκείμενον αὐτοῖς σῶμα. τὸ γὰρ σῶμά ἐστι θεραπευόμενον. οὕτως καταχρώμενοι πολλάκις λέγομεν καὶ τὴν νόσον ἐναντίαν εἶναι τῇ ὑγείᾳ, καὶ τὸ ἀκριβὲς σκοποῦσι νόσος ἂν εἴη ἐναντία, τῇ μὲν θερμῇ ψυχρὰ λέγοιτο ἐναν-

1) Fort. μετριότητι. εἴθους A. 2) ἐπαίνων A. μαρτυρίας A. 3) ἐπιστάμεθα A. 4) Fort. δυναστευούσης. 5) πάντως A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 313 sur 382

τία εἶναι· ἀλλὰ δηλονότι ταῦτα λέγομεν, πρὸς τὸ ὑποκείμενον ἀποβλέποντες σῶμα, ἐπειδὴ συμβαίνει αὐτῷ σώζεσθαι μὲν ὑπὸ τῆς ὑγείας, φθείρεσθαι δὲ ὑπὸ τῆς νόσου. ὅτι δὲ φθορὰ σωτηρίας ἐναντίον, οὐδεὶς ἂν, οἶμαι, τῶν νοῦν ἐχόντων ἀμφιβάλλοι.

Προτρέπειν οὖν χρὴ τὸν εἰς τὴν γαστέρα συῤῥέοντα κενοῦσθαι δι' ἐμέτων. —

Ὃ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστιν, ὅτι δεῖ τὴν κένωσιν ποιεῖσθαι ἢ αἰσθητὴν ἢ ἀναίσθητον. ἔστι δὲ αἰσθητὴ μὲν κένωσις, ἡ διὰ γαστρὸς, ἡ δι' ἐμέτων ἢ δι' οὔρων, δι' αἱμοῤῥαγίας. ἀναίσθητος δὲ ἡ διὰ τῶν ἀδήλων πόρων. ὁρίσει δέ σοι τῶν τοιούτων ἕκαστον ἡ τοῦ χυμοῦ ῥοπὴ, τρεπομένη ποτὲ μὲν ἐν τῷ στόματι τῆς γαστρὸς, ὅτε καὶ χρὴ δι' ἐμέτων αὐτὴν κενοῦσθαι, ποτὲ δὲ μᾶλλον ἐπὶ τὰ ἔντερα βρίθουσα, ἐνίοτε δὲ εὐκολωτέρως δι' οὔρων κενουμένη, πολλάκις δὲ καὶ 1) ἐπιτηδειότητα ἔχουσα εἰς τὸ διαφορηθῆναι διὰ τῆς ἐπιφανείας καὶ τῶν κατὰ αὐτὴν πόρων.

Ἀλλὰ τὴν μὲν γαστέρα μαλακοῖς κλύσμασι κενοῦν. —

Ἐπὶ τῶν τριταίων ἐπειδὴ πολλὴ ξηρότης ἐστὶ, χρὴ κατακλύσματα παραλαμβάνειν, ὑγραίνειν καὶ μαλάττειν μᾶλλον δυνάμενα, οὐ 2) ξηραίνειν. ἐπιτεινομένη γὰρ ἐκ τῶν τοιούτων ἡ δυσκρασία μᾶλλον τῷ σώματι λυμαίνεται.

Τὰ δ' οὖρα προτρέπειν σελίνου τε καὶ ἀνήθου τοῖς πόμασιν ἐναποβρέχοντα. —

Ὥσπερ τῶν καθαιρόντων φαρμάκων ἄλλα πρὸς ἄλλον χυμὸν οἰκειότατον 3) ἔχοντα ἕκαστον ἕλκειν, οἷον, εἰ τύχει, σκαμμωνία μὲν τὴν ξανθὴν χολὴν, ἐπίθυμον δὲ τὸν μελαγχολικὸν χυμὸν, καὶ τὸ φλέγμα κολοκυνθὶς, οὕτω καὶ τῶν φαρμάκων ἕκαστον πρός τι τῶν τοῦ σώματος μορίων ἔχει φυσικὴν ἢ συμπάθειαν ἢ ἀντιπάθειαν. ἐπεὶ πόθεν αἱ κανθαρίδες 4) περιϊοῦσαι τὸν οἰσοφάγον καὶ στόμα

1) ἐπιτηδειότητι A. 2) ξηραίνει A. 3) Fort. ἔχει. 4) Fort. παριοῦσαι.

καὶ γαστέρα καὶ μεσαραϊκὰς φλέβας καὶ ἧπαρ καὶ νεφροὺς καὶ οὐρητῆρας, τὴν κύστιν ἑλκοῖ; πόθεν δὲ τὸν πνεύμονα μόνον λαγωὸς θαλάσσιος; ὥσπερ οὖν ταῦτα φυσικὴν ἀντιπάθειαν ἔχει, οὕτω καὶ ἄλλα πέφυκε, τὰ μὲν δι' οὔρων, τὰ δὲ διὰ γαστρὸς κενοῦντα περιττώματα. καὶ καλεῖται δὲ ὅσα δι' οὔρων τὰς ὕλας κενοῖ, διουρητικά. καὶ χρὴ ἐπὶ τῶν τριταίων αὐτοῖς κεχρῆσθαι, συλῶντας δι' αὐτῶν κατὰ βραχὺ τὴν τῶν πυρετῶν διάθεσιν.

Καὶ ἤν σοι πέψεως σημεῖα προφαίνηται, θαῤῥῶν ἤδη καὶ τοῦ ἀψινθίου διδόναι. —

Τὸ ἀψίνθιον δύο δυνάμεις ἔχει, τὴν μὲν στυπτικὴν, τὴν δὲ καθαρτικήν. εἰ μὲν οὖν, ἔτι τοῦ χυμοῦ ἀπέπτου ὄντος, προσενέγκοιμεν αὐτὸ, τῇ στύψει μᾶλλον πυκνοῖ τὰς ὕλας, ὥστε μάχην τινὰ γενέσθαι, τῆς μὲν καθαρτικῆς αὐτοῦ δυνάμεως ἀποκρῖναι βουλομένης τὸν χυμὸν, τῆς δὲ στυπτικῆς κατεχούσης· κἀντεῦθεν ἔσω ταλαιπωρεῖ ἡ φύσις, ὑπὸ ἑκατέρου τούτων ἐνοχλουμένη. εἰ δὲ μετὰ τὴν πέψιν παράσχωμεν τὸ ἀψίνθιον, τηνικαῦτα ἥ τε καθαρτικὴ ἐνέργεια καὶ ἡ στυπτικὴ οὐκ ἀντιπράττει, μᾶλλον δὲ συμβάλλει. θλίβουσα γὰρ ἐκπυρηνίζει, ὥσπερ ταῖς χερσὶ σπογγίαν θλίψαντες τὰ ἐν αὐτῇ περιεχόμενα πρὸς τὸ ἐκτὸς 1) ἀποῤῥεῦσαι ποιήσαιμεν ὑγρά.

Καὶ μᾶλλον εἰ τῆς κόμης αὐτοῦ λαμβάνων ὅσον αὐταρκες ἀποβρέχοις. —

Χρὴ γινώσκειν ὅτι βοτανῶν τινων μὲν εὑρεῖν ἔστι τὰς ῥίζας δραστικωτέρας, τινῶν δὲ τοὺς 2) κλῶνας, ἄλλων δὲ τὰ σπέρματα, ὥσπερ οὖν ἄλλων τὰ φύλλα. ἐπὶ τοίνυν τοῦ ἀψινθίου ἡ κόμη δραστικωτέρα, ὡς ἂν λεπτομερεστέρα τῶν ῥιζῶν ὑπάρχουσα. χρὴ δὲ αὐτὴν παρέχειν ἢ ὕδατι προαποβρέχοντας καὶ 3) ἀποξύνοντας, ἢ καὶ τὴν οὐσίαν αὐτὴν κόψαντας καὶ μίξαντας ὕδατι θερμῷ ἢ μελικράτῳ, ἢ ὡς ἂν ὑπαγορεύῃ πρὸς τὸ παρὸν ἡ χρεία.

---

1) ἀπορεύσε A. 2) κλόνους A. 3) ἀποξύνυντας A. Fort. ἀποζεννύντας. decoquentes G.

*Λουτρὰ δὲ θερμὰ δι' ὕδατος ποτίμου τὸ μὲν κενοῖ τῆς χολῆς ἀπάγοντα.* —

Τῶν μὲν εἰρημένων ἕκαστον βοηθημάτων εἰ καὶ τὴν ὕλην ἐκένου, καὶ ταύτην κατὰ συμβεβηκὸς ἔψυχε τῇ τοῦ θερμαίνοντος ἀπουσίᾳ, ἀλλ' ἑτέραν 1) ἐνετίθει θερμὴν ποιότητα. τὸ μέντοι λουτρὸν καὶ τὴν ὕλην κενοῖ, καὶ τὴν ποιότητα οὐκ αὔξει, τὴν θερμήν 2) τε καὶ ξηράν. τοὐναντίον δὲ καὶ σβέννυσιν αὐτὴν τῷ ψύχειν τε καὶ χρηστὴν ἐντιθέναι τοῖς πόροις ὑγρότητα. ἤδη δὲ φθάσαντες εἰρήκαμεν ἐν τοῖς προλαβοῦσιν, ὅσα περὶ λουτροῦ δυνάμεως καὶ τῶν αὐτοῦ μερῶν ἔδει ῥηθῆναι.

*Ὑγραίνει γὰρ καὶ ψύχει κατὰ δύναμιν, ὅσα τοιαῦτα λουτρά.* —

Καλῶς προσέθηκε τὸ κατὰ δύναμιν, ἐπειδὴ καὶ τὰ θαλάττια καὶ τὰ νιτρώδη καὶ τὰ ἁλμυρὰ λουτρά· καὶ τὰ μὲν τὴν πρόχειρον φαντασίαν ὑγρά ἐστιν, οὐ μὴν ὑγραίνει, τοὐναντίον δὲ ξηραίνει. ἡ μέντοι τῶν ποτίμων ὑδάτων χρῆσις καὶ τὴν φαντασίαν ἅμα καὶ τὴν δύναμιν ὑγραίνουσαν ἔχει. ἐξεταζέσθω δὲ δηλονότι ἡ δύναμις ἐκ τῆς ἐνεργείας.

*Ἀλλ' ὅτι μάλιστα θερμὸν περιχέοντας ἐμβιβάζειν τε τῷ ὕδατι καὶ διαβρέχεσθαι.* —

Τοῦτο γὰρ δύναται καὶ τοὺς πόρους 3) ἀραιῶσαι, καὶ ταύτην διαφορῆσαι τὴν ὕλην, καὶ μέντοι καὶ τὰ στερεὰ μόρια ὑγρᾶναι.

*Καὶ εἴ γε θέλοιεν νήχεσθαι ἐν αὐτῷ, συγχωρεῖν, εἰς ὅσον δύνανται.* —

Καλῶς προσέθηκε τὸ, εἰ θέλοιεν. δεῖ γὰρ χαρίζεσθαί τι καὶ τῇ τοῦ κάμνοντος ἡδονῇ· καὶ παραλαμβάνει τὸν τοιοῦτον μὲν ἐπὶ κολυμβήθρας εὐρυτέρας, ὅπως ἂν εὐρυχωρίαν ἡ φύσις ἔχουσα εἰς τὸ νήχεσθαι καὶ ἀποτεί-

---

1) ἀντίθει A. introducebat G. 2) τε καὶ] δὲ A. 3) ἁρμῶσαι A. rarefacere G.

νεσθαι πρὸς τὸ ἡδὺ, καὶ μᾶλλον ἀπολάβοι τῆς τοῦ ὕδατος ποιότητος, ψυχομένη τε καὶ ὑγραινομένη.

Τοὺς δὲ φιλολουτροῦντας οὐδ' εἰ δὶς τῆς ἡμέρας λούειν ἐθέλοις, οὐκ ἂν ἁμαρτάνοις. —

Ἱπποκράτης ἀπὸ τῶν ἐθῶν ἔνδειξιν 1) [ἔλαβεν], ὥστε τὸ μὲν πρῶτον λουτρὸν παραλαμβανέσθω διὰ τὴν διάθεσιν, τὸ δὲ δεύτερον διὰ τὴν ἀπὸ τοῦ ἔθους ἔνδειξιν.

Εἰ δὲ καὶ πέψεως σημεῖα τῆς νόσου φαίνοιτο, κἂν εἰ πλεονάκις λούοις, οὐκ ἂν ἁμάρτοις. —

Ἱκανὸν ὂν φαίνεται τὸ λουτρὸν ἐπὶ τῶν τριταίων, καὶ πρὸ πέψεως 2) παραλαμβάνον. καὶ ἄξιον τῆς ζητήσεως, πῶς οὐκ ἐπιτείνει τὰς ἐμφράξεις. ἐν γὰρ τοῖς βαλανείοις εἰώθασιν οἱ χυμοὶ χεόμενοι καὶ ἐπὶ ταύταις τοὺς πυρετοὺς ἐπιτείνειν. λέγομεν τοίνυν ὅτι ἐπὶ τῶν τριταίων πυρετῶν, ἐπειδὴ μᾶλλον ἡ ποιότης ἤπερ ἡ ὕλη λυμαίνεται, διὰ τοῦτο καὶ πρὸ πέψεως τὸ λουτρὸν παρέλαβεν. ὅτι δὲ πρὸ πέψεως κελεύει λούεσθαι, αὐτὸς ἐδήλωσεν ἐπάγων, ὅτι μετὰ τὴν πέψιν πλεονάκις τοῦ δὶς 3) λούειν, οὐκ ἂν ἁμάρτοις. τηνικαῦτα γὰρ αἱ ὕλαι, 4) πεφθεῖσαι καὶ λεπτυνθεῖσαι ῥᾷον ἐκκρίνονται δι' ἱδρώτων, ἀραιωθέντων τῶν πόρων.

Οἴνου δὲ πρὶν μὲν πέττεσθαι τὸ νόσημα παντάπασιν εἴργειν. —

Εἰκότως ἐμνημόνευσε μετὰ τὸ λουτρὸν τῆς χρήσεως τοῦ οἴνου, ἐπειδὴ τηνικαῦτα δίψης αὐτοῖς προσγενομένης ἐκ τῆς τοῦ βαλανείου θερμασίας, 5) παρέχειν ποτὸν, οὐχ ὕδωρ· τοῦτο γὰρ ἐμβραδύνον τοῖς ὑποχονδρίοις ἄλλως βλάπτει· ἀλλ' οἶνον, ἐπειδὴ δύναται οὗτος θᾶττον ἀναδιδόμενος, τάς τε ἐκκρίσεις προτρέπειν ἁπάσας καὶ τὰς δυνάμεις ῥωννύναι καὶ τοὺς χυμοὺς εἰς εὐκρασίαν μεταφέρειν, αὐτός τε εἰς αἷμα μεταβαλλόμενος, καὶ τοὺς ἀχρήστους μετακοσμῶν. ἀλλὰ χρὴ τοῦτον διδόναι οὐ πρὸ

1) ἔλαβεν om. A. G. Gadald. supplevit. 2) Fort. παραλαμβανόμενον. 3) Fort. εἰ λούοις sive λούων. 4) πευθεῖσαι A. 5) Fort. add. δεῖ.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 317 sur 382

τοῦ καιροῦ τῆς πέψεως. τηνικαῦτα γὰρ χέων τὰς ὕλας, ἐπιτείνει τὰς ἐμφράξεις· ἀλλὰ μᾶλλον μετὰ τὰς πέψεις, ἵνα τὰ εἰρημένα ἐργάσηται. χρὴ δὲ προνοεῖσθαι, ὅπως ἂν εἴη λεπτὸς καὶ εὐανάδοτος, καὶ πολλὴν ὕδατος ἐπιμιξίαν ἔχων, καὶ μὴ παλαιὸς, μηδὲ φύσει θερμὸς, καὶ τὸ χρῶμα λευκὸς μᾶλλον ἢ μέλας. —

Σιτία δὲ ὅσα ὑγραίνει τε καὶ ψύχει, πάντα χρήσιμα τριταίοις ἀκριβέσι. —

Καὶ τοῦτό φησιν, ἡ ποιότης ἔστω σύμφωνος τῇ τοῦ τριταίου πυρετοῦ ἐναντιώσει, ψυχρᾶς 1) οὖσα δυνάμεως. ἀλλὰ τὸ μὲν ποιὸν οὕτως ἡμῖν εἴρηται.

Τὸ δὲ ποσὸν ἐν αὐτοῖς τοσοῦτον ὅσον πλεῖστον καλῶς πέψαι δύνανται. —

Ἕκαστον πέψαι δύναται, μήτε βαρυνομένης αὐτῷ τῆς γαστρὸς, μήτε ἀπεπτούσης, ἐπεὶ συμβήσεται πάλιν, 2) περιττωμάτων γενομένων ἐκ τῶν ἀπεψιῶν, διὰ περιόδου τινὸς καὶ κύκλῳ τὸν πυρετὸν αὔξάνεσθαι.

Τῶν δ᾽ ἄλλων, ὅ τε πτισάνης χυλός. —

Ἡ πτισάνη 3) χρησιμώτατόν ἐστιν ἐπὶ τούτων βοήθημα, δυναμένη τὸν πυρετὸν ψύχειν, καὶ ὑγραίνειν, καὶ τὴν ὕλην ἐκφράττειν. ἔχει γὰρ ῥυπτικὴν τὴν δύναμιν καὶ τρέφουσαν τὰς δυνάμεις.

Καὶ τὰ διὰ τοῦ χόνδρου ῥοφήματα. —

Χόνδρον ἐκάλουν οἱ παλαιοὶ τὸν 4) ἄλικα. χρὴ δὲ τοῦτον παραλαμβάνειν, ἐφ᾽ ὧν ἡ θερμασία πολλὴ κατὰ τὴν γαστέρα ἐστὶ καὶ βουλόμεθα αὐτὸν ἐν ταύτῃ χρονίσαντα, μάχεσθαι πρὸς τὴν δυσκρασίαν, καὶ μάλιστα εἰ τὸ στόμα τῆς γαστρὸς εἴη ῥαδίως ἐκχολούμενον. δύναται γὰρ ὡς παχὺς καὶ 5) δύσφραστος κατασβέσαι τὴν ἐν αὐτῷ θερμότητα· φυλάττεσθαι μέντοι μὴ γαστρός ἐστιν ἐπὶ τούτων ἐπίσχεσις. οἶδε γὰρ τὸ τοιοῦτον ῥόφημα μᾶλλον αὐτὴν ἐπέχειν.

---

1) G. addit: et humidae, καὶ ὑγρᾶς. 2) περιττώματα A. 3) χρησιμωτάτη A. 4) alicam Latin. 5) Fort. δύσφρακτος. tenax G.

*Καὶ οἱ πετραῖοι τῶν ἰχθύων.* —

Τῶν ἰχθύων 1) οἱ μὲν εἰσιν 2) αἰγιαλοὶ, οἱ δὲ πετραῖοι, οἱ δὲ πελάγιοι. τούτων δὲ ἄριστοι μέν εἰσιν οἱ πετραῖοι, ἐπειδὴ τὰ 3) κύματα ταῖς πέτραις προσρηγνύμενα κινεῖσθαι συνεχῶς αὐτοὺς ποιεῖ, καὶ τὴν περιττωματικὴν αὐτῶν δαπανᾷν ψυχρότητα. οἱ δὲ αἰγιάλιοι χείριστοι, ἐπειδὴ τρέφονται τροφὴν ἰλυώδη, καὶ μάλιστα εἰ παράκειται πόλις ἐν τοῖς αἰγιαλοῖς, δεχομένης αὐτῆς τὰ περιττώματα καὶ τοὺς ὀχετούς. οἱ δὲ πελάγιοι μεσωτάτην ἔχουσι τὴν φύσιν, οὔτε οὕτως μοχθηρὰν, ὡς αἰγιάλιοι, οὔτε οὕτως 4) ἀπέριττον, ὡς πετραῖοι, τῶν μὲν τὸ ἰλυῶδες οὐκ ἔχουσι, τῶν δὲ τὴν ἐν κινήσει γυμνασίαν ἐξέκλιναν.

*Καὶ τῶν πτηνῶν τὰ μαλακόσαρκα.* —

Τοὺς κατοικιδίους ὄρνεις φησὶ καὶ τοὺς φασιανούς. χρὴ δὲ ταῦτα μικρὰ παραλαμβάνειν, ὡς ἂν ὑγροτέρας ἔτι καὶ εὐπέπτου τῆς σαρκὸς αὐτῶν ὑπαρχούσης.

*Καὶ τῶν μὴ τοιούτων τὰ πτερά· καὶ μὲν δὴ καὶ ἀλεκτρυόνων τοὺς ὄρχεις διδόναι.* —

Καὶ τῶν μὴ τοιούτων φησὶ, τουτέστι τῶν μὴ μαλακοσάρκων, ἀλλά γε τῶν τελείων. ἀπορήσαντες γὰρ πολλάκις τῶν μικρῶν, τὰ πτερὰ τῶν τελείων προσάγομεν, ἐπειδὴ ταῦτα διὰ τὴν κατὰ τὴν πτῆσιν γυμνασίαν ἐστὶν ἀπέριττα. χρὴ δὲ ἐκεῖνο γινώσκειν, ὃ κατὰ τὴν πεῖραν ἡμῖν εὕρηται· τῆς μὲν οὖν γαστρὸς πολλὴν ἐχούσης θερμασίαν, μᾶλλον τὰ πτερὰ προστάττομεν, ὡς ἂν νευρωδέστερα ὄντα, καὶ δυσχερῶς φθειρόμενα. εἰ δὲ ἡ ἔμφυτος θερμασία ὀλίγη εἴη, τηνικαῦτα μᾶλλον τὰς κοιλίας παρέχομεν, ὡς ἂν σαρκωδεστέρας καί τινα χρηστὴν ἐχούσας θερμότητα. δοτέον δὲ καὶ τοὺς τῶν ἀλεκτρυόνων ὄρχεις, εὐχύμους τε ὄντας καὶ τροφίμους, καὶ τὸ περιττωματικὸν ἐλάχιστον ἔχοντας.

---

1) Gad. addit θαλαττίων. 2) Fort. αἰγιαλεῖς sive αἰγιάλιοι. 3) χύματα A. 4) ἀπέριττοι A.

*Καὶ τῶν συῶν τοὺς πόδας τε καὶ τοὺς ἐγκεφάλους. —*

Τοὺς πόδας παραλαμβάνει τῶν συῶν, ἐπειδὴ γυμναζόμενοι κατὰ τὴν βάδισιν, οὗτοι ἀπέριττοί εἰσιν. ἀλλὰ καὶ τοὺς ἐγκεφάλους χρὴ προσφέρειν φυλαττομένους, μή τινος ὁ στόμαχος ἀσώδης εἴη. οἶδε γὰρ τὸ τοιοῦτον ἔδεσμα καὶ κινεῖν τὸν στόμαχον. —

*Ἀλλὰ καὶ ὠὰ συγχωρεῖν ῥοφεῖν καὶ μάλιστα τὰς λεκίθους. —*

Τὰ ὠὰ ὅσα ἧττον ἕψεται, τοσοῦτον εὐπεπτότερα γίνονται· μᾶλλον δὲ ἑψόμενα, ἐπειδὴ κατὰ τὴν ἕψησιν τὸ ἐν αὐτοῖς λεπτομερὲς δαπανᾶται καὶ παχύνεται καὶ δυσπεπτότερα γίνονται. διὰ τοῦτο γάρ ἐστιν ὅ φησιν, ὠὰ συγχωρεῖν ῥοφᾷν. οὐ γὰρ ἁπλῶς ῥοφᾶσθαι δύνανται τὰ 1) ψυχρότερα, καὶ ἧττον ἡψημένα ὄντα. τούτων δὲ τῶν ὠῶν τὸ μὲν λευκόν ἐστι ψυχρότερον καὶ μᾶλλον δυσπεπτότερον, τὸ δὲ λεκιθῶδες εὐπεπτότερον, ὅθεν πρὸς τὸν τρόπον τῆς διαθέσεως ἑκατέρῳ προσφορῶς χρώμεθα.

*Ἐν δὲ τοῖς οὐκ ἀκριβέσι προνοεῖσθαι χρὴ μάλιστα. —*

Θεραπεύσας τοὺς γνησίους τριταίους, βούλεται λοιπὸν καὶ τῶν νόθων τὴν ἴασιν ἡμῖν παραδοῦναι. καὶ χρή, φησίν, ἐπὶ τούτων τεχνικῶς προσέχειν τὸν νοῦν, ἐπειδὴ τῶν γνησίων εἰσὶ χρονιώτεροι, καί ἐστιν ἐπὶ τούτων ἄπορος ἡ θεραπεία. εἴτε γὰρ θρέψομεν διὰ τὴν δύναμιν, αὔξομεν τὸ νόσημα, εἴτε μὴ θρέψομεν διὰ τὸ νόσημα, καταβαλοῦμεν τὴν δύναμιν. χρὴ τοίνυν ἐπὶ τούτων τὴν δύναμιν τῷ νοσήματι παραβάλλοντας σκοπεῖν, ὁπότερον αὐτῶν μεῖζον, καὶ πρὸς τὸ κατεπεῖγον ἵστασθαι, μὴ θατέρου παντάπασιν ἀμελοῦντας.

**Ἐν δὲ τοῖς οὐκ ἀκριβέσι τριταίοις οὐδὲ λούειν εὐθὺς κατ᾽ ἀρχὰς ἀγαθόν. —*

Ἐπειδὴ γὰρ ἐπὶ τούτων ἐστὶ περιττὸν φλέγμα, δέος μὴ διὰ τῶν βαλανείων, ὅσον ἐν αὐτῷ λεπτομερέστατον ἕστηκε, κενώσαντες τὸ λοιπὸν δυσδιαφόρητον ποιήσωμεν. ἄλλως

1) liquidiora G.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 320 sur 382

τε καὶ συμβαίνει, χύσεως γινομένης ἐν τοῖς λουτροῖς, ἀναμίγνυσθαι τὰ χρηστὰ τοῖς ἀχρήστοις, καὶ οὕτως ἐν τῷ παντὶ σώματι διαφθείρεσθαι χυμούς. ἀλλ' ἡνίκα ἂν ἴδῃ τε καὶ φαίνηται τὰ σημεῖα τῆς πέψεως, τουτέστιν ἐν τῇ ἀκμῇ 1) τῆς πέψεως, ποτὲ καὶ λελεπτυσμένος ὁ χυμὸς ἑτοίμως ὑπακούει πρὸς κένωσιν.

*Οὐδὲ καθ' ἡμέραν τρέφειν, ἀλλ' ἀρκεῖ παρὰ μίαν.* —

Τοῦτό φησιν, ἐπειδὴ φλέγμα περιττὸν αὐτοῖς ἐναποκείμενον, δύναται ἐν ταῖς ἡμέραις ταῖς ἐν μέσῳ καταστῆναι, ἀσιτίαν δὲ 2) παραλαμβάνομεν εἰς αἷμα μεταβαλλόμενον, τροφῆς λόγον ἀποσώζειν τοῖς μορίοις. χρὴ δὲ σκοπεῖν εἰ ἀντέχει πρὸς τοῦτο ἡ δύναμις, ἢ καὶ συνήθως εἶχεν ὁ κάμνων ἐν τῷ ὑγιαίνειν συνεχῶς ἐσθίειν. ἐπὶ τούτων γὰρ οὐκ * 3) ἐνδέχεται παρὰ μίαν αὐτῶν τρέφοντες, λεπτομερεστέραν τροφὴν παρέχοντες, ἵνα διὰ τῆς λεπτότητος τὸ ποσὸν κολάσωμεν.

*Ἡσυχία δὲ καὶ θάλψις τῶν καθ' ὑποχόνδριον αὐτοῖς συμφέρει.* —

Οἶδε γὰρ ἡ κίνησις εἰς τὰ 4) ἐκτὸς τὴν φύσιν ἐπάγειν αὐτὴν, ἀπὸ τῆς τοῦ χυμοῦ πέψεως. δεῖ τοίνυν ἐπὶ τούτων ἡσυχίαν παραλαμβάνειν, ἀλλὰ καὶ θάλψιν τὴν διὰ καταπλασμάτων τῶν δυναμένων πέττειν τὸν ἐν τῇ γαστρὶ περιεχόμενον φλεγματικὸν χυμὸν, καὶ μέντοι καὶ χαλᾷν τὴν ἀπὸ τοῦ φλέγματος ἐγγενομένην τῇ γαστρὶ διάτασιν.

*Καὶ ῥοφήματα τὰ εὔπεπτα.* —

Ἐὰν γάρ τι τῶν δυσπέπτων παρασχῶμεν, κίνδυνος πρῶτον μὲν ἐπὶ τούτων κάμνειν τὴν δύναμιν· ἔπειτα καὶ ἀπὸ τῆς ἀπεψίας εἰς φλέγμα μεταβαλλούσης τοὺς χυμοὺς, ὁ προκείμενος χυμὸς αὐξανόμενος, 5) χρονιώτερος γίνεται.

---

1) morbi G. Fort. τῆς νόσου. 2) ac ad melius reduci, inediaque injuncta G. Fort. παραλαμβανόμενον sive Genit. absolut. 3) ἐντέχεται A. Locus est corruptus. Gadald: In his enim non alternis diebus, sed quotidie nutrire eum debemus etc. 4) ἐντο3 A. ad exteriora G. 5) febris add. G.

Καὶ κλύσματα τῆς κάτω γαστρὸς μὴ πάνυ μαλακά. —

Δεῖ γὰρ ἐπὶ τούτων κλύσμασι χρῆσθαι δριμυτέροις, ἵνα τὸν χυμὸν χολώδη ὄντα καὶ γλίσχρον ἐκμοχλεύσῃ καὶ κενώσῃ.

Καὶ εἰ αἵματος ἀφαιρέσεως δέοιντο, μηδὲ τοῦτο παραλιπεῖν. —

Δεῖται γὰρ ὁ κάμνων δηλονότι φλεβοτομίας, εἰ πλῆθος εἴη καὶ εἰ ἀκίνδυνος τὴν ἡλικίαν, καὶ μάλιστα εἰ κατὰ ἐαρινὴν ὥραν ὁ πυρετὸς αὐτῷ συσταίη. δύναται γὰρ ἡ φύσις τοῦ λοιποῦ ῥᾷον περιγενέσθαι.

Ἀλλά τι καὶ τοῦ τμητικωτέρου καὶ θερμοτέρου τρόπου προσεπιλαμβανέσθω. —

Ἵνα τῇ μὲν θερμότητι τὸ ψυχρὸν τοῦ χυμοῦ κολάσωμεν, τῇ δὲ τμητικῇ δυνάμει τὸ παχὺ καὶ κολλῶδες αὐτοῦ λεπτύνωμεν καὶ εὔκριτον ποιήσωμεν.

Μάλιστ᾽ ἂν ἁρμόσειεν αὐτοῖς ὁ τῆς πτισάνης χυλός. —

Ἡ πτισάνη, ὅσον μὲν ἐπιρύπτει, συμβάλλεται τοῖς τοιούτοις πυρετοῖς, ἀλλ᾽ ἐπειδὴ ψύχουσα καὶ ὑγραίνουσα τὴν ὕλην αὐτῶν ἐπαύξει, τουτέστι τὸ φλέγμα, συμφωνοῦσα τῇ αὐτοῦ κράσει, διὰ τοῦτο τοιαύτας ἐν αὐτῇ ποιότητας καθαιροῦμεν τῇ τοῦ πεπέρεως ἐπιμιξίᾳ, καὶ εἴ τι ἄλλο τις ἐπινοεῖν δύναται, θερμαίνειν τε ἅμα καὶ τέμνειν δυνάμενον.

Καὶ τἄλλα δὲ ὅσα οὖρα κινεῖ πλὴν τῶν ἄκρως θερμαινόντων τε καὶ ξηραινόντων. —

Ἐπεὶ πολὺ θερμαίνοντα καὶ ξηραίνοντα τὸν πυρετὸν ἐπαύξει τῇ ἑαυτῶν δριμύτητι. καὶ ἄλλως εἰκός ἐστι ταῦτα 1) δαπανῶντα τὸ τοῦ φλέγματος ὑγρὸν καταλιπεῖν ἐν τῷ σώματι καὶ ὑπόλοιπον γεῶδές τε καὶ πολὺ τὴν φύσιν ὑπάρχον.

Μάλιστα δὲ τοῦ ἀψινθίου διδόναι συνεχέστατα μετὰ τὴν ἑβδόμην ἡμέραν. —

1) δαπανώσεται A.

Τὸ ἀψίνθιον ἐπὶ τούτων παρακελεύεται δίδοσθαι, ἐπειδὴ πέφυκε ῥωννύναι τὸν στόμαχον, ἀσθενῆ δηλονότι ἐν τοῖς ὑποκειμένοις ὄντα πυρετοῖς. εἰ γὰρ μὴ τοιοῦτος ἦν, πόθεν ἐν αὐτῷ συνηθροίζετο τὸ φλέγμα τοσοῦτον, ὥστε καὶ τὸν τριταῖον νοθεύεσθαι; 1) παρέχει μέντοι αὐτὸ μετὰ τὴν ἑβδόμην ἡμέραν διὰ τὰς εἰρημένας ἔμπροσθεν αἰτίας περὶ αὐτοῦ, εἰς ὅσα λυμαινόμενον πρὸ τῆς τοῦ χυμοῦ πέψεως.

*Καί τι τῶν ἐπιεικῶν ὑπηλάτων χρῆσθαι. —*

Ὑπήλατα καλοῦσιν ἀρχαῖοι, ὅσα δύναται μετρίας ποιεῖσθαι κενώσεις διὰ γαστρὸς, οἷόν ἐστι τὸ πολυπόδιον καὶ τὸ ἀλύπιον, ἥ τε λινοζῶστις. ἀλλὰ ταῦτα μὲν ἁπλᾶ, ἔστι δέ τινα καὶ σύνθετα, οἷον ἄλλαι τινὲς σκευασίαι, αἷς ἐπιβάλλονται σκαμμωνία καὶ κολοκυνθὶς καὶ ἀγαρικὸν καὶ ἐλατήριον.

*Ὁ δ᾽ ἐπὶ σιτίοις ἔμετος ἐς τοσοῦτον ἄρα τοῖς ἐν τῷδε πυρετῷ χρονίζουσι χρήσιμος. —*

Τοῖς παλαιοῖς ἐπινενόηνται οἱ μὲν πρὸ τῶν σιτίων βιαιότεροι, καὶ σπαραγμὸν ἐμποιοῦντες οὐκ ὀλίγον· οἱ δὲ μετὰ τὰ σιτία τὸ δραστήριον οὐκ ἔχοντες, οὐ πολλὴν βίαν ἐπάγουσι. χρὴ τοίνυν ἐπὶ τῶν ἀμφημερινῶν παραλαμβάνειν τοὺς μετὰ τὰ σιτία. ποιήσομεν δὲ αὐτοὺς δηλονότι χρήσασθαι λεπτύνουσι σιτίοις, καὶ μεταδεδωκότες ἢ μελίκρατον ἢ οἰνόμελι κελεύσομεν ἐμεῖν. ἀναφέρεται γὰρ πρῶτον μὲν τὰ δοθέντα σιτία, συναναφέρεται δὲ αὐτοῖς καί τις χυμὸς ἀπὸ τοῦ στόματος λεπτυνθείς. ὑπ᾽ αὐτῷ μὲν οὖν τῷ βοηθήματι τοῦ πυρετοῦ 2) ἀπαλλαγῆναι, κενωθέντος τοῦ φλέγματος, ἐφ᾽ ὧν τὸν πυρετὸν νοθεύεσθαι καὶ παρεκτείνειν εἰς μῆκος χρόνου συνέβαινεν.

*Ἑξῆς δὲ περὶ τῶν τεταρταίων ἐροῦμεν. —*

Μετὰ τὴν τοῦ τριταίου, νόθου τε καὶ ἀκριβοῦς, θεραπείαν, ἑπόμενόν ἐστι λοιπὸν ἐπὶ τὸν τεταρταῖον ἐλθεῖν,

---

1) παρέχειν A. praebet G. 2) liberantur G. Fort. om. εἰκός. Fort. ἐφ᾽ ᾧ.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 323 sur 382

διαγνωσθέντα μὲν ἤδη διὰ τῶν προλαβόντων, μόνης δὲ ἰάσεως δεόμενον. χρὴ τοίνυν ἐπὶ τούτων, ἐπειδὴ κατὰ τὴν ἀρχὴν ἄπεπτος ὢν ὁ χυμὸς θηριώδης ἐστὶ, μὴ ἀπομάχεσθαι πρὸς αὐτὸν, ἐπεὶ μᾶλλον 1) ἀγριούμενον ἐπιτίθεται τῷ κάμνοντι, ἀλλὰ παρηγορικωτέρῳ τρόπῳ κεχρῆσθαι. δεῖ τοίνυν ἐπὶ τούτων μὴ παρέχειν τὰ κενωτικὰ τοῦ μελαγχολικοῦ χυμοῦ φάρμακα. οὔπω γὰρ ἐπέφθη, παχὺς καὶ ἄπεπτος ὢν χυμός. καὶ δέος ἐστὶ μὴ τὸ καθάρσιον δυνηθῇ τὸν συνήθη καὶ οἰκεῖον αὐτῷ κενῶσαι χυμὸν τραπὲν κατὰ 2) τὸν χρηστὸν, καὶ διττῶς βλαβῇ τὸ σῶμα, τῇ τε ἀπουσίᾳ τοῦ χρηστοῦ, καὶ τῇ παρουσίᾳ τοῦ λυποῦντος. ἀλλ' ἐπειδὴ ψυχρός ἐστι καὶ ξηρὸς ὁ τοιοῦτος χυμὸς, τοῖς τε θερμαίνουσι καὶ ὑγραίνουσιν ἐπὶ τούτου κεχρῆσθαι. ταῦτα γὰρ τῇ μὲν θερμότητι λεπτύνοντα, τῇ δὲ ὑγρότητι χέοντα, εὐόλισθον αὐτὸν ποιοῦντα ταχέως αὐτοῦ ποιεῖται τὴν κένωσιν.

Εἰ μή τι ἄρα πάνυ σφόδρα φαίνοιτο πλεονάζον αἷμα. —

Ἐπειδὴ καταρχὰς ἀπηγόρευσε τὴν κένωσιν γενέσθαι, προσδιορίζεται λέγων, ὅτι δεῖ ποτε καὶ, τοῦ νοσήματος ἔτι ἀπέπτου ὄντος, φλεβοτομεῖν, ὅταν εἴη πολὺ τὸ αἷμα. χρὴ δὲ προσέχειν ἀκριβῶς τὸν νοῦν. εἰ μὲν γὰρ μέλαν εἴη τὸ κενούμενον, θαῤῥοῦντας ἀδεέστερον δεῖ κενοῦν ἐπὶ πλέον· εἰ δὲ ξανθότερον, στέλλειν. * 3) χρὴ γάρ ἐστι τοῦτο καὶ δέος ἐπ' αὐτοῦ κενωθέντος καταλυθῆναι τὴν δύναμιν. τέμνειν δὲ φλέβα τὴν κατ' ἴξιν τοῦ σπληνὸς, τουτέστι τὴν κατὰ τὴν ἀριστερὰν χεῖρα κατ' εὐθὺ τεταμένην τοῦ μορίου τούτου. καὶ χρὴ διαιρεῖν, οὐ τὴν ὠμιαίαν φλέβα. αὕτη γὰρ τὰ ἀπὸ κεφαλῆς μᾶλλον κενοῖ, καὶ διὰ τοῦτο ἐπὶ τῶν ὀφθαλμιώντων, ἢ ἄλλως τὴν κεφαλὴν ἀλγούντων, ἤ τι τῶν ἄνω μερῶν ὀδυνωμένων, ἐκείνην τέμνομεν. ἐπὶ δὲ τῶν κάτω, οὐ ταύτην, ἀλλὰ τὴν μασχαλιαίαν, δι' ἧς τὰ κάτω δύναται κενοῦσθαι. ἐν ἀπορίᾳ δὲ ταύτης γινόμενοι, ἐπὶ τὴν μέσην τρεπώμεθα, ἥτις ἐκ συνόδου τῆς τε ὠμιαίας 4) γίνεται. καὶ ἀγαπήσομεν

---

1) Fort. ἀγριούμενος. 2) Fort. τὸ. 3) Fort. χρεὼν. 4) G. addit καὶ τῆς μασχαλιαίας.

τηνικαῦτα τὴν κένωσιν ἀπὸ παντὸς σώματος ποιήσασθαι, τῶν τε ἄνω καὶ τῶν κάτω.

Καὶ δίαιταν ἐφεξῆς ἄφυσον καὶ χρηστὴν διαιτᾶσθαι. —

Οἶδε γὰρ τὰ φυσώδη περιττώματα τῷ σπληνὶ παρατιθέμενα αἴρειν τε αὐτὸν καὶ ἀπεψίας αἰτία γίνεσθαι, ἥτις τὰ μεγάλα τῷ σώματι λυμαίνεται· οὐδὲ λέγειν δέον.

Μαλάττοντας τὴν γαστέρα, καθ' ὅσον οἷόν τε διὰ τῶν συνήθων. —

Χρή φησιν ἐπὶ τῶν τοιούτων ὑπάγειν ἀεὶ τὴν γαστέρα, μὴ φαρμακεύοντας αὐτὴν, ἐφ' ὅσον ἐνδέχεται. 1) οἶδε γὰρ ἡ φαρμακεία δηλητηριώδη τινὰ τοῖς σπλάγχνοις ἐντιθέναι ποιότητα καὶ κακίαν, ἀλλὰ διὰ τῶν συνήθων. συνήθη δὲ καλεῖται ἐδέσματα, οἷον γάλα καὶ μέλι καὶ τὰ δι' ἐλαίου καὶ γάρου ῥοφήματα καὶ λαχάνων ὅσα δύναται τὴν γαστέρα μαλάττειν. εἰ δὲ συνοίδαμεν, ὅτι οὐδὲν ἡμῖν ἀξιόλογον ἐπὶ τούτοις ἀποβαίνει, τηνικαῦτα λοιπὸν ἐξ ἀνάγκης ἐπὶ τὰ φαρμακώδη τρεπώμεθα, κλύσμασι κεχρημένοι καὶ πρῶτον μὲν μαλακοῖς, ἵνα πάλαι τὸν χυμὸν ξηρὸν ὄντα ὑγραίνωμεν, ὕστερον δὲ καὶ δραστηρίοις, ἐπειδὴ τὸ τοῦ χυμοῦ πάχος οὐκ ὀλιγάκις τινὸς βίας δεῖται καὶ 2) μοχθηρίας εἰς ἀποκένωσιν.

Χοιρείων δὲ εἴργειν αὐτοὺς κρεῶν καὶ πάντων ὅσα γλίσχρα καὶ βραδύπορα. —

Καθόλου γὰρ βούλεται πᾶσαν ἐπὶ τούτων τὴν δίαιταν εἶναι λεπτομερῆ, οὐ παχέων καὶ γλίσχρων χυμῶν γεννητικὴν, ἐπειδὴ ταῦτα τὰς ἐκκρίσεις ἐπέχει, καὶ τῷ μελαγχολικῷ χυμῷ προστιθέμενα διπλασιάζει τὸν πυρετόν.

Καὶ τῶν ψυχόντων καὶ τῶν ὑγραινόντων ἐδεσμάτων ἁπάντων, οἴνῳ δὲ χρῆσθαι. —

Τοῦτο ἅμα δεῖ νοῆσαι, οὐ διῃρημένως. ἐὰν γὰρ αὐτὸ διελόντες εἴπωμεν, ὅτι δεῖ τῶν ψυχόντων αὐτοὺς εἴργειν, καὶ τῶν ὑγραινόντων πάλιν, ὅσον μὲν ἐπὶ τοῖς ψύχουσιν

1) ᾧδε A. solet G. 2) Bene conjecit G. μοχλείας.

ἀληθής ἐστιν ὁ λόγος, ὅσον δὲ ἐπὶ τοῖς ὑγραίνουσιν οὐκέτι. ἐλέγομεν γὰρ ὅτι δεῖ τὸν χυμὸν, ξηρὸν ὄντα, ὑγραίνειν. ἀλλὰ τὸ ὅλον τοῦτο δεῖ αὐτοὺς ἀπέχειν τῶν ἅμα ψυχόντων καὶ ὑγραινόντων. εἰ δέ τι τῶν ὑγραινόντων εἴη τοῦ ψύχειν χωρὶς, οὐκ ἂν ἀπὸ τρόπου τοῦτο αὐτοῖς προταχθείη. ἀμέλει παρέχει τούτοις οἶνον λευκὸν καὶ λεπτὸν, καὶ ὑγραίνειν δυνάμενον, διὰ τὸ πάσας αὐτῶν προτρέψασθαι τὰς φυσικὰς ἐκροάς.

Καὶ τῶν πτηνῶν τοῖς εὐχύμοις καὶ οὐχ ἑλείοις. —

1) Ἃ γὰρ ἐν τοῖς ἑλείοις διατρίβουσι, περιττωματικωτέραν ἔχει τὴν σάρκα, ὡς ἀεὶ τροφὴν ἑλωδεστέραν ἐκ τοῦ ὕδατος τρεφόμενα.

Καὶ ἰχθύων τοῖς εὐπέπτοις τε καὶ μαλακοσάρκοις καὶ μηδὲν γλίσχρον ἔχουσιν. —

Τοὺς μὲν μαλακοσάρκους τῶν ἰχθύων αἱρεῖται, διὰ τὸ ῥᾷον αὐτοὺς πέττεσθαι. χρὴ δὲ τούτων αἱρεῖσθαι τοὺς ἔχοντας ἀπέριττον τὴν σάρκα καὶ μὴ γλίσχραν, οἷον τρίγλαι μὲν σκληραὶ, καὶ ὀνίσκοι οὐδὲν γλίσχρον ἔχουσι. κέφαλοι δὲ καὶ 2) σηπίαι, γλίσχρων εἰσὶ γεννητικοὶ χυμῶν.

Καὶ ταρίχει δὲ καὶ νάπυϊ χρῆσθαι. —

Ἄξιον ζητήσεως, πῶς αὐτὸς ἀπανταχοῦ τὰ ταριχηρὰ μελαγχολικὰ λέγων εἶναι, καὶ αὐτὰ προστάττει. φησὶ γὰρ, ὅτι τοὺς ἅλας αὐτοῖς ἐπιπάττοντες τὴν μὲν ὑγρότητα τὴν ἐν αὐτοῖς δαπανῶμεν, τὴν δὲ λοιπὴν αὐτῶν οὐσίαν ἐῶμεν, ξηράν τε καὶ ἄνικμον οὖσαν, καὶ εἰς μελαγχολικὸν χυμὸν 3) ἐπιτηδείαν μεταβληθῆναι. πῶς οὖν τοῖς τεταρταΐζουσι παρέχει, τοῦ τοιούτου πεπληρωμένοις χυμοῦ; καὶ λέγομεν ὅτι νῦν οὐχ ὡς τροφὴν, ἀλλ' ὡς φάρμακον ταῦτα προσάγει. 4) διὸ καὶ νάπυ μίγνυσιν αὐτῶν τῇ ἐδωδῇ. χρὴ δὲ αὐτοῖς κεχρῆσθαι δι' ἡμερῶν, ἵνα καὶ τῇ λεπτότητι λεπτύνῃ καὶ τῇ οὐσίᾳ μηδεμίαν ἀξιόλογον προσθήκην ποιήσηται.

---

1) τὰ A. 2) σηπεῖαι A. 3) ἐπιδείαν A. 4) δύο A.

*Καὶ δι᾽ ἡμερῶν τινων τὸ διὰ τριῶν πεπέρεων προσλαμβάνειν.* —

*Αἱ γὰρ τοιαῦται τῶν ἀντιδότων, τῇ θερμότητι λεπτύνουσαι τοὺς χυμοὺς, οὐκ ὀλίγα συμβάλλονται.*

*Τρίψεων δὲ καὶ περιπάτων καὶ λουτρῶν καὶ τῶν ἄλλων τῶν συνήθων μὴ παντελῶς εἴργειν.* —

Ἐπειδὴ δυνατόν ἐστι, διὰ τῶν κινήσεων τούτων 1) ἀραιοῦντα τὸ δέρμα, καὶ τὴν ὕλην λεπτύνοντα, μέρος τι τοῦ χυμοῦ διαφορεῖν. εἰ δὲ δύναιντο τοῦ λουτροῦ ἀπέχεσθαι, μεγάλως αὐτοῖς τοῦτο συμβάλλεται, ἐπειδὴ 2) τὸ βαλανεῖον, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν, συμβαίνει τὰ χρηστὰ τοῖς ἀχρήστοις συμμιγέντα, τῶν ὅλων ποιήσασθαι διαφθορὰν ἤγουν τὰ λεπτομερῆ διαφορηθέντα τὸ παραλειπόμενον δυσέκκριτον ἀπεργάσασθαι.

*Εἰ δ᾽ ἐν ἀκμῇ μάλιστα δοκοίη τοῦ νοσήματος εἶναι ὁ κάμνων, τότε χρὴ διαιτᾷν μὴ λεπτότερον.* —

Ἀεὶ γὰρ τοῦτο παρακελευόμεθα, τὸ τῆς διαίτης λεπτότατον εἰς τὴν ἀκμὴν φυλάττειν, φησὶν, ἵνα μὴ περὶ τὴν πέψιν ἡ φύσις ἀπασχολοῖτο, τοῦ νοσήματος ἀμελοῦσα. 3) χρὴ τοίνυν τηνικαῦτα λεπτῶς διαιτᾷν ἤπερ ἔμπροσθεν καὶ ὄπισθεν. ἔμπροσθεν μὲν γὰρ ἁδρότερον διαιτῶμεν, διὰ τὸ μὴ καταβληθῆναι τὴν δύναμιν, τῷ μήκει τοῦ χρόνου ταλαιπωρεῖσθαι 4) μέλλουσαν, ὄπισθεν δὲ ταλαιπωρηθεῖσαν ἤδη πάλιν ἀνακτήσασθαι βουλόμενοι, παχυμερεστέρᾳ διαίτῃ χρώμεθα.

5) * *Εὐθὺς δὲ ἡσυχάζειν εἰς μακρὸν κελεύειν.* —

Ἐπειδὴ γὰρ ἤδη προπαρεσκεύασται ὁ χυμὸς, καὶ προλελεπτυσμένος ἑτοίμως ὑπακούει τοῖς κενωτικοῖς φαρμάκοις, δεῖ οὖν 6) τοῖς δυναμένοις αὐτὴν καθαίρειν. τοιοῦ-

---

1) ἀραιούντων A. 2) Fort. om. κατὰ. 3) χρῆται νῦν A. 4) μελλουσῶν A. 5) Gad. scholion ad haec verba interpretanda habet: Solet enim motio naturae certamen interrumpere. Om. A. Quod sequitur scholion, ad verba Galeni pertinet καὶ εἰ τὰ τῆς πέψεως τοῦ νοσήματος σημεῖα καὶ τὰ ἑξῆς. — 6) Addas χρῆσθαι.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 327 sur 382

τον δέ ἐστι τὸ ἐπίθυμον, καὶ ὅσα τὸν μελαγχολικὸν οἶδε τοῦ σώματος ἀπείργειν χυμόν.

*Τηνικαῦτα δὲ συνεχῶς καὶ μηδενὸς κωλύοντος ἐλλέβορον λευκὸν διδόναι.* —

Συνεχῶς ἐπὶ τούτων παρακελεύεται παρέχειν τὸν ἐλλέβορον, ἐπειδὴ κατὰ ἀκμὴν ὁ μελαγχολικὸς χυμὸς πεπεμμένος καὶ λεπτυνθεὶς ἀπὸ παντὸς τοῦ σώματος ἐς τὴν γαστέρα συῤῥεῖ, καὶ δέος ἐστὶ, μὴ 1) κακῶς ὤσῃ τὸ στόμα τῆς γαστρὸς καὶ λειποθυμίαν ἢ συγκοπὴν ἐργάσηται. χρὴ τοίνυν συνεχῶς τῇ τοῦ ἐλλεβόρου κενώσει κεχρῆσθαι. τὸν δὲ ἐλλέβορον ἐνδέχεται διαφόροις τρόποις παρέχειν, ποτὲ μὲν 2) ἀποζεννύντες αὐτὸν ἐν ὕδατι, τὸ 3) ἀπόζεμα διδόναι. ἔστι δὲ ὅτε αὐτοῦ τοῦ ἐλλεβόρου τὴν οὐσίαν κόπτοντες παρέχομεν ἢ λεπτομερεστέραν ἢ παχυμερεστέραν, ἧττον μέντοι βουλόμενοι κενῶσαι, λεπτομερεστέραν· φθάνει γὰρ ταχέως συνεκκριθῆναι τῷ χυμῷ τὸ φάρμακον, ἐμβραδύνον δὲ τὴν αὐτοῦ μᾶλλον ἐνέργειαν ἐνδείκνυται. ἔστι δὲ ὅτε τοὺς τοῦ ἐλλεβόρου 4) κλόνους λαβόντες, ἐπήγνυμεν αὐτοὺς ῥαφανίσι, καὶ ταύτας ἐῶμεν ἐν ὀξυμέλιτι βρέχεσθαι μίαν ἢ δευτέραν ἡμέραν, καὶ ὕστερον ἀφαιροῦντες τὸν ἐλλέβορον παρέχομεν αὐτοῖς τὰς 5) ῥαφανίδας ἐσθίειν, ἐμπεριεχομένης ταῖς ῥαφανίσι τῆς τοῦ ἐλλεβόρου ποιότητος.

*Τοῦ τε διὰ τῶν ἐχιδνῶν φαρμάκου πίνειν διδόναι.* —

Τὴν θηριακήν φησι τὴν συνήθη τούτοις παρέχεσθαι. αὕτη γὰρ λεπτύνουσα δύναται, εἴ τι λείψανόν ἐστι τοῦ χυμοῦ τούτου, ἐκκρῖναι καὶ διαφορῆσαι καὶ μετασυγκρῖναι. χρῆσθαι δὲ μὴ μόνῃ ταύτῃ, ἀλλὰ καὶ ταῖς ἄλλαις ἀντιδότοις, ὅσαι πρὸς τοὺς πυρετοὺς εὐδόκιμοι ὦσιν. ἐπινενόηται γοῦν αὐτῷ τοιοῦτον ὅ τι φάρμακον ὀποῦ κυρηναϊκοῦ 6) λέγεσθαι. ὅτι δὲ καὶ ἄλλος ἐστὶν ὀπὸς κυρηναϊκὸς 7) ὁ καλούμενος μηδικὸς, εὔδηλον.

---

1) Fort. κακώσῃ. 2) ἀποξωνῦντες A. decoquentes G. 3) ἀπόζεμεν A. 4) Legendum κλῶνας. 5) ῥαφανίσιν A. 6) Fort. λέγεται. 7) Addam καί.

Ὅσοι δὲ κατ' ἀρχὰς τῶν τοιούτων τι φάρμακον ἔδοσαν καὶ τὰ ἑξῆς. —

Ὥσπερ ἀπ' ἀρχῆς κατὰ βραχὺ τὴν μείωσιν ἐποιησάμεθα, ἄχρις οὗ καταντήσαντες εἰς τὴν ἀκμὴν, εἰς ἀσιτίαν ἐλήξαμεν, οὕτω δὴ μετὰ τὴν ἀκμὴν οὐκ ἀθρόως ἀνάγειν αὐτοὺς ἐπὶ τὴν ἁδροτέραν δίαιταν, ἀλλὰ κατὰ βραχὺ καθ' ἑκάστην ἡμέραν ὀλίγον προστιθέντας, ἵν' οὕτως ἐκ προσαγωγῆς ἐθίσωμεν τὴν φύσιν ἀνέχεσθαι σιτίων παχέων καὶ δυναμένων τρέφειν τὸ σῶμα. οἶδε γὰρ ἡ ἀθρόα μεταβολὴ ταράττειν τὴν δύναμιν, ἄλλως τε καὶ ὅτι ἀσθενὴς οὖσα ὑπὸ τῆς προγεγενημένης τοῦ πυρετοῦ δυσκρασίας καὶ τῆς περὶ τὸ νόσημα μάχης, οὔπω δύναται τὰ ἰσχυρότερα τῶν σιτίων κατεργάσασθαι. καὶ χρὴ αὐτὴν ἐκβιβάζειν εἰς τὸ ὑγιεινὸν ἔθος κατὰ βραχὺ, τῷ ἀναληπτικῷ κεχρημένους τρόπῳ.

Αἵματος δ' ἀφαίρεσις διά τε τὸ μέγεθος τοῦ νοσήματος καὶ οἷς πολὺ πλέον ἐρευθός ἐστι τοῦ κατὰ φύσιν. —

Χρὴ γὰρ ἐπὶ τούτων διελόντας τὴν φλέβα, διάπνοιάν τε ἐργάσασθαι, ὡς ἐκ τούτου τὴν τοῦ σηπεδόνος παῦσαι κακοήθειαν, καὶ μέντοι καὶ τοῦ αἵματος ἀφελόντας μέρος, ἐπιτρέψαι τῇ φύσει, 1) οἱ τῆς φλεβοτομίας ἀπαγορεύοιεν τοῦτο σκοποὶ, οἷον ὁ ὄγκος τοῦ σώματος, φλέβες τεταμέναι, δύναμις εὔρωστος, ἡλικία ἀκμαστικὴ, καὶ ὅσα ἄλλα δεῖ ζητεῖν ἐπὶ τῆς τοῦ αἵματος ἀφαιρέσεως.

Ὑγραὶ δὲ δίαιται πᾶσι τοῖς ὀξέσι πυρετοῖς συμφέρουσιν.—

2) Ὅ γε νόμος τοῦ Ἱπποκράτους παρακελευομένου τῷ θερμῷ καὶ ξηρῷ νοσήματι τὴν ψυχρὰν καὶ ὑγρὰν ἀντιτιθέναι δίαιταν. ἀλλὰ τὴν μὲν ὑγρὰν ὠνόμασεν, ὡς ἂν ἀσφαλεστέραν αὐτῆς εἰδὼς τὴν χρῆσιν, τὴν μέντοι ψυχρὰν, ἐπειδὴ τὸ σφαλερὸν 3) πολὺ ἔχοι, παρεσιώπησε, δεομένην προσδιορισμῶν. δεῖ γὰρ τὰ ψυχρὰ παρέχειν μετὰ τὴν τοῦ νοσήματος πέψιν, δυνάμεως ἰσχυρᾶς ὑποκειμένης,

---

1) Fort. el. Secare autem venam debemus, si sane scopi etc. G
2) ὁ γενόμενος A. 3) πολὺν A.

ἔθους ὑπαγορεύοντος, μηδενὸς τῶν κυρίων μορίων ἀσθενοῦς ὑπάρχοντος. καὶ πάντα ταῦτα ζητείσθω κοινῶς ἐπί τε τῶν 1) ἐχόντων ἁπάντων, καὶ μάλιστα τῆς τοῦ ψυχροῦ ὕδατος πόσεως, ἀγωνιστικωτάτης οὔσης ἐν τοῖς τοιούτοις πυρετοῖς.

**Τῶν δὲ μετὰ συμπτωμάτων πυρετῶν οὐκέθ' ἁπλῶς οὕτως, ἀλλὰ μετρῆσαι χρή. —**

2) Διειλεγμένος ἤδη περὶ πυρετῶν, νόθων τε καὶ γνησίων, νῦν ποιεῖ τὸ πάλαι ὑποδεχόμενον. αὐτὸς γὰρ ἀνωτέρω ὑπέσχετο, πρῶτον μὲν τῶν πυρετῶν τῶν ἄνευ συμπτωμάτων παραδώσειν τὴν θεραπείαν, ὕστερον δὲ καὶ τῶν μετὰ συμπτωμάτων. εἰρήκαμεν δὲ ἐν ἐκείνοις, ὅτι συμπτώματα νῦν φησιν, οὐ τὰ συνεισβαλλόμενα τοῖς νοσήμασιν ἐξ ἀνάγκης, ἀλλὰ τὰ ἐπιφαινόμενα· 3) δύνανται καὶ γενέσθαι καὶ μὴ γενέσθαι. χαλεπὸν μέντοι οὕτως ἐστὶν, ἐὰν γένηται, ὥστε τὸν ἰατρὸν ἀποστῆναι μὲν τῶν νοσημάτων, αὐτοῖς δὲ τὴν ὅλην προσενεγκεῖν ὠφέλειαν, καίτοι τῶν ἰατρῶν ἀεὶ τὰ νοσήματα προηγουμένως ἐθελόντων ἰᾶσθαι, ὧν θεραπευομένων, συνθεραπεύεται καὶ τὰ νοσήμασι γινόμενα συμπτώματα. ἀλλὰ διὰ τὴν τούτων κακοήθειαν ἀναγκάζονται πολλάκις, ὡς εἰρήκαμεν, ἀφέντες τὰ νοσήματα, τὸ πολὺ τῆς σπουδῆς περὶ τὴν τῶν συμπτωμάτων ἐπιδείξασθαι παραμυθίαν. χρὴ δ' ἔτι γινώσκειν, ὅτι μὲν ἡ τοῦ νοσήματος θεραπεία συμφωνεῖ τῇ τοῦ συμπτώματος ἀναιρέσει, καὶ τηνικαῦτα ὁ ἰατρὸς ἀγαπᾷ δι' ἑνὸς βοηθήματος δυναμένου πρὸς ἑκάτερα ἀνθίστασθαι, ποτὲ δ' ἀλλήλοις ἐναντιοῦται. καὶ τὸ τῶν συμπτωμάτων ἀναιρετικὸν αὐξητικὸν γίνεται τοῦ νοσήματος ἢ τὸ ἐναντίον. καὶ δεῖ τηνικαῦτα παραβάλλειν ἀλλήλοις * τοῦ τε νοσήματος καὶ τοῦ συμπτώματος, καὶ πρὸς τὸ κατεπεῖγον ἵστασθαι. κατεπείγει δὲ δηλονότι τὸ μᾶλλον καταλῦον τὴν δύναμιν, κἀκείνου μὲν φροντίζειν, οὐ μὴν τοῦ ἑτέρου καταφρονεῖν.

**Φέρε γὰρ εἴ τις πυρέττοι μὴ τῆς καλ· υμένης πληθωρικῆς διαθέσεως παρούσης. —**

1) ψυχόντων conjec. G. 2) διηλεγ. A. ) Fort. om. ἃ.

Πληθωρική ἐστι διάθεσις, ἡ τῶν τεσσάρων χυμῶν αὔξησις. ἔστι δ᾽ ὅτε καὶ τὴν τοῦ αἵματος ἀμετρίαν οὕτως ὀνομάζουσιν. συμβαίνει δ᾽ ἐνίοτε πληθωρικῷ τινι ἀνθρώπῳ πυρετὸν γενέσθαι, κἀκωθέντι τὸν στόμαχον ἢ ὑπὸ ἐμέτου μοχθηρῶν χυμῶν, τῇ διόδῳ κακούντων αὐτὸν, ἤγουν καὶ ὑπὸ διαφορᾶς σιτίων ἐξ ἀπεψίας διαφθαρέντων· δηλονότι τὸν στόμαχον δάκνοντα, δυσφορεῖν τε καὶ ἀλύειν αὐτὸν ποιεῖ. τί οὖν ἐνταῦθα χρὴ πρότερον θεραπεῦσαι, πότερον 1) * . . . . . ἢ τὸ πλῆθος κενωτέον; ἀλλ᾽ οὐκ ἐνδέχεται τοῦτο δίχα βλάβης ἐργάσασθαι, θεραπευθέντος τοῦ στομάχου. οὔκουν ἄμεινον, ἐπὶ τὴν τούτου θεραπείαν πρῶτον ἐλθόντας, οὕτως ὕστερον τὰ τοῦ πλήθους κενωτικὰ παρασχεῖν.

Ἀλλὰ καὶ εἰ σπώμενός τις ἅμα καὶ κενώσεως αἵματος εἴη χρήζων καὶ τὰ ἑξῆς. —

Ὅτι μὲν ὁ σπασμὸς κίνησίς ἐστιν ἀπροαίρετος ἐν προαιρετικοῖς ὀργάνοις γινόμενος, καὶ ὅτι μήκους ἀφαίρεσιν τὰ σπώμενα τῶν μορίων ὑπομένει, πολλάκις εἰρήκαμεν. ἀλλὰ καὶ ὅτι τὸ τοιοῦτον σύμπτωμα ἢ ὑπὸ πληρώσεως ἢ ὑπὸ κενώσεως γίνεται, οὐδεὶς ἀγνοεῖ. νῦν οὖν ὑποκείσθω γεγενημένος ὑπὸ πλήθει ὁ σπασμὸς, οὐκοῦν ἡ τούτου θεραπεία διὰ τῆς ἐναντιώσεως γίνεται, ὅ ἐστιν ἡ κένωσις. ἀλλ᾽ οὐ χρὴ τοσαύτην ποιήσασθαι τὴν κένωσιν, ὅσον ὑπαγορεύει τὸ πλῆθος, ἀλλὰ δεῖ μέτριον κενῶσαι, ἐάσαντες τὸ λοιπὸν 2) τῶν σπασμῶν. δυναμένου διὰ τῆς 3) ἀμέτρου κενώσεως ξηραίνειν τε καὶ διαφορεῖν τοσοῦτον, ὅσον ἡ τοῦ 4) παραλελειμμένου πλήθους ἀναλόγως ἐνδείκνυται, καὶ μάλιστα ὅτι κενώσαντες ἀμέτρως, εἰκός ἐστι καταβληθῆναι τὴν δύναμιν ὑπό τε τοῦ συμπτώματος καὶ τῆς ἀμέτρου κενώσεως ἐνοχλουμένην.

Οἷον δὲ σύμπτωμα καὶ τὴν τοῦ περιέχοντος ἀέρος ὑπολογιστέον 5) κρᾶσιν. —

---

1) Numquid stomachum curare prius oportet G. addit. 2) τῷ σπασμῷ G. Legerim: τῶν σπ. δυναμένων. 3) G. proponit ἐμμέτρου. 4) παραλελυμένου A. Fort. ἀναλογία. 5) κρίσιν A.

Καλῶς προσέθηκε τὸ, οἷον σύμπτωμα, ἐπειδὴ ὁ περιέχων ἡμᾶς ἀὴρ, οὐκ ἐν τῷ σώματι περιεχόμενος, ἀλλ᾽ ἔξωθεν θεωρούμενος, τὰς ὑπ᾽ αὐτοῦ λαμβανομένας ἐνδείξεις ἡμῖν εἰς τὴν κένωσιν παρέχεται. χρὴ τοίνυν μήτε θερμοῦ τούτου καὶ ξηροῦ τυγχάνοντος, μήτε ψυχροῦ καὶ ὑγροῦ, τὴν κένωσιν ποιεῖσθαι. τούτων γὰρ ἑκατέρα τῶν κράσεων οὐκ ὀλίγα λυμαίνεται τοῖς σώμασιν. ἀλλ᾽ ἡ μὲν θερμὴ καὶ ξηρὰ συγκοπὴν ἐπάγουσα διὰ τῆς 1) ἐμμέτρου διαφορήσεως, ἡ δὲ ψυχρὰ καὶ ὑγρὰ, καταψύχουσα τὸ σῶμα καὶ μάλιστα ἐν ταῖς εἰσβολαῖς τῶν παροξυσμῶν, 2) πνίγος ἀπειλεῖ. ἐπειδὴ γὰρ ἐμάθομεν, ὅτι κατὰ τὸν καιρὸν τοῦτον τὸ σῶμα περιψύχεται, ἅτε τῆς φύσεως ἐν τῷ βάθει συννευούσης, καὶ σὺν αὐτῇ τῶν ἐν αὐτῇ ὀχημάτων, τοῦ πνεύματός φημι καὶ τοῦ αἵματος, ἐν οἷς τὸ ἔμφυτον περιέχεται, διὰ τοῦτο 3) προστιθέμενον τῇ ψύξει ταύτῃ ἡ ἀπὸ τῆς κενώσεως τῆς ἀμέτρου ψύξις καὶ 4) ἡ ἀπὸ περιέχοντος, εἰς τοσοῦτον καταψύχει πολλάκις τὸν ἄνθρωπον, ὡς μηκέτι 5) ἂν δυνηθῆναι ἀνενεγκεῖν μηδὲ ἀνανεῦσαι μηδὲ τὴν ἀρχαίαν ἀνακτήσασθαι θερμότητα, καὶ κίνδυνον πολλάκις ἐπήγαγε τῇ τοιαύτῃ δυσκρασίᾳ.

**Κατὰ ταὐτὰ δὲ καὶ τὰς 6) σχέσεις τοῦ σώματος χρὴ σκοπεῖν. —**

Σχέσεις καλεῖ τοῦ σώματος τήν τε πυκνότητα καὶ 7) τὴν μαλακότητα καὶ τὴν σκληρότητα τῶν σαρκῶν. χρὴ ἐπὶ τούτων τοίνυν ζητεῖν, εἰ αἱ 8) σάρκες σκληραί εἰσι καὶ πυκναὶ καὶ μαλακαὶ καὶ ἀραιαί. εἰ μὲν γὰρ εἶεν μαλακαὶ, ῥαδίως ἐπὶ τούτων αἱ ἀτμίδες ἐκ τοῦ βάθους φερόμεναι, τιτρώσκουσί τε αὐτὰς καὶ 9) διαφορεῖσθαι. οὔκουν δηλονότι καὶ μετριωτέρας οἱ τοιοῦτοι δέονται κενώσεως. εἰ δὲ εἶεν σκληραὶ, τοὐναντίον συμβαίνει, καὶ διὰ ταύτην τὴν αἰτίαν ἐπὶ τῶν παίδων φαμὲν εὐδιαφόρητον εἶναι τὴν ἕξιν, οὐχ ὅτι πάντως ἀραιοτέρους ἔχουσι τοὺς κατὰ τὸ δέρμα πόρους, ἀλλ᾽ ὅτι μαλακὴ τούτοις

---

1) ob immoderatam digestionem G. 2) πνῖγον A. Fort. πνιγμόν. 3) Fort. προστιθεμένη. 4) εἰ A. 5) ἐνδυνηθῆναι A. 6) ἕξεις Galen. 7) G. add. τὴν ἀραιότητα καὶ. 8) σάρκαι A. 9) ac digestionis sunt causae. G.

ἐστὶν ἡ σαρξ καὶ κρυώδης, ὑπὸ τῆς ἀμέτρου ὑγρότητος τοιαύτη γενομένη.

Ὁμοίως δὲ καὶ ὅσοι παχεῖς ὑπερβαλλόντως ἢ ἰσχνοὶ καὶ τὰ ἑξῆς. —

Παχεῖς ἐνταῦθά φησιν οὐ τοὺς εὐσάρκους, ἀλλ' ὅσοι πλήθει πιμελῆς καλύπτονται, 1) ψυχρότητος ἀεὶ φιλούσης ἀπογεννᾷν τοιαύτην παχύτητα. δῆλον οὖν ἐστιν, ὡς κενωθέντες οὗτοι ἀμετρότερον εἰς ἔσχατον ἔρχονται ψύξεως, καὶ μάλιστα ὅτι συμβαίνει, τοῦ αἵματος κενωθέντος, τὰς ἐπικειμένας τοῖς ἀγγείοις σάρκας ἐπιπεσούσας κατ' αὐτῶν, σύμπτωσίν τε τῶν φλεβῶν ἐργάσασθαι καὶ ταύτην πνιγμοῦ κίνδυνον ἐπάγειν. ἄξιον ζητήσεως, πῶς ἐπὶ τῶν ἰσχνῶν ἀπαγορεύει τὴν κένωσιν, καίτοι πολλάκις αὐτὸς ἀποφηνάμενος, ὅτι πολλῷ αἱματικώτεροι τῶν ἄλλων εἰσὶν οἱ ἰσχνοὶ, καὶ ὅσον ἐπὶ τούτων μᾶλλον ἀνέχονται τῆς ἀθρόας κενώσεως. καὶ λέγομεν, ὅτι ἐνταῦθα ἰσχνούς φησιν οὐ τοὺς ἐπ' ὀλίγον, ἀλλὰ τοὺς ὑπερβαλλόντως. τοῦτο γὰρ ἐν τῇ λέξει προστέθειται, καὶ δῆλον ὅτι οἱ μὲν παχεῖς ὑπὸ τῆς κενώσεως βλάπτονται ὡς ψυχόμενοι, οἱ δὲ ἰσχνοὶ ὡς ξηραινόμενοι. οὔτε 2) γὰρ οἱ παῖδες οὔτε οἱ γέροντες ἀλύπως αὐτὰς φέρουσιν, οἱ μὲν παῖδες διὰ τὸ τῆς δυνάμεως ἀσθενὲς, οἱ δὲ γέροντες διὰ τὸ ψυχρὸν καὶ ξηρὸν τῆς κράσεως.

Τὰς δ' ἀπὸ τῶν συμπτωμάτων τε καὶ νοσημάτων ἐνδείξεις οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τὴν ἐργαζομένην ἕκαστον αἰτίαν χρὴ σκοπεῖν. —

Τεχνικωτάτῃ μεθόδῳ χρώμενος ὁ Γαληνὸς, ἐνταῦθα τά τε συμπτώματα καὶ τὰ νοσήματα θεραπεύει, τὰς ποιούσας αὐτὰ ζητῶν αἰτίας. συμβαίνει γὰρ ἐνίοτε τοῦ νοσήματος ἑνὸς ἢ συμπτώματος πολλὰς εἶναι διαφόρους αἰτίας, καὶ δῆλον ὅτι τὴν ποιήσασαν αἰτίαν ἀκριβῶς εἰδότα, καὶ πρὸς ἐκείνην ἐνιστάμενον, οὕτω κατάλληλον ποιεῖσθαι τὴν τῶν βοηθημάτων προσφοράν.

---

1) ψυχρότητι A. 2) γε proponit G.

Λειποθυμοῦσι γὰρ ἐπί τε χολέραις καὶ διαῤῥοίαις καὶ δυσεντερίαις. —

Ἡ λειποθυμία οὐδὲν ἕτερόν ἐστιν ἢ ἀθρόα διαφόρησις τοῦ ζωτικοῦ τόνου. γίνεται δ' αὕτη κατὰ γένος μὲν τριχῶς, κατὰ εἶδος δὲ, ὑπὸ πολλῶν αἰτίων. γίνεται γὰρ ἢ διὰ πλῆθος τῷ βάρει πνίγον τὴν δύναμιν ἢ διὰ κένωσιν ἄμετρον, συναισθάνειν 1) ποιοῦσαν τοῖς ἀχρήστοις καὶ τὰ χρηστὰ, ἢ δι' ἀθρόαν μεταβολὴν κράσεως. καὶ πρότερον τὰς τῆς ἀμέτρου κενώσεως αἰτίας ἐκτίθεται κατὰ μέρος, ὕστερον δὲ τῶν λοιπῶν ἐφάπτεται. χολέρα δέ ἐστι χολῆς κένωσις, ἄνωθέν τε καὶ κάτωθεν. διάῤῥοια δὲ γαστρὸς φορὰ, ποικιλλομένη πάλιν καὶ αὕτη ταῖς ποιούσαις αἰτίαις. ἢ γὰρ ἐπὶ διαφθορᾷ γίνεται τῶν σιτίων ἢ ἐπὶ ἐμφράξει τῶν πρώτων φλεβῶν. ἀνάγκη γὰρ τότε, τῆς ἀναδόσεως μηκέτι γινομένης, ὑπάγεσθαι τὴν τροφήν. ἐνίοτε δὲ τῶν εἰρημένων οὐδέν ἐστιν. ἀπὸ δὲ τῶν τοῦ παντὸς σώματος εἰς τὴν γαστέρα συῤῥεόντων ὁ χυμὸς κενοῦται δι' ἐντέρων, ὥστε πρὸς τὴν διάφορον αἰτίαν διάφορον δεῖ προσάγειν καὶ τὴν θεραπείαν.

Καὶ λειεντερίαις καὶ γυναικείῳ ῥῷ καὶ τραύμασιν, αἱμοῤῥοΐσι τε καὶ ἀναγωγαῖς αἵματος καὶ ταῖς διὰ ῥινῶν. —

Λειεντερία ἐστὶ ταχεῖα διέξοδος τῶν σιτίων, τοιούτων φερομένων, ὁποῖα κατεπόθη. γίνεται δὲ αὕτη ἢ ἐπὶ ἐσχάτῃ καταπτώσει τῆς καθεκτικῆς δυνάμεως, τῆς γαστρὸς ἀτονησάσης, ἢ κατὰ τὴν ἔνδον ἑαυτῆς ἐπιφάνειαν ἕλκωσιν ἐπιπόλαιον ἐχούσης 2) σύμφορον. τηνικαῦτα γὰρ τὰ σιτία, τοῦ τῆς γαστρὸς σώματος ἁπτόμενα, 3) ἀνιᾷ τε αὐτὸ καὶ δάκνει καὶ εἰς κίνησιν ὀδυνηρὰν ἀνάγει, ὥστε μηκέτι κατέχεσθαι, ἀλλ' εὐθέως ὥσπερ διὰ σωλῆνός τινος ἀψύχου ἐκκρίνεσθαι, ὅθεν καὶ οἱ ἰδιῶται σωλῆνα τὸ πάθος ὀνομάζουσιν.

Καὶ λοχείαις καθάρσεσιν ἀμέτροις. —

Χρὴ γινώσκειν ὅτι περὶ τὸ ἔμβρυόν εἰσι τρεῖς ὑμένες, ὁ μὲν καλούμενος ἀμνειὸς, ὁ δὲ ἀλλαντοειδής. ἔστι δὲ

1) ποιοῦσα A. 2) inutilem G. ἀσύμφ. 3) ἀνιᾶται A.

καὶ τρίτος ἄλλος, ὃν καλοῦσι χόριον· ὠνόμασται δὲ οὕτως, ἐπειδὴ πολλαὶ φλέβες καὶ ἀρτηρίαι κατ' αὐτόν εἰσιν ὥσπερ ἐν 1) χορῷ τινι συνεληλυθυῖαι, καὶ δι' αὐτοῦ τρέφεται τὸ ἔμβρυον. τοῦτο τοίνυν τὸ χόριον πολλάκις μὲν σὺν τοῖς βρέφεσι κατάγεται, πολλάκις δὲ καὶ μετὰ τὴν ἀποκύησιν ὕστερον κατασπᾶται· εἴτε δ' οὕτως, εἴτ' ἐκείνως, ἀνάγκη αὐτὸ κατενεχθῆναι, 2) ἐπεὶ σηπόμενον κινδύνους οὐκ ὀλίγους ἐπιφέρει τῇ 3) γυνῇ. τηνικαῦτα τοίνυν αἷμα πολὺ ἐν τοῖς κατὰ τὴν μήτραν ἀγγείοις περιεχόμενον, ὃ καὶ κομίζεται μὲν ἀπὸ τοῦ παντὸς σώματος εἰς τροφὴν τοῦ ἐμβρύου, κατενεχθέντος δὲ τούτου, 4) μάτην ἐν αὐτοῖς περιεχόμενον συμβαίνει κενοῦσθαι, καὶ καλεῖται τὸ τοιοῦτον λοχεία κάθαρσις, ἥτις ἀμετροτέρα γινομένη πολλάκις λειποθυμίας ποιεῖ· ἐπήνεγκε δέ ποτε καὶ 5) ἀπεψία, .... ἀνάγκη γεννήσασα πολλὰ περιττώματα, καὶ ταῦτα ἐνίοτε δακνώδη. συμβαίνει δ' αὐτὰ ἢ 6) ἐπισχεθέντα ἢ ἐνεχθῆναι. εἰ μὲν οὖν ἐπέχοιτο ταῦτα, τῷ βάρει καὶ τῇ δήξει ποιεῖ τὴν λειποθυμίαν· εἰ δὲ φέροιντο, τῇ ἀμέτρῳ κενώσει τὸ τοιοῦτον ἐργάζονται.

**Καὶ ὑστερικῆς δὲ πνίξεως ἁπάσης λειποθυμία προηγεῖται. —**

Φησὶ προηγεῖσθαι τὴν λειποθυμίαν, καίτοι ἡ πνὶξ πρῶτον γίνεται, καὶ οὕτως ἡ λειποθυμία ἀκολουθεῖ. καὶ λέγομεν ὅτι ἐνταῦθα καταχρηστικῶς ἐκάλεσε τὴν ὑστερικὴν ἄπνοιαν. διαφέρει γὰρ ἡ ἄπνοια πνιγὸς ὑστερικῆς, εἴ γε ἡ μὲν ἄπνοια γίνεται ἐπὶ σπέρματος περιουσίᾳ σηπομένου, καί τινας μοχθηρὰς ἀναθυμιάσεις πέμποντος παρὰ τὴν καρδίαν καὶ μάλιστα ψυχρὰς, καὶ κατασβεννύντος αὐτὴν, ὥστε καὶ ἄπνοιαν ἐργάσασθαι. συμ-

---

1) χωρῷ A. 2) ἐπισηπόμενον A. G. ἐπισπώμενον conjec. G. Equidem hariolor esse legendum ἐπεὶ σηπ. 3) Sic! 4) μύτην ἐν αὐτοῖς περιέχεται A. G. περιεχόμενον A. habet, quae lectio est erasa. G. correxit: κατενεχθέντος δὴ τούτου συμβαίνει etc. omissis, quae interjecta sunt, verbis. Ego, ni fallor, rectius emendavi. 5) ἀπεψίαν A. Intulit etiam quandoque ipsa inconcoctio animi dejectiones. nam inconcoctio necessario etc. G. 6) Fort. ἐπισχεθῆναι.

βαίνει δὲ ἐνίοτε, καὶ μελαγχολικὰς ἐξ αὐτοῦ φερομένας ἀναθυμιάσεις ἐπὶ τὸν ἐγκέφαλον ἀνατρέχειν καὶ ποιεῖν μελαγχολικὰ συμπτώματα. τοιοῦτον μέν ἐστιν ἡ ὑστερικὴ ἄπνοια· ἡ δὲ πνὶξ γίνεται ἐπὶ σπασμῷ, τῆς μήτρας ἀνεσπασμένης καὶ θλιβούσης κατὰ τὸ συνεχὲς ἔντερά τε καὶ γαστέρα καὶ διάφραγμα καὶ ἀναπνευστικὰ, οὐχ ὥσπερ τινὲς ὑπέλαβον, ὅτι τινὰ μόρια παρελθοῦσα ἡ μήτρα περὶ τὸν θώρακα γίνεται, μᾶλλον δὲ ἐν αὐτῷ τῷ θώρακι ὡς ἀπολαβοῦσα αὐτὸν ποιήσει τὸν πνιγμόν. τοῦτο γὰρ ἀνόητόν ἐστιν· 1) ἐπὶ τοίνυν τῆς ὑστερικῆς ἀπνοίας προηγεῖται πάντως λειποθυμία. καὶ γὰρ οὐδὲν 2) ἕτερόν ἐστιν ἄπνοια ἢ λειποθυμίας ἐπίτασις. καὶ ἀνάγκη τὸ μετριώτερον τοῦ χαλεπωτέρου πάθους ἀεὶ προηγεῖσθαι, ὥστε πρότερον μὲν λειποθυμοῦσιν, ὕστερον δὲ, τοῦ πάθους ἐπικρατοῦντος, καὶ ἡ ἄπνοια ἕπεται. ταῖς δὲ πνίξεσιν, ἃς καὶ ἀναδρομὰς καλοῦσιν, ὡς εἰρήκαμεν, ἡ λειποθυμία ἕπεται.

Προηγεῖται δὲ ἀποπληξίας. —

Ἡ γὰρ ἀποπληξία παντελὴς ἀναισθησία καὶ ἀκινησία τοῦ σώματος οὖσα, προηγουμένην αὐτοῖς ἔχει τὴν λειποθυμίαν, ἐφ᾽ ἧς ἔστι καὶ μετρίως αἰσθάνεσθαι. ἀμέλει τοι πολλάκις ἡ λειποθυμία, ἢ μᾶλλον οἱ λειποθυμοῦντες, ὥσπερ ἐκ βάθους τινὸς ἀκούειν ὑπολαμβάνουσι τῶν λεγομένων, καίτοι σφόδρα βοῶνται, ὡς ἀτρέμα λαλούντων αἰσθάνεσθαι.

Καὶ κακοήθους ἐπιληψίας καὶ διαφορήσεων καὶ συγκοπῶν καὶ μαρασμῶν. —

Ἐπιληψία πάλιν ἐστὶ σπασμὸς τοῦ παντὸς σώματος μετὰ βλάβης τῶν ἡγεμονικῶν ἐνεργειῶν, ἀλλ᾽ οὐ παντελοῦς. ἔστι δὲ καὶ κακοήθης ἡ τοιαύτη, ὅταν συνεχῶς γίνηται, ὡς ἀνίστασθαι καὶ καταπίπτειν, ἐφ᾽ ὧν συμβαίνει, τὴν δύναμιν καταλυθεῖσαν τὸ τῆς λειποθυμίας ὑποστῆναι πάθος.

---

1) ἐπεὶ A. 2) ἔντερον A.

*Ἀλλὰ καὶ συμβάλλει καταβολαῖς πυρετῶν οὐκ ὀλίγαις καὶ μάλισθ' ὅταν ἄκρως ᾖ ξηρόν.* —

Ἐν ταῖς ἀρχαῖς τῶν παροξυσμῶν συμβαίνει ποτὲ λειποθυμίαν γενέσθαι κατὰ δύο τρόπους, ἢ τῷ ἀμέτρῳ καὶ ἀθρόῳ τῆς δυσκρασίας, ἢ καὶ ὅτι τηνικαῦτα συῤῥέοντες εἰς τὸ βάθος οἱ χυμοὶ πνιγμὸν καὶ λειποθυμίαν ἐπιφέρουσιν.

*Καὶ καυσώδει καὶ κακοήθει πυρετῷ συνεισέβαλέ ποτε.* —

1) * Συνεισβάλλει ποτὲ ὁ καῦσος, τῇ ἀμετρίᾳ τῆς διαφορήσεως γινομένης λαύρου τοῦ πυρετώδους θερμοῦ, τὴν λειποθυμίαν ἐπάγει, εἰ καὶ μάλιστα κατὰ τὴν ἀρχὴν τοῦ παροξυσμοῦ διὰ τὴν εἰρημένην αἰτίαν.

*Καὶ ὅσοι διὰ μέγεθος φλεγμονῆς ἥπατος ἢ κοιλίας ἢ στομάχου πυρέσσουσι.* —

Οἱ φλεγμονὰς, φησὶν, ἔχοντες ἔν τινι τούτων τῶν μορίων ἐν ταῖς ἀρχαῖς τῶν παροξυσμῶν, λειποθυμοῦσιν εἰκότως. συῤῥέοντες γὰρ οἱ χυμοὶ καὶ θλίβοντες τὸ ἔμφυτον θερμὸν, ἤδη θλιβόμενον ὑπὸ τῆς φλεγμονῆς, τῷ διπλασιασμῷ τῆς θλίψεως τὴν λειποθυμίαν ἐργάζονται, μάλιστα δὲ οἷς πλῆθος ὠμῶν χυμῶν καὶ ἀπέπτων. τηνικαῦτα γὰρ ἡ δύναμις ἂν 2) ἐπιχειρῆσαι τούτους ἀπώσασθαι, διὰ τὸ γλίσχρον αὐτῶν καὶ παχὺ μὴ ἀνεχομένων ὑπακούειν, ὥστε καταλυθεῖσα ἐξ ἀνάγκης λειποθυμήσει.

3) *Καί τις ἔμφραξις ἐπικαίρου μορίου.* —

*Λειποθυμοῦσι δὲ καὶ ὅσοις τὸ στόμα τῆς γαστρὸς ἄῤῥωστον.* —

Ἐπὶ τούτων γὰρ διὰ τὴν φυσικὴν ἀσθένειαν ἀπὸ τοῦ παντὸς σώματος εἰς τὸ 4) στόμα τῆς γαστρὸς οἱ χυμοὶ συῤῥέοντες, πρὸς τὴν ἑαυτῶν φύσιν καὶ τὴν λειποθυμίαν

---

1) *συνεισβάλλει ποτὲ* e textu ejicit legitque *γινομένου λαύρου* G. 2) *ἐπιχειρήση τούτοις ἀπόσασθαι* A. 3) G. ad haec verba scholion habet hoc: Haec enim in consensum sympatheiamve ducentes principia, animi defectionem faciunt. 4) *σῶμα* A.

ἐργάζονται. εἰ μὲν γὰρ εἶεν οὗτοι παχεῖς ἢ γλίσχροι, τῇ θλίψει καταλύουσι τὴν δύναμιν· εἰ δὲ δριμεῖς ἢ δακνώδεις ἤ τινα ἄλλην 1) μοχθηρὰν ἔχοντες ποιότητα, διὰ τὴν τοιαύτην δυσκρασίαν τὰς συγκοπὰς ἐπιφέρουσιν.

*Καὶ μὲν δὴ καὶ ψυχικῶν παθῶν ἰσχύϊ λειποθυμοῦσί τινες.* —

Χρὴ εἰδέναι ὅτι τὰ ψυχικὰ πάθη, εἰ μὲν ἐπιγένοιντο σφόδρα ἀσθενεῖ δυνάμει, 2) καταλύοντα αὐτὴν, θάνατον ἐπάγει, φθάνοντα τὴν λειποθυμίαν. εἰ δὲ ὁπωσοῦν ἡ δύναμις ἀντέχοι, ἀσθενὴς δὲ ἡ αἰτία εἴη, τὴν λειποθυμίαν ἐργάζεται. ἡ μὲν οὖν λύπη τῇ ἀμέτρῳ ψύξει καὶ 3) τῷ τοὺς χυμοὺς εἰς τὸ βάθος συννεύειν καὶ καταπνίγειν τὴν φύσιν, ποιεῖ τὴν λειποθυμίαν, ἡ δὲ ἡδονὴ 4) τῇ φύσει σκεδαννύουσα καὶ διαφοροῦσα τὸ ἔμφυτον θερμόν.

*Καὶ θυμωθέντες ἐλειποθύμησαν.* —

Ἄξιον ζητῆσαι, πῶς αὐτὸς ἑαυτῷ δοκεῖ ἐναντιοῦσθαι. φησὶ γὰρ ἐν ἑτέροις, ὅτι θυμωθεὶς οὐδεὶς ἀπέθανε, καὶ τοῦτο εἰκότως. ἐπὶ γὰρ τοῦ θυμοῦ ἡ δύναμις συντονωτέρα ἑαυτῆς μᾶλλον γίνεται, ὥσπερ ἔφαμεν, τὸν λυπήσαντα ἀντιλυπῆσαι σπουδάζουσα. καὶ διὰ τοῦτο καὶ φέρεται τηνικαῦτα ἔξω τὸ ἔμφυτον θερμὸν, οἷον δι' ἑαυτοῦ σπουδάζον ἀμύνασθαι τὸν πολέμιον. ἐνταῦθα δὲ τὴν λειποθυμίαν ἐπὶ τῷ θυμῷ γίνεσθαί φησι. λέγομεν τοίνυν, ὅτι ἐπὶ τῶν θυμουμένων, ἐπειδὴ τὸ πνεῦμα καὶ τὸ ἔμφυτον θερμὸν ἔξω 5) ῥέπει, εἰ μὲν εἶεν ἰσχυροὶ τὴν δύναμιν, ἀντέχουσι καὶ οὐ λειποθυμοῦσιν· εἰ δὲ εἶεν ἀσθενεῖς, ὥστε μηκέτι μὴ δύνασθαι τὸν τῆς δυνάμεως τόνον * 6) οἷον, τοιοῦτο λειποθυμοῦσι, καὶ μάλιστα ὅταν ἀραιοὶ τύχωσιν ὄντες τὴν ἕξιν. διὰ τοιαύτην αἰτίαν τοὺς μέν ἐστι τῶν θυμουμένων εὑρεῖν ἐρυθροτέρους, τοὺς δὲ ὠχροὺς καὶ τρομώδεις, τρομώδεις μὲν διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως, μηκέτι δυναμένης ὀχεῖν τὰ μόρια, ἀλλ' ἀτάκτως

---

1) *μοχθηρίαν* A. 2) *καταλύονται* A. 3) *τὸ* A. *καταπήγνειν* A. 4) naturam dissipando G. 5) *ῥύπτει* A. proruit G. 6) ut non amplius facultatis tenorem possint conservare G Fort. *σώζειν, τοιοῦτοι.*

αὐτὰ κινούσης· 1) ὠχρὰ δὲ, διὰ τὸ συνεζεύχθη τῷ θυμῷ καί τινα φόβον, οἷον τοιοῦτον αὐτοῖς ἀπεργάζεται χρῶμα. ἔστι δὲ κἀκεῖνο εἰπεῖν, ὅτι ὁ θυμὸς λειποθυμίαν ποιῶν εἰς θάνατον οὐδέποτ᾽ ἄγει· μέτριος μὲν γὰρ οὐδὲ λειποθυμίαν, μὴ 2) δυνάμενος μηδὲ αὐτὴν τείνεσθαι. εἰ γὰρ ἔχοι τὸ ποιοῦν, οὕτως ἀνάγκη καὶ τὸ γινόμενον ἔχειν. ἀλλὰ μὴν ἡ τῆς λειποθυμίας ἐπίτασις οὐδὲν ἄλλο ἐστὶν, εἰ μὴ θάνατος. οὐκ ἄρα ἐστὶ θάνατος ἐπὶ τῶν 3) λυπουμένων, ὥστε τὸν λόγον ἀληθῆ εἶναι τὸ, θυμωθεὶς οὐδεὶς ἀπέθανε, κἂν τύχῃ λειποθυμήσας.

*Ἀλλὰ καὶ νοτίδες ἔσθ᾽ ὅτε μὴ κατὰ καιρὸν τοῖς οὕτως ἔχουσιν ἐπιφαίνονται. —*

*Τοῖς* οὕτως ἔχουσι, φησὶν, ἐν τοῖς ἀσθενοῦσι τὴν δύναμιν, καὶ ψυχικοῦ πάθους ὑπομένουσιν ἀμετρίαν· ἐπὶ τούτων γὰρ ἀρκοῦσι καὶ 4) μετρίαν νοτίδα ἐπάγειν λειποθυμίαν. εἰ δὲ εἶεν ἰσχυρότεροι, οὐκέτι νοτίδες ἰσχυραὶ τοῦτο 5) ποιῆσαι, ἀλλὰ ἱδρώτων ἀμετρίᾳ τῇ κενώσει τὴν λειποθυμίαν ἐπάγουσιν.

*Ἀλλὰ καὶ διὰ μέγεθος ὀδύνης ἐκλύσεις γίνονται δήξεών τινων ἢ στρόφων. —*

*Οἶδε* γὰρ ἡ τῆς ὀδύνης ἀμετρία διαλύειν τὴν δύναμιν.

*Ἢ εἰλεῶν ἢ κωλικῆς διαθέσεως ἐξαίφνης ἐμπεσούσης. —*

*Εἰλεός* ἐστιν 6) ἔμετος κόπρου· γίνεται δὲ ὑπὸ φλεγμονῆς ἀπολαβούσης τὰ ἔντερα καὶ μὴ συγχωρούσης τῇ κόπρῳ τὴν συνήθη ὁδὸν πορεύεσθαι. καὶ ἔστι τὸ τοιοῦτον σημεῖον τοῦ πάθους ἐπικίνδυνον καὶ ὀλιγάκις σωτήριον. καταλύει γὰρ τὴν δύναμιν τῇ τε ἀμετρίᾳ τῆς ὀδύνης καὶ τῇ ποιότητι τῆς κόπρου τὸν στόμαχον καὶ τὰ πεπτικὰ ὄργανα 7) ἐπιθολούμενα· ὅτι δὲ καὶ αἱ κωλικαὶ ὀδύναι σφοδρόταταί εἰσιν, οὐ δέομαι λέγειν. γίνονται δὲ

---

1) Fort. ὠχροί. Fort. διότι sive Infinit. 2) δυνάμει A. 3) G. correxit θυμουμένων. 4) Fort. μετρίαι νοτίδες. 5) Om. δύνανται Fort. ἀμέτρῳ κενώσει. 6) ἔμμετρος G. 7) Fort. ἐπιθολούμενον.

δὲ ὑπὸ φλέγματος παχέος, μεταξὺ τῶν δύο χιτώνων τοῦ 1) * καύσου περιεχομένου, καὶ ἀναλυομένου εἰς πνεῦμα, καὶ στρόφους δὲ καὶ 2) διατάσεις ἀμέτρους ἐπιφέροντος.

Ἀλλὰ καὶ νεῦρον τρωθὲν καὶ μυὸς κεφαλὴ λειποθυμίαν ἤνεγκεν. —

Ὅτι καὶ ῥοωδέστερα τῶν ἄλλων αὐτοῦ τυγχάνει μερῶν γίνονταί ποτε ἕλκη ἐν τοῖς τοιούτοις.

Τὰς γὰρ ἐν τοῖς πάθεσι συνεδρευούσας οὐχ οἷόν τε χωρὶς ἐκείνων ἰάσασθαι. —

Χρή φησιν ἐπὶ τούτων τὰ κῶλα δεσμεῖν τουτέστι χεῖράς τε καὶ σκέλη· ἀλλ' ἐπὶ μὲν τῶν κάτωθεν γενομένων κενώσεων, τὰς χεῖρας δεσμοῦμεν, ἵνα τῇ ὀδύνῃ τὰς ὕλας ἐκεῖσε προσκαλεσώμεθα, καὶ οἷον ἀντισπάσαντες ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω τὴν κένωσιν 3) εἴρξωμεν. εἰ δὲ διὰ τῶν ἄνω ἡ κένωσις γένηται, τοὐναντίον τὰ σκέλη χρὴ δεσμεῖν, εὖ εἰδότας, ὅτι εἰ κατὰ τῶν αὐτῶν χωρίων τοὺς δεσμοὺς ἐπιβάλλομεν, ὅθεν ἡ κένωσις γίνεται, οὔτε οὐδὲν ὠφελήσομεν, ἀλλὰ καὶ μᾶλλον προσεπιβλάψομεν τὸν κάμνοντα, τὰς αἱμοῤῥαγίας αὐξάνοντες.

Τὸ δὲ σύμπαν ἀντισπᾷν ἢ ἐπὶ τὰ κοινὰ τοῖς πεπονθόσιν.—

Ἐνταῦθα γενικούς τινας ἐκτίθεται τρόπους τῆς ἀντισπάσεως. χρὴ γάρ φησι τὴν ἀντίσπασιν ποιεῖσθαι ἢ ἐπὶ τὰ πέμψαντα ἢ ἐπὶ τὰ κοινωνοῦντα, οἷον, εἰ τύχει, κοινωνίαν ἔχουσιν οἱ τιτθοὶ πρὸς τὰς μήτρας διά τινων φλεβῶν, αἵτινες τὸ πάλιν συναγόμενον ἐν ταῖς ὑστέραις αἷμα, κατὰ τὴν κύησιν εἰς τροφὴν τοῦ ἐμβρύου χορηγούμενον, νῦν ἐπὶ τοὺς τιτθοὺς μεταφέρουσιν, ὅπως ἂν εἰς γάλακτος ἰδέαν μεταβάλλοι τὸ καὶ πάλιν ἔξω γεγονὸς καὶ τρέφοιτο τὸ παιδίον. εἰ τοίνυν εἴη κατὰ τὴν ὑστέραν ἡ κένωσις, τοῖς τιτθοῖς τὰς σικύας προσβάλλοντες κωλύομεν αὐτὴν γενέσθαι. αὕτη μὲν οὖν ἐστιν ἡ διὰ τῶν κοι-

1) G. emend. κώλου. 2) διαστάσεις A. 3) εἴξωμεν A. arceamus G.

νωνούντων μερῶν γινομένη ἀντίσπασις. ἐπὶ δὲ τὰ πέμψαντα ποιησώμεθα ταύτην, ὅταν τὰ ὑποδεξάμενα κυριώτερα εἴη τῶν ἀποστειλάντων. εἰ γὰρ ἀνάπαλιν ἔχει, τὰ μὲν πέμψαντα κύρια, τὰ δ᾽ ὑποδεξάμενα ἀτιμότερά τε καὶ ἀκυρότερα, οὐκέτι τὴν ἀντίσπασιν ἀπὸ τοῦ σκοποῦ τούτου λαμβάνομεν.

*Τὰς δὲ διὰ τῶν ῥινῶν ἥπατι καὶ σπληνὶ κατὰ τὴν αἱμοῤῥαγοῦσαν ῥῖνα.* —

Ζητητέον, τί δήποτε ἔκ τε τοῦ δεξιοῦ μυκτῆρος ἢ ἀριστεροῦ φερομένου τοῦ αἵματος, τὸ μὲν ἐκ τοῦ δεξιοῦ τοῦ ἥπατος εἶναι λέγομεν, τὸ δὲ ἐκ τοῦ ἀριστεροῦ τοῦ σπληνός. πᾶσαι γὰρ αἱ κομίζουσαι φλέβες τὸ αἷμα ἐκ τοῦ ἥπατος φέρονται. οὐ γὰρ δὴ, ὥς τινες ὑπελάμβανον ἐκ τοῦ ἐγκεφάλου δύο καταφέρεσθαι φλέβας. τοῦτο γὰρ ἐκ τῆς ἀνατομῆς διελέγχεται. πῶς οὖν λέγομεν, ὅτι κατ᾽ εὐθυωρίαν φέρεσθαι τὸ αἷμα, κατὰ ἴξιν, ὥς φησιν Ἱπποκράτης; οὐδὲ γὰρ φαίνεται, οὐδὲ ἀπ᾽ αὐτοῦ τοῦ ἥπατος φερομένη κατὰ εὐθεῖαν 1) φλέβα ἐπὶ τὸν δεξιὸν μυκτῆρα, ἀλλὰ ἀποσχίδες τινὲς οὖσαι, ὧν ἕκαστον τῶν μορίων κατὰ τὸ δεξιὸν ἀπολαύει. τοῦτο τοίνυν 2) ἐπιλυσόμεθα τοῦτον τὸν τρόπον. Ἰστέον ὅτι ἐκ τριῶν τινων σύγκειται τὸ ἡμέτερον σῶμα, ὡς πολλάκις εἰρήκαμεν, λέγω δὲ, στερεῶν, ὑγρῶν καὶ πνευμάτων. καὶ ταῦτα λαβοῦσα ἡ φύσις τὸ ὅλον συντέθεικε σῶμα, καὶ τοῦτο καὶ γυῖα, καὶ ἔτεμε κατά τινα γραμμὴν διορίζουσαν αὐτοῦ τὰ δύο μέρη, ἥτις φαίνεται κατά τε τὸ χεῖλος καὶ τὸ στέρνον. τοῦτο δὲ ἐποίησεν, ἵνα μὴ, τοῦ ἑνὸς πάσχοντος μέρους, συμπάσχοι τὸ 3) μέρος πᾶν, καὶ διὰ τοῦ μέρους ἡ τοῦ παντὸς ἐνέργεια βλάπτοιτο. ἀμέλει ἐπὶ τῶν ἡμιπλήγων ὁρῶμεν τοῦτο γινόμενον. τῶν γὰρ ἀριστερῶν πολλάκις παραλυθέντων μερῶν, τὰ δεξιὰ ὑγιαίνει, ἢ το ἀνάπαλιν. τὰ τρία τοίνυν ταῦτα, λέγω δὲ τὰ στερεὰ καὶ ὑγρὰ καὶ τὰ πνεύματα, συμπάσχουσιν ἄλληλα, καὶ τοῦ ἑνὸς κινουμένου, καὶ τὰ ἄλλα συγκινεῖται. καὶ τοῦτό ἐστιν ὃ Ἱπποκράτης ἔλεγε· — σύμπνοια μία καὶ σύῤῥοια μία,

1) Fort. φλέψ. 2) ἐπιλησόμεθα A. solvemus G. 3) Fort. σῶμα.

καὶ πάντα συμπαθέα — τὴν μὲν σύμπνοιαν ἐπὶ τῶν πνευμάτων λαμβάνων, τὴν δὲ σύῤῥοιαν ἐπὶ τῶν ὑγρῶν, καὶ τὰ συμπαθέα ἐπὶ τῶν στερεῶν, καὶ τὴν σύμπνοιαν δὲ μίαν καὶ τὴν σύῤῥοιαν μίαν τῶν δεξιῶν πρὸς τὰ δεξιὰ, καὶ τῶν ἀριστερῶν πρὸς τὰ ἀριστερά. ἐπειδὴ οὖν μεμαθήκαμεν εἶναι πνεῦμα ἐν τῷ ἡμετέρῳ σώματι, καὶ χρὴ γινώσκειν, ὅτι τοῦτο ἐν παντὶ μορίῳ τοῦ σώματός ἐστι, καὶ οὐδέν ἐστιν, ὃ μὴ μετέχει τούτου, ἀλλὰ φοιτᾷ καὶ διὰ σαρκὸς καὶ δι᾽ ὀστέου. λεπτομερέστατον γάρ ἐστιν, ὡς μηδὲν ἄβατον αὐτῷ εἶναι. διὰ πάντων τοίνυν φοιτῶν ἑαυτῷ, συνεχὲς 1) [δὲ] τὸ μὲν ἐν τοῖς δεξιοῖς 2) τῶν ἐν τοῖς δεξιοῖς, τὸ δὲ ἐν τοῖς ἀριστεροῖς τῶν ἐν τοῖς ἀριστεροῖς. ἐὰν τοίνυν ἐν τῷ σπληνὶ τύχῃ τις οὖσα διάθεσις, ἡ ἐν αὐτῷ δύναμις ἀποκριτικὴ ἐπανίσταται, τὸ 3) λοιπὸν ἀπελάσαι. συνάγεται οὖν πρὸς ἑαυτὴν ὁ σπλὴν καὶ οἷον συστέλλεται· αὕτη γὰρ τῆς ἀποκριτικῆς ἡ ἐνέργεια· καὶ συναγόμενος κινεῖται, καὶ κινούμενος συγκινεῖται ἑαυτῷ τὸ πνεῦμα, ἅτε λεπτομερὲς ὑπάρχον τὴν ἄνω διώκει φορὰν, καὶ πρόεισιν ἅμα μὲν διὰ τῶν ἀγγείων, ἅμα δὲ καὶ διὰ τῶν ἀδήλων πόρων. καὶ διερχόμενον τὸ πνεῦμα, εὐρύνει τὰς ὁδοὺς, εἶτα γενόμενον περὶ τὰ ἀριστερὰ μέρη τοῦ ἐγκεφάλου, τὸν ἀριστερὸν μυκτῆρα ἀραιόν τε καὶ εὐρύτερον ποιεῖ καὶ ἑτοιμότερον εἰς αἱμοῤῥαγίαν. ὁ τοίνυν χυμὸς, ἐλαυνόμενος ὑπὸ τῆς ἐν τῷ σπληνὶ δυνάμεως ἀποκριτικῆς, παλινδρομεῖ ἐπὶ τὸ ἧπαρ· ἔπειτα ἡ ἐν τῷ ἥπατι δύναμις, οὐκ ἀνεχομένη φέρειν αὐτὸν, ἀπελαύνει. ὁ δὲ διὰ τῶν φλεβῶν ἀναφέρεται, καὶ φερόμενος περὶ τὴν κεφαλὴν εὑρίσκει τὸν ἀριστερὸν μυκτῆρα ἀνεῳγμένον, καὶ δι᾽ αὐτοῦ ἐκκρίνεται. ὁμοίως δὲ κἀπὶ τοῦ ἥπατος ἔχει. ὅταν γὰρ ἐν αὐτῷ ἡ διάθεσις οὖσα τύχῃ, τὸ ἐν αὐτῷ πνεῦμα κινούμενον καὶ ἐπὶ τὰ ἄνω φερόμενον, τὸν δεξιὸν αὐτῷ μυκτῆρα παρασκευάζει. χρὴ τοίνυν τὸν βουλόμενον ἀντισπᾷν τὴν ῥινῶν αἱμοῤῥαγίαν, ἐπὶ μὲν τοῦ μυκτῆρος δεξιοῦ, τῷ ἥπατι τὴν σικύαν ἐπιτιθέναι, ἐπὶ δὲ τοῦ ἀριστεροῦ τῷ σπληνὶ, ἐπὶ δὲ τῶν ἀμφοτέρων, ἀμφοτέροις· τὸ γὰρ πνεῦμα ἐκ τῶν ἄνω κάτω φερόμενον, συνορμᾷ

---

1) ἐστὶ conj. G. 2) τῶν G. bis in τῷ mutavit. 3) noxium G.

ἑαυτῷ ποιεῖ τοὺς χυμοὺς, καὶ ταύτῃ κωλύει τὴν διὰ ῥινῶν κένωσιν.

Ἴᾶται δὲ καὶ ὁ οἶνος ὕδατι ψυχρῷ κεκραμένος τὰς ἐπὶ ταῖς ἀθρόαις κενώσεσιν ἐκλύσεις. —

Ἐπειδὴ τῇ ἀμέτρῳ διαφορήσει λειποθυμία γίνεται, δηλονότι δεόμεθα τροφῶν, αἵτινες τὸ λοιπὸν ἀντεισάξουσι τῷ σώματι. ἀλλ' εἰ μὲν αὗται αἱ τροφαὶ ἑαυτὰς πέττειν τε καὶ μεταβάλλειν ἐπεφύκεσαν, καὶ προστίθεσθαι τῷ σώματι, ἐκείνας ἂν ἐπελεξάμεθα εἰς τὰ παρόντα τὰς μάλιστα 1) θρέψαι, οἷόν ἐστι τὸ χοίριον κρέας καὶ ἄρτος καὶ ὅσα τροφιμώτατα τῶν ἐδεσμάτων ἐστίν. ἀλλ' ἐπειδὴ δύναμίς ἐστιν ἡ τὰς εἰρημένας ἁπάσας ἐνεργείας διοικοῦσα, καὶ ταύτης χωρὶς οὐκ ἂν ἡ τροφὴ προστεθείη τῷ σώματι, δῆλον ὅτι πρὸς τὸν αὐτὸν τόνον καὶ τὴν τροφὴν προσάξομεν. οὐκοῦν ἐπειδὴ νῦν ἀσθενὴς ὑπόκειται, δεόμεθα 2) οὐ τῶν τροφιμωτάτων· ταῦτα γὰρ δύσπεπτά τέ εἰσι καὶ οὐκ εἴκοντα εὐχερῶς τῇ ἀλλοιωτικῇ δυνάμει· ἀλλὰ τῶν 3) δυναμένων ταχέως μὲν πεφθῆναι καὶ ἀκαμάτως, ταχέως δὲ ἀναδοθῆναι. παρέχομεν οὖν αὐτῷ τὸν οἶνον, δυνάμενον μὲν τάχιστα ἀλλοιωθῆναι καὶ ἀναπληρῶσαι τὴν βάσιν τοῦ διαπεφορημένου. χρὴ δὲ κιρνᾷν αὐτὸν ὕδατι ψυχρῷ, ὅπως ἂν καὶ τῇ ψύξει συναγάγῃ καὶ διεσκορπισμένας τὰς δυνάμεις καὶ τόνον περιποιήσῃ τῷ σώματι. εἰ δὲ καὶ ἀπὸ τοῦ παντὸς σώματος ἐπὶ τὴν γαστέρα σύῤῥοια γίνοιτο, τηνικαῦτα μάλιστα συμβάλλεται ἡ τῷ ψυχρῷ ὕδατι κεκραμένου οἴνου χρῆσις. ἀναδιδόμενος γὰρ ὁ τοιοῦτος οἶνος συναναφέρει ἑαυτῷ καὶ τὰς ὕλας καὶ ποιεῖ αὐτὰς τὴν ἐναντίαν ὁδὸν φέρεσθαι, ὥστε κωλῦσαι τὴν ἐπὶ τὴν γαστέρα φοράν.

Ἔστω δὲ καὶ οἶνος ἐπὶ μὲν τοῖς εἰς τὴν γαστέρα ῥεύμασι θερμός τε καὶ λεπτός. —

Ὁ γὰρ τοιοῦτος εὐχερῶς ἀναδιδόμενος ἅπαντα τοῖς ἐπὶ τὴν γαστέρα φερομένοις ῥεύμασι καὶ τῇ βίᾳ τῆς ἀνα-

1) τρέψαι A. Omiss. δυναμένας. 2) οὐ om. G. 3) δυνάμεων A.



Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 343 sur 382

δόσεως συναναφέρει ἑαυτῷ, κινούμενα πλημμελῶς τε καὶ ἀτάκτως.

Ἐπὶ δὲ ταῖς αἱμοῤῥαγίαις παχύς τε καὶ μέλας καὶ στρυφνός. —

Χρὴ δὲ ὡς ἐπὶ τὸ πλεῖστον φυλάττεσθαι, παρούσης αἱμοῤῥαγίας, οἶνον διδόναι. εἰ δὲ ἄρα χρεία γένοιτο, μὴ δυναμένων ἡμῶν ἄλλως ἀνακτήσασθαι τὴν δύναμιν, εἰ μὴ διὰ τῆς τοῦ οἴνου χρήσεως, δοτέον αὐτὸν παχύν τε καὶ στρυφνὸν, ἵνα τῷ μὲν πάχει παχύτερον τὸ αἷμα ποιήσῃ καὶ δύσρουν, τῇ δὲ στύψει πυκνώσῃ τοὺς πόρους, ὥστε πανταχόθεν κωλῦσαι τὴν τοῦ αἵματος ἔκκρισιν. ἔστω δὲ, φησὶ, καὶ ὁ οἶνος μέλας, ἐπειδὴ τῶν οἴνων οἱ μέλανές εἰσι φύσει παχύτεροι.

Καὶ ταῦτα καὶ τὰ ψύχοντα καὶ ἐφ᾽ ὧν ἐπιπολῆς καὶ τὰ ἑξῆς. —

Ἐπὶ μὲν τῶν μορίων τούτων, ἐπειδὴ 1) φύσει νευρώδη ἐστὶ καὶ οὐδὲν ἐξ αὐτῶν ἔχει πρόβλημα, κωλῦον τὴν τοῦ ψυχροῦ ἐπὶ τὸ βάθος φορὰν, κωλύειν τοῖς ψύχουσι χρῆσθαι, δηλονότι γενομένης ἐξ ἑνὸς τούτων τῆς κενώσεως, ἢ τῆς μήτρας ἐπὶ τοῦ γυναικείου καταμηνίου, ἢ τοῦ στομάχου ἐπὶ τῆς χολέρας, ἢ τῆς γαστρὸς ἐπὶ τῆς διαῤῥοίας, ἢ τοῦ θώρακος ἐπὶ τοῦ αἵματος ἀναγωγῆς ἢ πύου. κέχρηται μέντοι τοῖς στύφουσι μόνοις, ἵνα διὰ τούτων 2) πυκνώσῃ τοὺς πόρους, εἴρξῃ τὴν κένωσιν. ἐπὶ δὲ τῆς κεφαλῆς πρὸς τούτοις προστίθησι καὶ τὰ ψύχοντα, ἐπειδὴ ταύτης ὀστοῦν προβέβληται, μὴ συγχωροῦν τοῖς ψύχουσιν ἀμέσως ὁμιλεῖν αὐτῷ τῷ ἐγκεφάλῳ καὶ λυμαίνεσθαι.

Καὶ κατὰ τοὺς μυκτῆρας φλεβῶν εἴη τις ἐῤῥωγυῖα, τῶν ἐπεχόντων τὸ αἷμα φαρμάκων ἐπιτιθέναι. —

Ἐφ᾽ ὧν ἐστι τοῦ ἀγγείου ῥῆξις, ὡς διὰ τούτου γίνεσθαι τὴν αἱμοῤῥαγίαν, ἐπὶ τούτων χρὴ τοῖς καλουμένοις ἰσχαίμοις φαρμάκοις κεχρῆσθαι. ταῦτα δὲ συστέλλει τὰς

---

1) φησι A. 2) πυκνώσῃς A. Fort. πυκνώσας.

αἱμοῤῥαγίας, ἢ τὸ στύφειν τε καὶ πυκνοῦν, ὃ ποιεῖ τὸ ὀξύκρατον καὶ ἡ τοῦ ψυχροῦ ὕδατος χρῆσις, ἢ τὸ παρεμπλάττειν, ὥσπερ τὸ διὰ τοῦ πομφόλυγος καὶ ἀμύλης καὶ ψιμμυθίου καὶ λιβανωτοῦ καὶ ἀλόης καὶ ὠοῦ τὸ λευκὸν, ἢ τὸ καίειν τε καὶ ἐσχαροῦν, ὡς τὰ διὰ τῆς χαλκίτεως, καὶ μίσυϊ καὶ χαλκάνθῳ, ἐφ᾽ ὧν ἐσχάρα γεγονυῖα τόν τε πόρον ἀπολαμβάνει, δι᾽ οὗ τὸ αἷμα φέρεται καὶ τὴν αἱμοῤῥαγίαν ἀνίστησι. καὶ χρὴ δηλονότι πρὸς τὴν χρείαν ἑκάστῳ τούτων κεχρῆσθαι. λέγειν δὲ νῦν οὐκ εὔκαιρον τὴν ἐπιδέξιον ἑκάστου χρῆσιν.

*Λουτρὰ δὲ τοῖς μὲν εἰς τὴν γαστέρα ῥεύμασιν ἐπιτηδειότατα.* —

*Ταῦτα γὰρ ἐπὶ τὰ ἐκτὸς ἕλκοντα τὴν ὕλην, οἷον ἀντίσπασιν ἐργάζεται, καὶ κωλύει τὰ ὑγρὰ διὰ γαστρός τε καὶ ἐντέρων ἐκκρίνεσθαι. χρὴ δὲ εἰδέναι, ὅτι ἐφ᾽ ὧν ἐστι πλῆθος ὕλης ἐν τῷ σώματι περιεχόμενον, ἐπ᾽ ἐκείνων τὰ βαλανεῖα μᾶλλον προτρέπει τὴν γαστέρα. χέοντα γὰρ τὰς ὕλας καὶ εὐρωτέρας αὐτὰς ποιεῖ καὶ δυναμένας πάσας ἐπὶ τοὺς ἀδήλους προτρέψασθαι πόρους, τὰς ὑπολοίπους ἐν τῷ βάθει ποιεῖ φέρεσθαι διὰ γαστρὸς καὶ ἐντέρων. ἐπίσχεσιν δὲ ἡμεῖς παύομεν διὰ βαλανείου χρήσεως τῷ καθεῖναι αὐτοὺς εἰς τὴν κολυμβήθραν, καὶ ἐπαναγαγεῖν εἰς εὐκρασίαν, ᾗ χαίρουσιν αἱ δυνάμεις. τηνικαῦτα παρ᾽ αὐτὰ ῥωσθεῖσαι κατὰ συμβεβηκὸς ἐπανίστανται καὶ τὰς ἐπεχομένας φυσικὰς ἐκροὰς συνήθως ποιοῦνται. τοῦτο δὲ γίνεται, ὅταν ἐπὶ τῇ τῆς ἀποκριτικῆς δυνάμεως [ὡς] ἀσθενείᾳ, ἡ τῆς γαστρὸς ἐπίσχεσις γένοιτο.*

*Τὰς δ᾽ αἱμοῤῥαγίας δεινῶς παροξύνει.* —

*Τῷ θερμαίνειν δηλονότι καὶ 1) καίειν τὰς ὕλας.*

*Καὶ ὅσοι διὰ πλῆθος ἱδρῶτος λειποθυμοῦσι.* —

*Καὶ τοῦτο εἰκότως. εἰ γὰρ 2) καὶ φύσει τῇ ἀμετρίᾳ τῶν ἱδρώτων ἡ λειποθυμία ἐγένετο, πέφυκε δὲ τούτους*

---

1) χέειν G. quia fundunt. 2) Legendum arbitror ὡς φησί. G.

ἐπιτείνειν τὰ βαλανεῖα, δῆλον ὅτι ἐναντιώτατα ἂν εἴη τούτοις.

Ἀλλὰ μηδὲ διαδεῖν τὰ κῶλα. —

Χρὴ γὰρ ἐπὶ τούτων ἡσυχίαν μάλιστα παραλαμβάνειν, εἰδότας ὅτι καὶ ἡ τυχοῦσα κένωσις, θερμαίνουσα τούτους, δύναται μάλιστα τοὺς ἱδρῶτας ἐπιτείνειν καὶ κίνδυνον ἐπάγειν.

Τοῖς δ᾽ ἐπὶ πλήθεσιν οὐκέθ᾽ ὁμοίως. —

Παραμυθησάμενος τὴν ἐπὶ ταῖς ἀμέτροις κενώσεσι γενομένην λειποθυμίαν, μεταβαίνει λοιπὸν ἐπὶ τὴν ἐπομένην λειποθυμίαν, 1) εἴ γε καὶ ἡ ποιήσασα αἰτία καθάπαν ἐναντίως ἔχει. χρὴ οὖν ἐπὶ τούτων τὰ κῶλα ἰσχυρῶς ἀνατρίβειν, τουτέστι πόδας καὶ χεῖρας, ἵνα ἀπὸ τοῦ βάθους ἐπὶ τὴν ἐπιφάνειαν τὸ πλῆθος ἐπισυρώμεθα, καὶ ταύτῃ τὸ βάθος ἐλευθερώσωμεν. χρὴ δὲ τὰ κῶλα οὐ μόνον ἀνατρίβειν, ἀλλὰ καὶ θερμαίνειν, ὡς ἂν τῆς θερμότητος πεφυκυίας ἐπισπᾶσθαι τὰ ῥεύματα. καὶ μέντοι καὶ διαδεῖν, καὶ τῆς ὀδύνης αὐτὸ δυναμένης ποιεῖν· καὶ τροφῆς ἀπέχειν. καὶ γὰρ ἄτοπόν ἐστιν ἐπὶ πλῆθος πλῆθος ἐπισωρεύειν περιττωμάτων, ὑπὸ τῆς δοθείσης τροφῆς γεννωμένων. δεῖ δὲ εἴργειν αὐτοὺς καὶ τῆς τοῦ οἴνου πόσεως, τρέφοντος τε αὐτοῦ, καὶ ταύτῃ πλῆθος ἐμποιοῦντος, καὶ μέντοι καὶ τῇ θερμότητι χέοντος τὰς ὕλας, καὶ πλείονας εἶναι ποιοῦντος.

Καὶ λουτρῶν, εἰ πυρέττοιεν. —

Καλῶς προσέθηκε τὸν προσδιορισμόν. εἰ γὰρ μὴ πυρέττοιεν, οὐ παντάπασιν αὐτοὺς εἴρξομεν λούσασθαι, ἀλλ᾽ ἐπιτρέψομεν αὐτοὺς ἐν τῷ βαλανείῳ εἰσελθόντας ἐνδιατρίψασθαι τῷ ἀέρι, δυναμένῳ καὶ διαφορεῖν, καὶ ἀπὸ τοῦ βάθους ἐπὶ τὴν ἐπιφάνειαν τὸ πλῆθος 2) ἐφέλκεται.

Ἀρκεῖ δ᾽ αὐτοῖς μελικράτου διδόναι πόμα. —

1) G. addit: oppositamque curationem adhibendam asserit.
2) Fort. ἐφέλκεσθαι.

Μελίκρατον παρέχει, ἵνα λεπτύνῃ τὸν χυμὸν τὸν ὑποκείμενον καὶ εὔρουν αὐτὸν ποιήσῃ. ἀμέλει τοι καὶ μίγνυσιν 1) αὐτὸν, ὅσα θερμῆς καὶ λεπτυντικῆς ἐστι δυνάμεως, οἷον θύμον, φλισκούνιον, ὕσσωπον, ὀρίγανον.

*Ἐπιτήδειον δὲ καὶ ὀξύμελι. —*

Καὶ τοῦτο γὰρ οἶδε λεπτύνειν τοὺς χυμοὺς καὶ εἰς ἔκκρισιν προτρέπεσθαι.

*Καὶ τὰς ἐφ᾽ ὑστέραις πεπονθυίαις ἐκλυομένας ὡσαύτως ἰᾶσθαι. —*

Τὴν αὐτήν φησι παραλαμβάνειν θεραπείαν ἐπὶ τῶν γινομένων λειποθυμιῶν καὶ διὰ τὰς τῶν ὑστερῶν ἀναδρομὰς, οἵαν κἀπὶ τοῦ πλήθους 2) παρέλαβον. δῆλον γὰρ ὅτι καὶ αὗται ἀνέδραμον, σπώμεναι διὰ πλῆθος, 3) πληρῶσαν τὰ ἀρτήματα αὐτῶν. φυλάττεσθαι δὲ ἐπὶ τούτων τὴν τοῦ ὀξυμέλιτος χρῆσιν. ὑστεραλγὲς γάρ ἐστι τοῦτο, φησὶν Ἱπποκράτης, καὶ βλάπτει [οὐ] τὴν βλάβην, οὐ τὴν τυχοῦσαν, τὸ μόριον τοῦτο, νευρωδέστερον ὄν. τὸ γὰρ ὄξος, ξηρὸν καὶ ψυχρὸν ὑπάρχον τὴν κρᾶσιν, ἐναντιοῦται τῇ μήτρᾳ, ὁμοίως κεκραμένῃ προστιθέμενον, καὶ 4) διπλασιάζον αὐτῆς τὴν δυσκρασίαν.

*Δεῖν καὶ τρίβειν σκέλη μᾶλλον ἢ χεῖρας. —*

Βουλόμεθα γὰρ ἀνεσπασμένην τὴν μήτραν κατάγειν· ὥς γε δεῖ τὰ κάτω μόρια τρίβειν, ἵνα τῇδε τὰς ὕλας ἐπισυρόμενοι, καὶ τὴν μήτραν σὺν αὐταῖς εἰς τὸν οἰκεῖον ἐπισπασώμεθα τόπον. τοῦτο δὲ αὐτὸ ποιοῦσι καὶ σικύαι προσαγόμεναι τοῖς βουβῶσιν, ἕλκειν πεφυκυῖαι 5) ὠμὸν χυμὸν, ἀλλὰ δὴ καὶ αὐτὰ τὰ μόρια. καὶ ἄλλως τε καθὼς προείρηται, τῇ ῥοπῇ τῶν χυμῶν ἀκολουθεῖ καὶ ἡ μήτρα. πλὴν ἐκεῖνο χρὴ προσδιορίσασθαι, ὅτι τῆς μήτρας καθ᾽ ἓν μόριον αὐτῆς παρεσπασμένης καὶ παρακεκλεισμένης, καὶ κατὰ τὸν ἕνα βουβῶνα θετέον τὴν σικύαν. * 6) προ-

---

1) Fort. αὐτῷ. 2) παρελάβομεν G. susceperamus. 3) πληρώθηται A. 4) διαπλησιάζον A. 5) οὐ μόνον χυμοὺς G. proponit. 6) Fort. πρὸς ἄνω δ᾽ εἰ τύχει ἀνεσπασμένης. quum vero sursum adacta atque attracta sit G. μὴ om. G.

σαγομένη δὲ τύχη ἀνεσπασμένη, ὥστε ὅλην αὐτὴν ὁμοτίμως ἄνω γενέσθαι, τηνικαῦτα τοῖς δύο μορίοις τὰς σικύας [μὴ] ἐπιβάλλομεν.

Καὶ ταῖς μὲν ῥισὶν ὀσφραντὰ δυσωδέστατα. —

Ἐντεῦθεν ὁρμώμενοί τινες ἐπιχειροῦσι λέγειν, ὅτι καὶ αὐτὸς ὁ Γαληνὸς φαίνεται δοξάζων, τὴν μήτραν εἶναι ζῶον, καί φασιν αὐτῷ ἑαυτὸν ἐναντιοῦσθαι. πανταχοῦ γὰρ ἀπαγορεύει τὸ δόγμα τοῦτο καὶ 1) διαλόγων αὐτό. φαίνεται δὲ οὕτως ὁ Πλάτων ἐν Τιμαίῳ λέγων· ζῶόν ἐστιν ἐκ τοῦ τινα δύναμιν ὀρεκτικὴν ἔχειν τοῦ σπέρματος, 2) οὗ μὴ τυχοῦσα, ἁπανταχοῦ ἀλύεται τοῦ σώματος, ἐπιζητοῦσα τὸ ἐραστόν· εἶτα γενομένη ποτὲ περὶ τὸν θώρακα, πνιγμοὺς ἐπιφέρει. ἀλλὰ τοῦτο μὲν ἐν τοῖς προλαβοῦσιν ἤδη ἐλέξαμεν. φασὶ δὲ οὗτοι κατὰ τὸν Ἀριστοτελικὸν λόγον, ὅτι ὅσα ἢ τῶν πέντε αἰσθήσεων ἢ τέσσαρα ἢ τριῶν ἢ δύο καὶ μιᾶς αἰσθήσεως μόνης μετέχει, ταῦτα λέγει εἶναι ζῶα, καὶ ὅσα μὲν τὴν πρώτην αἴσθησιν ἔχει, καὶ ταῦτα καὶ τὰς λοιπὰς ἁπάσας ἐξ ἀνάγκης κέκτηται. πρώτη δ᾽ ἐστὶν ἡ ὅρασις. 3) ταύτῃ πάντως ἀκούει, καὶ ὀσφραίνεται καὶ γεύεται καὶ ἅπτεται· οὐ μὴν ὅσα ἀκούει, ταῦτα πάντως ὁρᾷ, ἀλλὰ τὰ μὲν τὴν αἴσθησιν τὴν 4) ἀκουστικὴν, τὴν δὲ ὄψιν οὐ πάντως. ἔστι δέ τινα, ἃ οὐδὲ τὴν ἀκουστικὴν ἔχει, ἀλλὰ τὰς μετ᾽ αὐτὴν, ὄσφρησιν καὶ γεῦσιν καὶ τὴν ἁφὴν, τινὰ δὲ τὰς δύο μόνας, ὥσπερ αἱ θαλάττιαι χῆμαι. σπόγγοι δὲ τὴν ἁπτικὴν ἔχουσι μόνην. εἰ τοίνυν καὶ ἡ μήτρα τὴν ὀσφραντικὴν ἔχει, δηλονότι ἔχοι ἂν καὶ τὴν 5) γαστέρα, ὥστε καὶ τρεῖς ἔχουσα αἰσθήσεις, κυρίως λέγεσθαι, καὶ εἶναι ζῶον. ὅτι δὲ τὴν ὀσφραντικὴν ἔχει, δῆλον ἐκ τοῦ καὶ αὐτὴν ἀνωτέρω μὲν 6) ἰοῦσαν, ὡς αὐτός φησιν ἐν τῷ θώρακι, τῶν δυσωδῶν προσφερομένων ἰωμένην φεύγειν τε καὶ καταλιμπάνειν αὐτὰ, προστρέχειν δὲ τοῖς εὐώδεσι κάτωθεν προσαγομένοις. αὕτη

---

1) διελέγχει legendum esse arbitratur G. Recte. 2) οὐχὶ A. 3) Ergo quae hanc habent, omnino etiam audiunt G. Deesse aliquot verba in cod. A. videntur. 4) sc. ἔχει. 5) gustatorium G. γευστικήν. 6) existens G. ἐοῦσα.

μὲν ἡ τούτων ἀπορία, δριμεῖα 1) δή τις οὖσα καὶ οὐκ εὔλυτος· ἡμεῖς δὲ τὴν αὐτὴν ἐπιλυσώμεθα τῷδε τῷ τρόπῳ. χρὴ εἰδέναι, ὅτι εἰ τὴν ὀσφραντικὴν εἶχεν ἡ μήτρα, κάτωθεν ἂν αὐτῶν προσφερομένων ᾐσθάνετο. νῦν δὲ ἄνωθεν προσφέρεται. καὶ πῶς δύναται, διὰ τοσούτων παριόντα μορίων, φέρεσθαι περὶ τὴν μήτραν; ἀλλ' εἴποιμεν ἂν ὅτι κατὰ τὸν θώρακα οὕπως 2) αὐτὸν ἀντιλαμβάνεται, ὅπερ ἐν τοῖς προλαβοῦσιν ὑφ' ἡμῶν ἐδείχθη ἀδύνατον. πῶς γὰρ δύναται ἔντερα καὶ γαστέρα καὶ διάφραγμα καὶ τἄλλα τὰ τῇδε μόρια ὑπερβᾶσα, κατὰ τὸν θώρακα γενέσθαι; λέγομεν τοίνυν, ὅτι ὁ ἐγκέφαλος, αἰσθανόμενος τῶν δυσωδῶν, ἀνιᾶται πρὸς 3) αὐτῶν καὶ συστέλλεται, καὶ σὺν αὐτῷ τὸ ὀσφραντικὸν πνεῦμα· κατὰ τὸ συνεχὲς τῇ ἀνίᾳ ταύτῃ καὶ τὰ λοιπὰ μόρια συστελλόμενα, οὕτω τῇ συστολῇ ταύτῃ ὠθεῖται, καὶ οἷον ἐκθλίβει τε καὶ ἀπελαύνει καὶ κατωτέρω τὴν μήτραν προτρέπεται. ἀλλ' εἴποι τις ἂν, τί δήποτε μὴ προσάγομεν ἄλλα τινὰ θερμὰ καὶ δυσώδη; καὶ λέγομεν, ὅτι μάλιστα τούτοις τοῖς 4) εἴδεσι τὰ κύρια τῶν μορίων φυσικῶς χαίρουσιν, ἐπειδὴ σὺν τῷ θερμαίνειν ἔχει τινὰ καὶ συμπεπτικὴν δύναμιν, πεφυκυῖαν ἐγείρειν καὶ τῇ λεπτομερείᾳ τῇ ἐν αὐτοῖς ἐκθεραπεύειν τε καὶ ἐκνοσηλεύειν πάθη.

*Καὶ ψυχρὸν ὕδωρ τοῖς διακαιομένοις τὸν στόμαχον. —*

Ἐν καιρῷ φησιν, εἰ μὴ τὸ μόριον ἀσθενὲς ὑπάρχει, μήτε φλεγμονὴ κατά τι τῶν κυρίων, μηδὲ ἄπεπτον πλῆθος χυμῶν. ταύταις γὰρ ἁπάσαις ταῖς διαθέσεσιν οὐ μετρίως λυμαίνεται.

*5) Ὀνίνησι δὲ μεγάλως τοὺς τοιούτους στομάχους καὶ ἡ τῶν ἀκρωτηρίων τρίψις. —*

*Ὅσοι δὲ μοχθηρῶν χυμῶν δακνόντων τὸ στόμα τῆς γαστρὸς ἐκλύονται. —*

Ἐπειδὴ καὶ μοχθηρία χυμοῦ δηλητηριώδει τινὶ ποιότητι προσκαθημένη τῷ στόματι τῆς γαστρὸς, ἐπάγει λει-

---

1) δέ τε οὖσαν A. 2) Fort. αὐτὰ ea G. 3) αὐτὸν A. 4) εἰδέσι A. suavibus G. ἡδέσι. 5) Gadald. ad haec verba scholion addit.

ποθυμίαν. χρὴ πρῶτον μὲν τοῦτο κατακεραστικῷ τρόπῳ ποιῆσαι πραΰτέραν. καὶ τοῦτο ποιήσει τὸ θερμὸν ὕδωρ, κατακιρνῶν μὲν ὡς ὕδωρ, ὡς δὲ θερμὸν διαλύον καὶ διαχέον, ὥστε εὔκριτον ποιήσηται. προσήκει διδόναι καὶ ὑδρέλαιον, ἵνα τῇ ἀπὸ τοῦ ἐλαίου ἄσῃ κινήσαντες ἔμετον, κενώσωμεν τὸ λυποῦν αἴτιον.

*Εἰ δὲ δυσεμεῖς εἶεν, θάλπειν χρὴ πρότερον.* —

1) Εἰ μὴ δύναιντο, φησὶν, ἐμεῖν, τῶν χυμῶν ἔτι παχέων ὄντων καὶ μὴ δυναμένων ἑτοίμως ἀνενεχθῆναι, χρὴ ἐπὶ τῶν τοιούτων 2) θαλπόντων τὸν στόμαχον διαλύειν τε αὐτοὺς καὶ εἰς ἔκκρισιν ἐπιτηδείους ποιεῖν. θάλπειν δὲ καὶ τὰ κῶλα, ἐπειδὴ πέφυκε τὸ στόμα τῆς γαστρὸς τούτοις θερμαινομένοις συνθερμαίνεσθαι. εἴποι δ' ἂν ὅτι καὶ μέρος τῆς ὕλης ἐπὶ τὰ κῶλα προσκαλεσάμενοι, δώσομεν τῇ ἀποκριτικῇ δυνάμει τὸ λοιπὸν ῥαδίως ἀπώσασθαι.

*Εἴωθε δὲ πολλάκις τὸ ἔλαιον οὐκ εἰς ἔμετον μόνον ὁρμᾶν.* —

Τοῦτο ποιεῖ διὰ τὴν ἐπιμιξίαν τῶν ἄλλων τῇ 3) δήξει διανιστάντων τὴν ἀποκριτικὴν δύναμιν καὶ τῇ λεπτομερείᾳ τρεπομένων τὰς κρίσεις.

*Μάλιστα δὲ τοῖς προσθέτοις βαλάνοις τοῦτο πειρᾶσθαι δρᾶν.* —

Πρόσθετα καλεῖται τὰ ὑπὸ τῶν ἰατρῶν σκευαζόμενα 4) βαλάνια μετρίως ἐρεθίζειν δυνάμενα. φεύγει δὲ ἐπὶ τούτων τὴν τῶν ἐνετήρων χρῆσιν, εἰδὼς ὅτι ἐκ τούτων ἀναπέμπεταί τις ἀεὶ μοχθηρὰ ποιότης περὶ τὸν στόμαχον, καὶ κακοῖ αὐτόν. ἀμέλει ἐφ' ὧν ἐστιν ἀσθενὴς ὁ στόμαχος, 5) μέλλοντες ἐνετῆρι κεχρῆσθαι, πρῶτον παρέ-

---

quod A. omisit: Quoniam calefactus stomachus a toto corpore in se ipsum excrementa attrahit: ob id recalefacere jubet artus, ut illuc materias alliciat stomachumque ipsum liberum constituat.

1) εἰ μὴ om. A. 2) Fort. θάλποντα. 3) δόξῃ A. mordicatione G. Fort. προτρεπομένων. 4) βαλανεῖα A. φεύγειν A. 5) μέλλοντος A.

χομεν εὔκρατον ὕδωρ πίνειν, ἵνα τοῦτο προ πάντων τῇ ἀπὸ τοῦ 1) κλύσματος ποιότητι μὴ συγχωρῇ αὐτῇ ἀμέσως ὁμιλεῖν τῷ στομάχῳ. νῦν δὲ καὶ μᾶλλον εὔκαιρον φεύγειν τοὺς ἐνετῆρας, ἐπειδὴ ὑπόκειται ἡ λειποθυμία γενομένη ἐπὶ μοχθηρᾷ ποιότητι χυμῶν καὶ δέος ἐστὶ, μὴ διπλασιασθῇ αὕτη ἐκ τῆς ὑπὸ τοῦ κλύσματος ἀναθυμιάσεως ποιότητος.

Φλέγματος δὲ πολλοῦ καὶ ψυχροῦ κατὰ τὸ στόμα τῆς γαστρὸς ἠθροισμένου, καταντλεῖν μὲν ἐπὶ πλεῖστον. —

2) Τῷ μὲν ἐλαίῳ καταιονῶν τούτους, τὸ δὲ τῇ αὐτοῦ θερμότητι χαλάσαν καὶ χέαν τὸν χυμὸν, εὐροώτερον ἐργάσηται. προσπλέκει δὲ καὶ ἀψινθίου, ἵνα τὸ στόμα τῆς γαστρὸς, ἀεὶ δεόμενον τονοῦσθαι, καὶ ἐκ τούτου φυλάξῃ τὸν τόνον.

Τοῖς δὲ διὰ μέγεθος φλεγμονῆς ἢ διὰ κακοήθειαν σφοδροῦ πυρετοῦ λειποθυμοῦντας. —

Ἡ φλεγμονὴ πολλάκις μὲν ἐν κυρίῳ μορίῳ γινομένη, ποιεῖ τὴν λειποθυμίαν. πολλάκις κἂν ἐν ἀκύρῳ γένηται τόπῳ, διὰ τὸ οἰκεῖον μέγεθος ἀμετρίαν ὀδύνης ἐπάγουσα, διαλύει τὸν κάμνοντα καὶ λειποθυμίαν ποιεῖ. ἀλλὰ μὴν καὶ πυρετοὶ κακοήθεις εἰσὶν, ὅτε συνεισβάλλουσιν ἑαυτοῖς ἔχουσι λειποθυμίαν, ἥτις γίνεται τῷ λόγῳ τοῦ συῤῥεῖν τοὺς χυμοὺς πάντας εἰς τὸ βάθος καὶ καταπνίγειν τὴν δύναμιν. χρὴ τοίνυν ἐπὶ τούτων τὰ κῶλα τρίβειν καὶ θάλπειν καὶ διαδεῖν, ἵνα διὰ τούτων ἁπάντων ἀπὸ τοῦ βάθους ἐπὶ τὴν ἐπιφάνειαν τὴν ὕλην ἐπισυρώμεθα.

Ἐγρηγορέναι τε κελεύων.

Ὅτι κατὰ τοὺς ὕπνους εἰς τὸ βάθος αὐλίζονται πάντες οἱ χυμοὶ, ἔστι γε καὶ ἐξ ἄλλων πιστώσασθαι πολλῶν, μᾶλλον δὲ ἐκ τοῦ καθεύδοντας τὴν ἐπιφάνειαν περιψύχεσθαι, ὡς καὶ πλειόνων τηνικαῦτα δεῖσθαι περιβλημάτων, ἢ εἰ ἐγρηγορότες ἐτύγχανον. τούτου τοίνυν δειχθέν-

---

1) κιύματος A. a clystere G. 2) G. asteriscum praefixit. Fort. ἐργάσεται.

τος, ἐξ ἀνάγκης ἡ σύῤῥοια 1) διπλασιασθεῖσα κατὰ τὸ βάθος ἔκ τε τῶν ὕπνων κὰκ τῆς τοῦ παροξυσμοῦ εἰσβολῆς τῷ πλήθει καταπνίξει τὴν φύσιν. διὸ κάλλιστόν ἐστιν, ἐξεγείρειν αὐτοὺς 2) νίπτοντας καὶ ἐγρηγορότας παρασκευάζοντας.

*Καὶ σιτίου δὲ παντὸς ἀπέχεσθαι καὶ πόματος. —*

*Καὶ τοῦτο εἰκότως. οὐ γὰρ ἐγεγόνει φλεγμονῆς μέγεθος οὐδὲ κακοήθης πυρετὸς, εἰ μὴ πλῆθος ἄμετρον ὑπῆρχε χυμῶν, ἐφ᾽ ᾧ τρέφειν ἀλογώτατον, αὐξάσης ἀεὶ τῆς τροφῆς τὴν τῶν χυμῶν περιουσίαν.*

*Καὶ τοὺς διὰ ξηρότητα δὲ συγκοπτομένους ἐν ταῖς τῶν παροξυσμῶν ἀρχαῖς. —*

*Περὶ τῶν θερμοτέρων καὶ ξηροτέρων κράσεων πάσας τὰς αἰτίας μεμαθήκαμεν ἐν τῇ θεραπευτικῇ μεθόδῳ, τελεώτερον περὶ τούτου θεωρίαν ἐν ἐκείνοις ἀποδεδωκότος τοῦ συγγραφέως. ὅτι δὲ καὶ λειποθυμοῦσί τινες ἐξ αὐτῶν, ἐν ἐκείνοις εἴρηται, καὶ νῦν οὐδὲν ἧττον λέγεται. διπλασιασθεῖσα γὰρ ξηρότης ὑπό τε τῆς κράσεως τῆς φυσικῆς τοῦ κάμνοντος καὶ τῆς τοῦ πυρετοῦ δυσκρασίας, καταβάλλει τὴν δύναμιν. χρὴ τοίνυν αὐτοῖς παρέχειν τροφὴν ὑγραίνουσάν τε ἅμα καὶ δυναμένην παραμυθεῖσθαί τε καὶ κατασβεννύειν πολὺν αὐχμόν. ποιεῖν δὲ τοῦτο ἐνίοτε μὲν πρὸ δύο ἢ τριῶν ὡρῶν τῆς τοῦ παροξυσμοῦ εἰσβολῆς, πολλάκις καὶ κατὰ αὐτὴν τὴν ἀρχήν. τοῦτο γάρ ἐστι μάλιστα τὸ τοῦ Γαληνοῦ εὕρημα, ἐφ᾽ ᾧ καὶ μεγάλα σεμνύνεται, μηδενὸς τῶν πρὸ αὐτοῦ τὸ τοιοῦτον ἀποφηναμένου, ἀλλὰ καὶ Ἱπποκράτους ἀπαγορεύοντος· τοὺς δὲ παροξυσμοὺς ὑποστέλλεσθαι χρή· τὸ προστιθέναι γὰρ βλάβη. κελεύει δὲ τοῦτο μετὰ τὴν τροφὴν, κρατεῖσθαι τούς τε πόδας καὶ τὰς χεῖρας, εἰδὼς ὅτι πολλὴν ἔχει κοινωνίαν ταῦτα πρὸς τὸν στόμαχον, ὥστε καὶ θερμαινομένοις αὐτοῖς ἐκεῖνον συνθερμαίνεσθαι, καὶ πέττειν τὴν 3) προσε-*

---

1) *διαπλεσθεῖσα* A. duplicata G. 2) sobrios G. *νήφοντες*. 3) Pro *προσενεχθεῖσαν*.

νεγκαμένην τροφὴν, καὶ ταχέως ἀποπέμπειν ἐπὶ τὸ ἧπαρ καὶ τὸ λοιπὸν σῶμα.

Μετρίας δὲ τῆς συγκοπῆς προσδοκωμένης, οὐδ' οἴνου δεῖ.—

Εἰ μεγάλην ἔσεσθαι προσδοκῶμεν τὴν λειποθυμίαν, κάλλιον αὐτοῖς παρασχεῖν οἶνον ἢ μετὰ χόνδρου ἢ μετὰ ἄρτου· 1) τὸν μὲν οἶνον οὐκέτι δώσομεν, μίξομεν δὲ τῷ χόνδρῳ τὸν ἄρτον μετὰ τῶν στυφουσῶν ὀπωρῶν 2) τινος. αὗται μὲν 3) τῇ ὑγρότητι τὴν ξηρότητα παραμυθήσονται, τῇ δὲ στύψει τὴν δύναμιν ῥώσουσιν, ἐφ' οἷς δηλονότι τοῦ παροξυσμοῦ εὐφορώτερον εἰσβάλλοντος, ὥστε μὴ λειποθυμίαν ἐπάγειν, χρὴ 4) λοιπὸν ταῖς μὲν τροφαῖς ταῖς εἰρημέναις κεχρῆσθαι, μηκέτι δὲ 5) αὐταῖς προσπλέκειν τὰς ὀπώρας, ἐπειδὴ συνήγαγέ τις ἐξ αὐτῶν μοχθηρὰ κακοχυμία, δυναμένη τοὺς πυρετοὺς ἐπαυξάνειν τε καὶ διπλασιάζειν.

Ταῦτα μὲν δὴ πράττειν, εἰ προγνοίης τὸ μέλλον ἔσεσθαι. —

Κάλλιον μέν ἐστι τὸν ἐσόμενον προεωρακότας χειμῶνα προπαρασκευάσασθαί τε πρὸς αὐτὸν καὶ τὸ σῶμα δυσπαθὲς ἀπεργάσασθαι, ὡς μὴ ῥᾷον εἶξαι τῷ προσδοκωμένῳ συμπτώματι. τοῦτο δὲ γενήσεται διὰ τῆς εἰρημένης ἀγωγῆς. εἰ δὲ ἐν αὐτῷ γενώμεθα τῷ κινδύνῳ, χρὴ τηνικαῦτα θερμὸν οἶνον παρέχειν, ἵνα τῷ τάχει τῆς ἀναδόσεως θρέψῃ τε καὶ ῥώσῃ τὰς δυνάμεις ἁπάσας. προσπλέξομεν δὲ καὶ τῷ οἴνῳ μικρόν τι χόνδρου ἢ ἄρτου, ἵνα τὴν τροφὴν ἑδραιοτέραν ποιήσωμεν. ὁ γὰρ οἶνος, ὥσπερ τάχιστα τρέφει, οὕτω καὶ θᾶττον διαφορεῖται, καὶ διὰ τοῦτο προσπλέκομεν αὐτῷ τὰ εἰρημένα, τὴν τῆς τροφῆς κάθεξιν ἀσφαλεστέραν τε καὶ χρονιωτέραν μηχανώμενοι.

Γνωριοῦμεν δὲ τὰς τοιαύτας ἐμφράξεις ταῖς τ' ἄλλαις ἀνωμαλίαις τῶν σφυγμῶν. —

---

1) si vero mediocrem G. addit secundum Galeni verba. εἰ δὲ μετρίαν. 2) τινα A. 3) τὰ ὑγρότατα A. humiditate G. 4) λεῖπον A. 5) αὐτοὺς A. Fort. συνάγεται.

Τοῦτο διαγνωστικὸν ἐν τῷ μέσῳ κατέσπειρε θεώρημα, πολλῆς ἀληθείας ἐχόμενον. γίνονται γὰρ ἐπὶ ταῖς ἐμφράξεσι πᾶσαι μὲν ἀνωμαλίαι, μάλιστα δὲ ὅσαι δυνάμεως εἰσὶν οἰκείας. τοῖς γὰρ 1) ἐμφράξασιν αἰτίοις ἡ δύναμις ἐπικειμένη, καί ποτε μὲν νικῶσα, ποτὲ δὲ νικωμένη, εἰ μὲν νικηθείη, μικρόν τε καὶ ἀμυδρὸν 2) ἐργάσεται τὸν σφυγμόν· εἰ δὲ νικῆσαι, μέγαν τε καὶ σφοδρόν. καὶ τοῦτο πολλάκις γενόμενον ἀνώμαλον ἐν πλείοσι πληγαῖς ποιήσει τὴν τῆς ἀρτηρίας κίνησιν. σκοπεῖν δὲ χρὴ, μὴ πληθωρικὴ παρείη διάθεσις. ἔστι γὰρ ἡ εἰρημένη ἀνωμαλία καὶ ταύτης κοινή. διακρίνομεν δ' αὐτὴν δηλονότι τοῖς ἤδη παραδεδομένοις ἡμῖν περὶ πλήθους σημείοις.

Γίνονται δὲ καὶ διαλείποντες ἐπὶ ταῖς μεγάλαις τῶν τοιούτων διαθέσεων. —

Ὅτι μὲν διαλείπων ἐστὶ σφυγμὸς, ὅταν, προσδοκωμένης κινήσεως, ἡσυχία γένηται, φθάσαντες ἤδη * 3) τὰ τὸ περὶ σφυγμῶν βιβλίον εἰρημένα. ἐνδέχεται δὲ τοῦτο λαβεῖν ὡς κοινὸν τῆς ἐμφράξεως καὶ πλήθους, ἐπειδὴ ἐφ' ἑκατέρου τούτων ἡ δύναμις ἀσθενοῦσα, καὶ οἷον ἐξασθενήσασα πρὸς τὴν τῆς ἀρτηρίας κίνησιν, διαναπαύσασθαι σπουδάζει καὶ διαλείποντα ποιεῖ τὸν σφυγμόν. ἐνδέχεται δὲ αὐτὸν νοῆσαι καὶ ὡς διακριτικὸν τῆς τε 4) πληρωτικῆς διαθέσεως καὶ τῆς ἐμφράξεως, ἐπειδὴ μᾶλλον οἱ διαλείποντες ἐπὶ τῆς πληθώρας γίνονται, ὡς ἂν καὶ μᾶλλον τῆς ἐμφράξεως βαρούσης τὴν δύναμιν, εἴ γε ἡ μὲν ἔμφραξις ἐν ἑνὶ μορίῳ περιέχεται, τὸ δὲ πλῆθος ἐν ὅλῳ τῷ σώματι περινοστοῦν ὅλην καταβάλλει τὴν δύναμιν.

Ἀπόχρη δὲ τούτοις ἐν μὲν τῷ παραυτίκα τοῖς ὀσφραντικοῖς ἀνακτήσασθαι. —

Ἐπειδὴ, τῶν παρὰ φύσιν ὑγρῶν κενουμένων ἔν τε ταῖς ὑδερικαῖς παρακεντήσεσι καὶ ταῖς τῶν 5) ἀποστη-

1) ἐμφράξεσιν A. 2) ἐργάσηται A. 3) jam in libro de pulsibus diximus G. Fort. ἐν τῷ π. σφ. βιβλίῳ εἰρήκαμεν. 4) Fort. πληθωρικῆς. 5) ἀπὸ στομάτων A.

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Ioannis, ... - page 354 sur 382

μάτων 1) λειποθυμίαις, καὶ σὺν τοῖς ἀχρήστοις, πολὺν ἐκκρίνεσθαι ζωτικὸν τόνον. χρὴ τούτους, ἐν αὐτῇ μὲν λειποθυμίᾳ ἔτι ὄντας, ὀσφρητικοῖς ἀνακτᾶσθαι, 2) τὰ εὑρισκόμενα κατὰ καιρὸν αὐτοῖς, οἷον ῥόδα ἢ κρίνα, ἢ κατὰ τὴν Ἀλεξάνδρειαν λωτάρια. καὶ χρὴ γινώσκειν ὅτι καὶ τοῦτο κάλλιστα τοῖς παλαιοῖς εἴρηται, ὅτι τοῦ ἡμετέρου σώματος ἐκ τριῶν οὐσιῶν συγκειμένου, τῆς τε ὑγρᾶς καὶ τῆς στερεᾶς καὶ τῆς ἀερώδους, ἑκάστη τούτων ἐκ τοῦ αὐτῆς ὑγιοῦς τε καὶ οἰκείου τρέφεται, τὰ μὲν στερεὰ διὰ τῆς στερεᾶς τροφῆς, τὰ δ' ὑγρὰ τῇ τῶν πομάτων προσθήκῃ, τὰ δὲ πνεύματα διὰ τῆς τοῦ ἀέρος εἰσφορᾶς. καὶ τοῦτό ἐστιν, ὃ Ἱπποκράτης ἔφασκεν, ἴσχοντα. ἰσχόμενα καὶ ἐνορμῶντα, καὶ ἄλλως· πνεύματος τροφὴ, ῥῖνες, στόμα, βρόγχος. ἀναπνεῖ γὰρ ἡ μὲν καρδία διὰ στόματος καὶ ῥινὸς, ἐγκέφαλος δὲ, ἐπειδὴ καὶ οὗτος ἐδείχθη ἀναπνοῇ χρώμενος, διὰ μυκτήρων μόνον. κἀντεῦθεν ἡ προσθήκη τοῦ 3) αἵματος αὔξει τὸ ἔμφυτον θερμὸν, ἀερῶδες ὑπάρχον. διὰ τοῦτο τοίνυν τὰ ὀσφραντικὰ τοῖς μυκτῆρσι προσάγομεν, ἵνα οἱ ἐξ αὐτῶν ἀποῤῥέοντες ἀτμοὶ, λεπτομερεῖς τε ὄντες καὶ ἐπιτήδειοι εἰς πνεύματος ἀρίστου οὐσίαν μεταβληθῆναι, ἀντὶ τοῦ διαφορηθέντος ζωτικοῦ πνεύματος ἀντεισάγωσιν. ἄλλως δὲ καὶ τῇ στύψει δύνανται συνάγειν τε καὶ σφίγγειν τὸ ἐν ἡμῖν πνεῦμα, ὥστε κατὰ μὲν τὴν οὐσίαν τὴν ἑαυτῶν αὐτίκα τὸ πνεῦμα τρέφουσι, κατὰ δὲ τὴν στυπτικὴν ποιότητα διαλύεσθαι * 4) μὲν χωροῦν τε, ἀποκλείουσί τε καὶ τονοῦσι, καὶ ῥωμαλεωτέραν ἐργάζονται. ταῦτα μὲν οὖν ἐν αὐτῇ τῇ λειποθυμίᾳ δεῖ προσάγειν. ὕστερον δὲ, ταύτης πεπαυμένης, τροφαῖς εὐπέπτοις ἀναγκαῖόν ἐστι τὴν διαπεφορημένην ἀναλαμβάνειν δύναμιν, ῥοφήματα διὰ χόνδρου οἴνῳ μεμιγμένῳ προσάγοντες, καὶ ὅσα τῆς ὁμοίας ἐστὶ δυνάμεως.

Εἰ δὲ καὶ διὰ λύπην ἢ χαρὰν ἢ φόβον ἢ θυμὸν ἢ ἔκπληξιν ἐκλυθεῖεν. —

---

1) abscessuum ruptionibus sectionibusve G. πολλὴν A. 2) Fort. τοῖς εὑρισκ. 3) πνεύματος G. judicat esse legendum. 4) μὲν suprascripto μὴ. Locus vitiatus. eos, qui dissolvi periclitantur G. Fort. legit τοὺς κινδυνεύοντας.

Ἐπὶ τῶν ψυχικῶν παθῶν ἡ λειποθυμία γίνεται, ἢ διαφορηθέντος τοῦ ζωτικοῦ τόνου, ὡς ἐπὶ τῶν θυμουμένων τε καὶ ἀθρόως ἡδομένων, ἢ καταπνιγέντος τε καὶ καταψυχθέντος, ὡς ἐπὶ τῶν λυπουμένων τε καὶ φοβουμένων, ἢ ἀπὸ πατάγου, ὃ συμβαίνει ἀπὸ τῶν ἀθρόως ἐντυχόντων τινὶ τῶν φοβερῶν. ἀποπαγέντων γὰρ αὐτῶν, οἷον ἀκίνητον μένει τὸ πνεῦμα, μὴ δυνάμενον μηκέτι φέρεσθαι ἢ ἐντὸς, ὡς ἐπὶ τοῦ 1) φόβου τε καὶ λύπης, ἢ ἐκτὸς, ὡς ἐπὶ τοῦ θυμοῦ τε καὶ τῆς ἡδονῆς. ἐπὶ τούτων γοῦν, ἐπειδὴ πανταχόθεν, εἴτε πιλούμενον εἴτε χεόμενον, ἐλλείπει τὸ πνεῦμα, κάλλιόν ἐστι τοῖς ὀσφραντιτοῖς αὐτοὺς ἀνακτήσασθαι, διὰ τὴν εἰρημένην περὶ αὐτῶν αἰτίαν· ἐμεῖν δὲ πάντας ἀναγκάζειν 2) τοὺς μὲν ἐπὶ τῇ ἡδονῇ, ἵνα ἀντισπάσωμεν καὶ ἔνδον τὴν φύσιν προσκαλεσώμεθα, καὶ συγχωρήσωμεν αὐτὴν διὰ τῆς ἐπιφανείας 3) ἐκρεῖν· τοὺς δ᾽ ἐπὶ λύπῃ, ἵνα κενώσωμεν τὸ περιεχόμενον ἐν τῷ στόματι τῆς γαστρὸς, ἀπὸ τῆς συννεύσεως τῶν χυμῶν πληρωθέντι. τὰ αὐτὰ χρὴ νοεῖν ἐπί τε τοῦ θυμοῦ καὶ φόβου. καὶ γὰρ καὶ ὁ θυμὸς ὁμοίως τοῖς ἡδομένοις ἐπιφέρει 4) τὸν θάνατον, διὰ τῶν ἐκτὸς παρασυλῶν τὴν δύναμιν, καὶ ὁ φόβος παραπλησίως τῇ λύπῃ, εἰς τὸ βάθος συνάγων τὴν φύσιν, ἄλλως τε διὰ τοὺς ἔκπληξιν ὑπομείναντας, ὁ ἔμετος οὐδὲν τῶν εἰρημένων ποιῶν, 5) οἷα καὶ ἀνακαλεῖται τὴν δύναμιν, νύττων τε αὐτὴν καὶ ἐρεθίζων, καὶ οἷον ἐξ ὕπνου βαθέως ἐγείρων.

*Αἱ δὲ ἐπὶ τοῖς κωλικοῖς πάθεσιν ἢ τοῖς εἰλεοῖς ἢ τινι τῶν οὕτω μεγάλας ἐπιφερόντων ὀδύνας ἑπόμεναι λειποθυμίαι. —*

